A. S.

# ΠΛΟΥΤΑΡΧΟΣ

# PLVTARCHI CHAERONENSIS
## QVAE SVPERSVNT OMNIA.

CVM ADNOTATIONIBVS VARIORVM
ADJECTAQVE LECTIONIS DIVERSITATE

OPERA

JOANNIS GEORGII HVTTEN
PHILOS. MAG. ET SCHOL. ANATOL. TUBING. RECTORIS.




**VOLVMEN UNDECIMVM**

TVBINGAE
IMPENSIS JOANNIS GEORGII COTTAE
CIↃIↃCCXCVIII

BIBLIOTEKA ELBLĄSKA

4000

92.390

PLVTARCHI

# OPERVM MORALIVM ET PHILOSOPHICORVM

*PARS QVINTA.*

*Continentur hoc Volumine:*

I. ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ Α. pag. 1.

Convivalium Difputationum Liber I.

α. Εἰ δεῖ φιλοσοφεῖν παρὰ πότον. 3.

β'. Πότερον αὐτὸν δεῖ κατακλίνειν τὰς ἑστιωμένους τὸν ὑποδεχόμενον, ἢ ἐπ' αὐτοῖς ἐκείνοις ποιεῖσθαι. 12.

γ. Διὰ τί τῶν τόπων ὁ καλέμενος ὑπατικὸς ἔσχε τιμήν. 23.

δ'. Ποῖόν τινα δεῖ τὸν συμποσίαρχον εἶναι. 26.

ε. Πῶς εἴρηται, Μυσικὴν δ' ἄρα ἔρως διδάσκει. 33.

ς'. Περὶ τῆς Ἀλεξάνδρε πολυποσίας. 37.

ζ'. Ὅτι μᾶλλον ἀκράτῳ χαίρουσιν οἱ γέροντες. pag. 41.

ή. Διὰ τί τὰ γράμματα πόῤῥωθεν οἱ πρεσβύτεροι μᾶλλον ἀναγινώσκουσι. 42.

ϑ. Διὰ τί τῷ ποτίμῳ βέλτιον ὕδατι ἢ τῷ θαλαττίῳ πλύνεται τὰ ἱμάτια. 46.

ί. Διὰ τί τῆς Αἰαντίδος Φυλῆς Ἀθήνησιν οὐδέποτε τὸν Χορὸν ἔκριναν ὕστατον. 50.

LI. ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ Β. 54.

Convivalium Diſputationum Liber II.

α'. Τίνα ἐστὶν, ἃ Ξενοφῶν παρὰ πότον ἥδιον ἐρωτᾶσθαί φησι καὶ σκώπτεσθαι, ἢ μή. 55.

β'. Διὰ τί βρωτικώτεροι γίνονται περὶ τὸ μετόπωρον. 73.

γ'. Πότερον ὄρνις πρότερον ἢ τὸ ὠὸν ἐγένετο. 75.

δ'. Εἰ πρεσβύτατον ἡ πάλη τῶν ἀγωνισμάτων. 83.

έ. Διὰ τί τῶν ἀθλημάτων Ὅμηρος πρῶτον ἀεὶ τάττει τὴν πυγμὴν, δεύτερον δὲ τὴν πάλην, τελευταῖον δὲ τὸν δρόμον. 85.

ς. Διὰ τί πεύκη καὶ πίτυς καὶ τὰ ὅμοια τούτοις οὐκ ἐνοφθαλμιάζει. 89.

ζ'. Περὶ τῆς ἐχενηΐδος. pag. 92.

η. Διὰ τί τὰς λυκοσπάδας ἵππους θυμοειδεῖς εἶναι λέγεται. 94.

θ'. Διὰ τί τὰ λυκόβρωτα τῶν προβάτων τὸ κρέας μὲν γλυκύτερον, τὸ δὲ ἔριον φθειροποιὸν ἔχει. 95.

ι. Πότερον οἱ παλαιοὶ βέλτιον ἐποίουν πρὸς μερίδας, ἢ οἱ νῦν ἐκ κοινοῦ δειπνοῦντες. 97.

LII. ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ Γ. 104.

Convivalium Disputationum Liber III.

α. Εἰ χρηστέον ἀνθινοῖς στεφάνοις παρὰ πότον. 106.

β'. Περὶ τοῦ κιττοῦ, πότερον τῇ φύσει θερμὸς ἢ ψυχρός ἐστιν. 115.

γ'. Διὰ τί αἱ γυναῖκες ἥκιστα μεθύσκονται, τάχιστα δὲ οἱ γέροντες. 121.

δ. Πότερον ψυχρότεραι τῇ κράσει τῶν ἀνδρῶν, ἢ θερμότεραί εἰσιν αἱ γυναῖκες. 123.

ε. Εἰ ψυχρότερος τῇ δυνάμει ὁ οἶνος. 127.

ς'. Περὶ καιροῦ συνουσίας. 131.

ζ'. Διὰ τί τὸ γλεῦκος ἥκιστα μεθύσκει. 141.

η. Διὰ τί τῶν ἀκροθωράκων λεγομένων οἱ σφόδρα μεθύοντες ἧττον παρακινητικοί εἰσιν. pag. 143.

θ. Περὶ τῦ πέντε πίνειν, ἢ τρία, ἢ μὴ τέσσαρα. 146.

ι. Διὰ τί τὰ κρέα σήπεται μᾶλλον ὑπὸ τὴν σελήνην ἢ τὸν ἥλιον. 148.

LIII. ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ Δ. 156.

Convivalium Disputationum Liber IV.

α. Εἰ ἡ ποικίλη τροφὴ τῆς ἁπλῆς εὐπεπτοτέρα. 158.

β. Διὰ τί δοκεῖ τὰ ὕδνα τῇ βροντῇ γίνεσθαι· ἐν ᾧ καὶ, Διὰ τί τὰς καθεύδοντας οἴονται μὴ κεραυνῦσθαι. 170.

γ. Διὰ τί πλείςες ἐν γάμοις ἐπὶ δεῖπνον καλῦσιν. 178.

δ. Εἰ ἡ θάλασσα τῆς γῆς εὐοψοτέρα. 181.

ε. Πότερον οἱ Ἰεδαῖοι σεβόμενοι τὴν ὗν, ἢ δυσχεραίνοντες ἀπέχονται τῶν κρεῶν. 189.

ς. Τίς ὁ παρὰ Ἰεδαίοις θεός. 195.

*ζ'. Διὰ τί τὰς ὁμωνύμους τοῖς πλάνησιν ἡμέρας ὀ κατὰ τὴν ἐκείνων τάξιν ἀλλ' ἐνηλλαγμένως ἀριθμοῦσιν· ἐν ᾧ καὶ, Περὶ ἡλίου τάξεως.

*η'. Διὰ τί τῶν δακτύλων μάλιστα τῷ παραμέσῳ σφραγῖδας φοροῦσιν.

*θ'. Εἰ δεῖ θεῶν εἰκόνας ἐν ταῖς σφραγῖσιν, ἢ σοφῶν ἀνδρῶν, φορεῖν.

*ι'. Διὰ τί τὸ μέσον τῆς θρίδακος αἱ γυναῖκες ὀ τρώγουσιν.

LIV. ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ Ε. 199.

Convivalium Disputationum Liber V.

α'. Διὰ τί τῶν μιμουμένων τοὺς ὀργιζομένους καὶ λυπουμένους ἡδέως ἀκούομεν, αὐτῶν δὲ τῶν ἐν τοῖς πάθεσιν ὄντων ἀηδῶς. 201.

β'. Ὅτι παλαιὸν ἦν ἀγώνισμα τὸ τῆς ποιητικῆς. 204.



(Partes * notatae perierunt.)

γ'. Τίς αἰτία δι' ἣν ἡ πίτυς ἱερὰ Ποσειδῶνος ἐνομίσθη καὶ Διονύσε· καὶ ὅτι τὸ πρῶτον ἐςεΦάνεν τῇ πίτυϊ τὲς Ἴσθμια νικῶντας, ἔπειτα σελίνῳ, νυνὶ δὲ πάλιν τῇ πίτυϊ. p. 208.

δ. Περὶ τῦ „Ζωρότερον δὲ κέραιρε." 214.

ε. Περὶ τῶν πολλὲς ἐπὶ δεῖπνον καλέντων. 217.

ϛ'. Τίς ἡ αἰτία τῆς ἐν ἀρχῇ ςενοχωρίας τῶν δειπνέντων, εἶτα ὕςερον εὐρυχωρίας. 221.

ζ. Περὶ τῶν καταβασκαίνειν λεγομένων. 223.

η. Διὰ τί τὴν μηλέαν ἀγλαόκαρπον ὁ ποιητὴς εἶπεν, Ἐμπεδοκλῆς δὲ ὑπέρΦλοια τὰ μῆλα. 232.

θ'. Τίς ἡ αἰτία δι' ἣν ἡ συκέα, δριμύτατον ὄσα δένδρον, γλυκύτατον παρέχει τὸν καρπὸν. 235.

ι. Τίνες οἱ περὶ ἅλα καὶ κύμινον· ἐν ῷ καὶ, Διὰ τί τὸν ἅλα θεῖον ὁ ποιητὴς εἶπεν. 237.

LV.

LV. ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ϛ. pag. 241.

Convivalium Diſputationum Liber VI.

α. Τίς ἡ αἰτία δι' ἣν οἱ νηστεύοντες διψῶσι μᾶλλον ἢ πεινῶσιν. 243.

β'. Πότερον ἔνδεια ποιεῖ τὸ πεινῆν καὶ διψῆν ἢ πόρων μεταχηματισμός. 245.

γ'. Διὰ τί πεινῶντες μὲν, ἐὰν πίωσι, παύονται· διψῶντες δ', ἂν φάγωσιν, ἐπιτείνονται. 251.

δ'. Διὰ τίνα αἰτίαν τὸ φρεατίδιον ὕδωρ ἀρυσθὲν, ἐὰν ἐν αὐτῷ τῷ τοῦ φρέατος ἀέρι νυκτερεύσῃ, ψυχρότερον γίνεται. 255.

ε. Διὰ τίνα αἰτίαν οἱ χάλικες καὶ αἱ μολιβδίδες ἐμβαλλόμεναι, ψυχρότερον τὸ ὕδωρ ποιοῦσιν. 257.

ϛ. Διὰ τίνα αἰτίαν ἀχύροις καὶ ἱματίοις τὴν χιόνα διαφυλάττουσιν. 259.

ζ'. Εἰ δεῖ τὸν οἶνον ἐνδιηθεῖν. 262.

η. Τίς αἰτία βουλίμου. 267.

θ. Διὰ τί ὁ ποιητὴς ἐπὶ μὲν τῶν ἄλλων ὑγρῶν τοῖς ἰδίοις ἐπιθέτοις χρῆται, μόνον δὲ τὸ ἔλαιον ὑγρὸν καλεῖ. pag. 274.

ι. Τίς αἰτία δι' ἣν ψαθυρὰ γίνεται ταχὺ τὰ ἐκ συκῆς κρεμαννύμενα τῶν ἱερείων. 278.

LVI. ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ Ζ. 281.

Convivalium Disputationum Liber VII.

α. Πρὸς τὲς ἐγκαλἕντας Πλάτωνι τὸ ποτὸν εἰπόντι διὰ τἕ πνεύμονος διεξιέναι. 282.

β'. Τίς ὁ παρὰ Πλάτωνι κερασβόλος, καὶ διὰ τί τῶν σπερμάτων ἀτεράμονα γίνεται τὰ προσπίπτοντα τοῖς κέρασι τῶν βοῶν. 291.

γ'. Διὰ τί τἕ μὲν οἴνε τὸ μέσον, τἕ δὲ ἐλαίε τὸ ἐπάνω, τἕ δὲ μέλιτος τὸ κατώτατον, γίνεται βέλτιον. 295.

δ'. Διὰ τί τοῖς πάλαι Ῥωμαίοις ἔθος, ἦν μὴ τράπεζαν αἰρομένην περιορᾶν κενὴν, μηδὲ λύχνον σβεννύμενον. 298.

ε. Ὅτι δεῖ μάλιστα τὰς διὰ τῆς κακομεσίας ἡδονὰς φυλάττεσθαι, καὶ πῶς φυλακτέον. 303.

ε. Περὶ τῶν λεγομένων σκιῶν, καὶ εἰ δεῖ βαδίζειν καλέμενον πρὸς ἑτέρες ὑφ' ἑτέρων ἐπὶ δεῖπνον, καὶ πότε, καὶ παρὰ τίνας. 311.

ζ'. Εἰ δεῖ παρὰ πότον αὐλητρίσι χρῆσθαι. 320.

ή. Τίσι μάλιςα χρηςέον ἀκροάμασι παρὰ δεῖπνον. 322.

θ'. Ὅτι βελεύεσθαι παρὰ πότον ἐχ ἧττον ἦν Ἑλληνικὸν ἢ Περσικόν. 331.

ι. Εἰ καλῶς ἐποίεν βελευόμενοι παρὰ πότον. 333.

LVII. ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ Η. 339.
Convivalium Diſputationum Liber VIII.

ά. Περὶ ἡμερῶν ἐν αἷς γεγόνασί τινες τῶν ἐπιφανῶν· ἐν ᾧ καὶ, Περὶ τῆς λεγομένης ἐκ θεῶν γενέσεως. 340.

β'. Πῶς Πλάτων ἔλεγε, Τὸν θεὸν ἀεὶ γεωμετρεῖν. 344.

γ'. Διὰ τί τῆς ἡμέρας ἠχωδεςέρα ἡ νύξ. 350.

δ'. Διὰ τί τῶν ἱερῶν ἀγώνων ἄλλας ἄλλον ἔχει ςέφανον, τὸν δὲ φοίνικα πάντες. ἐν ᾧ καὶ, Διὰ τί τὰς μεγάλας φοινικοβαλάνες νικολάες καλᾶσιν. 358.

ε. Διὰ τί πρὸ ἡμέρας ἐκ τῶ Νείλε οἱ πλέοντες ὑδρεύονται. 364.

ς'.

ϛ'. Περὶ τῶν ὀψὲ παραγινομένων ἐπὶ τὸ δεῖπνον· ἐν ᾧ καὶ, Πόθεν ἀκράτισμα, καὶ ἄριστον, καὶ δεῖπνον, ὠνομάσθη. pag. 366.

ζ'. Περὶ συμβόλων Πυθαγορικῶν, ἐν οἷς παρεκελεύοντο χελιδόνα οἰκίᾳ μὴ δέχεσθαι, καὶ τὰ στρώματα συνταράττειν εὐθὺς ἀναστάντας. 370.

η. Διὰ τί μάλιστα οἱ Πυθαγορικοὶ ἐμψύχων τοὺς ἰχθῦς παρῃτοῦντο. 373.

θ'. Εἰ δυνατόν ἐστι συστῆναι καινὰ νοσήματα, καὶ δι' ἃς αἰτίας. 380.

ι. Διὰ τί τοῖς φθινοπωρινοῖς ἐνυπνίοις ἥκιστα πιστεύομεν. 390.

LVIII. ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ Θ. 396.

Convivalium Disputationum Liber IX.

α. Περὶ στίχων εὐκαίρως ἀναπεφωνημένων, καὶ ἀκαίρως. 396.

β'. Τίς αἰτία δι' ἣν τὸ ἄλφα προτάττεται τῶν στοιχείων. 400.

γ'. Κατὰ ποίαν ἀναλογίαν ὁ τῶν φωνηέντων καὶ ἡμιφώνων ἀριθμὸς συντέτακται. 403.

δ'. Ποτέραν χεῖρα τῆς Ἀφροδίτης ἔτρωσεν ὁ Διομήδης. . pag. 405.

ε. Διὰ τί Πλάτων εἰκοστὴν ἔφη τὴν Αἴαντος ψυχὴν ἐπὶ τὸν κλῆρον ἐλθεῖν. 406.

ς. Τί αἰνίττεται ὁ περὶ τῆς ἥττης τοῦ Ποσειδῶνος μῦθος· ἐν ᾧ καὶ, Διὰ τί τὴν δευτέραν Ἀθηναῖοι τοῦ Βοηδρομιῶνος ἐξαίρουσιν. 410.

* ζ'. Τίς αἰτία τῆς εἰς τριάδα διαιρέσεως τῶν μελῶν.

* η. Τίνι διαφέρει τὰ ἐμμελῆ διαστήματα τῶν συμφώνων.

* θ'. Τίς αἰτία συμφωνήσεως. ἐν ᾧ καὶ, Διὰ τί τῶν συμφώνων ὁμοῦ κρουομένων, τοῦ βαρυτέρου γίνεται τὸ μέλος.

* ι. Διὰ τί τῶν ἐκλειπτικῶν περιόδων ἡλίου καὶ σελήνης ἰσαρίθμων ὄντων, ἡ σελήνη φαίνεται πλεονάκις ἐκλείπουσα τοῦ ἡλίου.

* ιά. Περὶ τοῦ μὴ τοὺς αὐτοὺς διαμένειν ἡμᾶς, ἀεὶ τῆς οὐσίας ῥεούσης.

* ιβ'. Πότερόν ἐστι πιθανώτερον τὸ ἀρτίους εἶναι τοὺς σύμπαντας ἀστέρας ἢ περιττούς.

ιγ'. Περὶ τȣ̃ ἐν τῇ τρίτῃ ῥαψωδίᾳ τῆς Ἰλιάδος ἀντινομικȣ̃ ζητήματος. pag. 412.

ιδ'. Περὶ τȣ̃ ἀριθμȣ̃ τῶν Μȣσῶν, ὅσα λέγεται μὴ κοινῶς. 417.

ιε. Ὅτι τρία μέρη τῆς ὀρχήσεως, Φορὰ, καὶ σχῆμα, καὶ δεῖξις· καὶ τί ἕκαστον αὐτῶν, καὶ τίνα κοινὰ ποιητικῆς καὶ ὀρχηστικῆς. 428.

# LECTORI CVLTORIQVE
## *PLVTARCHI*
### S. P. D.
### JOANNES GEORGIVS HVTTEN.

Quintum jam nunc *Operum Plutarchi Moralium & Philosophicorum* Volumen, universos *Disputationum Convivalium* libros simul complectens, Tuis, Benevole Lector! trado manibus, Tuaeque commendo indulgentiae & benignitati. Tardius quidem, quam publice promiseram, illud mihi absolvere licuit: at loci munerisque mutatione, quae mihi in eo curando versanti obtigit, & ad interrumpendum laborum meorum ordinem necessario valuit, me satis iri excusatum spero.

De peculiaribus subsidiis ad hoc Volumen pertinentibus plane nihil esset, quod monere possem, nisi

sin-

ſingulari iſta, quam olim *) praedicare debui, beati Strobelii humanitate & benevolentia adjutus, paucas pagellas accepiſſem, quibus *Wittebergae* prima Libri primi quaeſtio una cum prooemio edita fuit. Neque anni adeſt nota; neque ejus nomen inſcriptum apparet, qui editionem curavit. At vix dubio locus eſſe videtur, quin *Melanchthoni*, textum, quem publice tractaret, emittenti, ſit adſcribenda. Quid inde lucri potuerim facere, ex ipſis notulis ſatis patebit.

Vale, Benevole Lector! Fave Plutarcho noſtro! Fave mihi! Dabam Denkendorfii Idib. Decemb. MDCCXCVIII.

*) v. Praefat. Vol. VII. opp. Plut. pag. X.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ

### ΒΙΒΛΙΑ Θ'.

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

### PROOEMIUM.

Τὸ μισέω μνάμονα συμπόταν, ὦ Σόσσιε Σενεκίων, ἔνιοι πρὸς τοὺς ἐπιστάθμους [1] εἰρῆσθαι λέγουσι, φορτικοὺς ἐπιεικῶς καὶ ἀναγώγους ἐν τῷ πίνειν ὄντας· οἱ γὰρ ἐν Σικελίᾳ Δωριεῖς (ὡς ἔοικε) τὸν ἐπίσταθμον μνάμονα προσηγόρευον. ἔνιοι δὲ [2] τὴν παροιμίαν οἴονται τοῖς παρὰ πότον λεγομένοις καὶ πραττομένοις ἀμνηστίαν ἐπάγειν· διὸ τήν τε λήθην οἱ πάτριοι λόγοι καὶ τὸν νάρθηκα τῷ θεῷ συγκαθιεροῦσιν, ὡς ἢ μηδενὸς δέον μνημονεύειν τῶν ἐν οἴνῳ πλημμεληθέντων, ἢ παντελῶς ἐλαφρᾶς καὶ παιδικῆς νουθεσίας δεομένων. ἐπεὶ δὲ καὶ
III. σοὶ δοκεῖ τῶν μὲν ἀτόπων ἡ λήθη τῷ ὄντι σοφὴ κατ' Εὐριπίδην εἶναι· τὸ δὲ ὅλως ἀμνημονεῖν [3] τῶν ἐν οἴνῳ, μὴ μόνον τῷ φιλοποιῷ λεγομένῳ [1] μάχεσθαι τῆς τρα-

1 Modimperatores, reges ſ. magiſtros convivii apud Romanos.

2 Frſt. & R. καὶ. Reſtitui δὲ ex edd. prioribus.

3 Sic rectius legi, notavit H. Steph. reſtituique ex Ald. Baſ. Witt. cum W. conſentientibus Xyl. E. H. Vat. Flor. pro vulg. ἀμνημονεύειν, quod e Steph. in rell. transiit.

4 Turn. Bong. λεγομένων.

τραπέζης, ἀλλὰ καὶ τῶν Φιλοσόφων τὰς ἐλλογιμωτάτους ἀντιμαρτυροῦντας ἔχειν, Πλάτωνα, καὶ Ξενοφῶντα, καὶ Ἀριστοτέλην, καὶ Σπεύσιππον, Ἐπίκουρόν τε καὶ Πρύτανιν [1], καὶ Ἱερώνυμον, καὶ Δίωνα τὸν ἐξ Ἀκαδημίας [2], ὡς ἄξιόν τινος [3] σπουδῆς πεποιημένους ἔργον, ἀναγράψασθαι λόγους παρὰ πότον γενομένους· ᾠήθης τε [4] δεῖν ἡμᾶς τῶν σποράδην πολλάκις ἔν τε Ῥώμῃ [5] μεθ' ὑμῶν, καὶ παρ' ἡμῖν ἐν τῇ Ἑλλάδι, παρούσης ἅμα τραπέζης καὶ κύλικος, Φιλολογηθέντων συναγαγεῖν τὰ ἐπιτήδεια· πρὸς τοῦτο γενόμενος, τρία μὲν ἤδη [6] σοὶ πέπομφα τῶν βιβλίων, ἑκάστου δέκα προβλήματα περιέχοντος· πέμψω δὲ καὶ τὰ λοιπὰ ταχέως, ἂν ταῦτα δόξῃ μὴ παντελῶς ἄμουσα μηδ' ἀπροσδιόνυσα εἶναι.

QUAE-

1 Inter philosophos, qui scripserint in conviviis disputata, Xyl. haud novit Prytanim. R. eum notat fuisse Peripateticum, de quo Fabr. B. Gr. T. II. p. 303. haud quidem memorato Symposio, quod Plutarchus eum ait edidisse.

2 Fuit hic Dion Alexandrinus, de quo Fabric. B. Gr. T. III. p. 328. cum aliis ejusdem nominis non confundendus.

3 Witteb. ἄξιόν τινα; manu correctum legitur ἄξιόν τι.

4 Ald. Bas. ᾠήθησάν τε. Witteb. ᾠήθην ἄρα.

5 Ald. Bas. pro ἔν τε Ῥώμῃ exhibent ἐν ἑτέρῳ μή. Hanc lectionem aperte mendosam, & in Xyl. item in scriptis E. H. Venet. Flor. Vat. Palat. obviam, Steph. Amiot. Mez. R. ita correxerunt, uti nunc extat. W. idem recepit. In Steph. ed. & rell. est ἐν τῇ Ῥώμῃ, ut habet item Anon. In Witteb. legitur ἑκατέρωθι. Secutus sum deinde H. Steph. & R. sententiam, dando μεθ' ὑμῶν pro vulg. μεθ' ἡμῶν.

6 Ald. Witteb. εἴδη, id quod in hujus versione interlineari exprimitur *specimina*. Paulo ante pro τοῦτο Witt. τούτῳ.

## QUAESTIO I.

### An philosophandum sit inter pocula [1]?

Πρῶτον δὲ πάντων τέτακται τὸ περὶ τοῦ φιλοσοφεῖν παρὰ πότον. μέμνησαι [2] γὰρ, ὅτι, ζητήσεως Ἀθήνησι μετὰ δεῖπνον γενομένης, εἰ χρηστέον ἐν οἴνῳ φιλοσόφοις λόγοις, καὶ τί μέτρον ἐστὶ χρωμένοις, Ἀρίστων [3] παρών· Εἰσὶ γὰρ (ἔφησε) πρὸς τῶν θεῶν οἱ φιλοσόφοις χώραν [4] ἐπ' οἴνῳ μὴ διδόντες; ἐγὼ δ' εἶπον· Ἀλλ' οὐ γὰρ [5] εἰσιν, ὦ ἑταῖρε [6], οἱ καὶ πάνυ γε σεμνῶς κατειρωνευόμενοι λέγουσι, μὴ δεῖν, ὥσπερ οἰκοδέσποιναν, ἐν οἴνῳ φθέγγεσθαι φιλοσοφίαν; καὶ τοὺς Πέρσας [7] ὀρθῶς φασι μὴ ταῖς γαμεταῖς, ἀλλὰ ταῖς παλλακίσι, συμμεθύσκεσθαι καὶ συνορχεῖσθαι· ταυτὸ δὴ καὶ ἡμᾶς ἀξιοῦσι ποιεῖν, εἰς τὰ συμπόσια τὴν μουσικὴν καὶ τὴν ὑποκριτικὴν ἐπεισάγοντας [8], φιλοσοφίαν δὲ μὴ κινοῦντας, ὡς οὔτε συμπαίζειν ἐκείνην [9] ἐπιτήδειον οὖσαν, οὔτε ἡμᾶς τηνικαῦτα σπουδαστικῶς ἔχοντας· οὐδὲ γὰρ Ἰσοκράτην τὸν σοφιστὴν ὑπομεῖναι δεομένων εἰπεῖν τι παρ' οἶνον,



1 Personae Colloquii sunt Sossius Senecio, Aristo, Plutarchus, Crato, alii.

2 Ita H. Steph. & R. reponendum censuerunt, & est in Bas. dedique cum W. adsentientibus H. Xyl. Amiot.

3 Jonsius in Script. H. Ph. p. 239. citat *Aristionem*, non *Aristonem* in personis a Plutarcho in sermon. conv. productis. R.

4 Ald. Bas. Witt. χῶρον.

5 Xyl. legendum monuit ἀλλὰ γὰρ, idque melius quadrare, quam si ἀλλ' οὐ γὰρ εἶεν legas interrogative.

6 Turn. V. Bong. ὦ ἑταῖροι. H. Steph. ἑταῖρε retinendum monuit, eique addendum οἱ, quod in edd. prioribus abfuit.

7 E Macrobio, H. Steph. docente, pro Πέρσας reponendus esset accusativus Πάρθους.

8 Ald. Bas. ἐπεισάγοντες.

9 R. maluit ἐκείνη, scil. *musicae* aut *histrionicae*, vel etiam ἐκείνας, ut ad ambas illas artes referatur oratio.

οἴνου [1], ἀλλ' ἢ τοσῦτον· Ἐν οἷς μὲν ἐγὼ δεινὸς, οὐχ ὁ νῦν καιρός· ἐν οἷς δ' ὁ νῦν καιρὸς, οὐκ ἐγὼ δεινός.

II. Καὶ ὁ Κράτων ἀνακραγών· Εὖ γε (εἶπε) νὴ τὸν Διόνυσον, ἐξώμνυτο τὸν λόγον, εἰ τοιαύτας ἔμελλε περαίνειν περιόδους, αἷς ἔμελλε χαρίτων ἀνάστατον γενήσεσθαι [2] συμπόσιον. οὐχ ὅμοιον δ' οἶμαι ῥητορικὸν ἐξαίρειν [3] συμποσίου λόγον, καὶ φιλόσοφον· ἀλλ' ἕτερόν ἐστι τὸ [4] φιλοσοφίας, ἥν, τέχνην περὶ βίου οὖσαν, οὔτε τινὸς παιδιᾶς οὔτε τινὸς ἡδονῆς διαγωγὴν ἐχούσης ἀποστατεῖν εἰκὸς, ἀλλὰ πᾶσι παρεῖναι τὸ μέτρον καὶ τὸν καιρὸν ἐπιφέρουσαν [5]. ἢ μηδὲ σωφροσύνην, μηδὲ δικαιοσύνην οἰώμεθα [6] δεῖν εἰς τοὺς πότους δέχεσθαι, κατειρωνευόμενοι τὸ σεμνὸν αὐτῶν. εἰ μὲν οὖν, ὥσπερ οἱ τὸν Ὀρέστην ἑστιῶντες [7], ἐν θεσμοθετείῳ [8] πῃ τρώγειν καὶ πίνειν

1 Sic Xyl. H. Steph. & R. dandum censuerunt, & sic Turn. V. Bong. notatur, dedique pro vulg. πάροινον.

2 Bas. Witt. γενέσθαι.

3 Turn. V. Bong. ἐξεγείρειν.

4 R. susp. ἕτερόν ἐστί τι τὸ τῆς φιλ. *at aliud quid est philosophia*, aliter habet res philosophiae.

5 R. susp. ἐπιτηροῦσαν.

6 Bas. Witt. οἰόμεθα. Deinde pro πότους Ald. Bas. Witt. τόπους. Xyl. in πότους mutandum monuit.

7 Proverbii locum haec apud Graecos obtinuisse videntur, quibus convivium indicetur, in quo altum servabatur silentium. Quo modo exceptus convivio Orestes fuerit, nondum solutus scelere, licet apud Athenaeum L. 10, c. 10. legas, & Suid. in Χόες, & Pausan. L. 3. c. 31.

8 Vulgo θεσμοθείῳ. Quid hoc valeat, Xyl. fuit dubius, legens, vertensque ἐνθέσμῳ σιωπῇ, *legibus imperato silentio adhibito*, quod probat Mez. & Schottus Obs. Hum. V. 29. — H. Steph. corrigendum monuit θεσμοθετείῳ, *basilica Thesmothetarum*, magistratuum Atheniensium, e Novemviris illis annuis, numero sex, qui legum ferendarum rationem habebant. Probat hanc vocem R. consentientibus Turn. & V. eamque recepi cum W. Favent eidem Schott. & Anon. & proxime accedunt E. H. Venet. Vatic. Palat. in quibus est θεσμοθετίῳ. Fuisse videntur in hoc loco subinde convivia, silentio quodam insignia.

πίνειν ἐμέλλομεν, ἦν τι τοῦτο τῆς ἀμαθίας οὐκ ἀτυχὲς [1] παραμύθιον· εἰ δὲ πάντων μὲν ὁ Διόνυσος Λύσιός ἐστι καὶ Λυαῖος [2], μάλιστα δὲ τῆς γλώττης ἀφαιρεῖται τὰ χαλινὰ, καὶ πλείστην ἐλευθερίαν τῇ φωνῇ δίδωσιν, ἀβέλτερον οἶμαι καὶ ἀνόητον, ἐν λόγοις πλεονάζοντα καιρὸν [3] ἀποστερεῖν τῶν ἀρίστων λόγων, καὶ ζητεῖν μὲν ἐν ταῖς διατριβαῖς περὶ συμποτικῶν καθηκόντων, καὶ τίς ἀρετὴ συμπότου, καὶ πῶς οἴνῳ χρηστέον, ἐξ αὐτῶν δὲ τῶν συμποσίων ἀναιρεῖν φιλοσοφίαν, ὡς ἔργῳ βεβαιοῦν, ἃ διδάσκει λόγῳ, μὴ δυναμένην.

III. Σοῦ [4] δ' εἰπόντος, οὐκ ἄξιον εἶναι Κράτωνι περὶ τούτων ἀντιλέγειν, ὅρον δέ τινα καὶ χαρακτῆρα τῶν παρὰ πότον φιλοσοφουμένων ζητεῖν, ἐκφεύγοντα τοῦτο δὴ τὸ παιζόμενον οὐκ ἀηδῶς πρὸς τοὺς ἐρίζοντας καὶ σοφιστιῶντας.

Νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα [5].

καὶ παρακαλοῦντος ἡμᾶς ἐπὶ τὸν λόγον· ἔφην ἐγὼ πρῶτον, ὅτι μοι [6] δοκεῖ σκεπτέον εἶναι τὸ τῶν παρόντων ἂν



1 Dedi ſic e Xyl. mente pro vulg. εὐτυχὲς. Non male agitur cum indoctis, quoties iis licet ſilentio ſuam inſcitiam tegere. Recepi porro παραμύθιον, jubentibus H. Steph. & R. e Baſ. & Witt. pro vulg. παραμύθον. Habet idem W.

2 Dedi Λυαῖος pro vulg. Λύδιος, jubente R. & ſic corrigente Pierſon. Veroſim. p. 230. W. cenſuit καὶ Λύδιος aut delendum, aut legendum καὶ Λύαιος. De nomine Λύδιος cf. Vol. VII. pag. 219. not. 8.

3 Ald. Baſ. Xyl. Witt. πλεονάζον τὸ ἄκαιρον. Conſentiunt E. H. Venet. Flor. Inde R. ſuſp. πλεονάζοντα ἀκαίροις (aut καιρὸν οὐκ ἔχουσιν) ἀποστερεῖν. Lectio, quae nunc adeſt, debetur Steph. eamque, W. notante, Vatic. & Palat. videntur firmare. Poſt ἀποστερεῖν W. addit δέ.

4 Reſtitui σοῦ, R. jubente, ex Ald. Baſ. Witt. Conſentiunt Xyl. Amiot. Mez. H. pro vulg. Τοῦ, quod Steph. ex Coll. Muret. Leonic. Schott. Anon. ſumſit, ipſe tamen notans, rectius eſſe σοῦ. Alloquitur Soſium Senecionem.

5 Hom. Iliad. II, 381.

6 R. mavult ἔφην ἐγὼ, ὅτι πρῶτόν μοι &c.

ἂν μὲν γὰρ πλείονας ἔχῃ φιλολόγους τὸ συμπόσιον· ὡς τὸ Ἀγάθωνος [1], Σωκράτους, Φαίδρους, Παυσανίας, Ἐρυξιμάχους· καὶ τὸ Καλλίου, Χαρμίδας, Ἀντισθένεις, Ἑρμογένεις, ἑτέρους τούτοις παραπλησίους, ἀφήσομεν αὐτοὺς μύθῳ [2] φιλοσοφεῖν, οὐχ ἧττον ταῖς Μούσαις τὸν Διόνυσον ἢ ταῖς Νύμφαις κεραννύντας [3]. ἐκεῖναι μὲν γὰρ αὐτὸν τοῖς σώμασιν ἵλεω καὶ πρᾶον, αὗται δὲ ταῖς ψυχαῖς μειλίχιον ὄντως καὶ χαριδότην ἐπεισάγουσι. καὶ γὰρ ἂν ὀλίγοι τινὲς ἰδιῶται παρῶσιν, ὥσπερ ἄφωνα γράμματα φωνηέντων, ἐν μέσῳ πολλῶν τῶν πεπαιδευμένων ἐμπεριλαμβανόμενοι, φθογγῆς τινος οὐ παντελῶς ἀνάρθρου καὶ συνέσεως κοινωνήσουσιν· ἂν δὲ πλῆθος ᾖ τοιούτων ἀνθρώπων, οἳ παντὸς μὲν ὀρνέου, παντὸς δὲ νεύρου καὶ ξύλου μᾶλλον ἢ φιλοσόφου φωνὴν ὑπομένουσι, τὸ τοῦ [4] Πεισιστράτου χρήσιμον. ἐκεῖνος γὰρ ἐν διαφορᾷ τινι πρὸς τοὺς υἱοὺς γενόμενος, ὡς ᾔσθετο τοὺς ἐχθροὺς χαίροντας, ἐκκλησίαν συναγαγὼν, ἔφη βούλεσθαι μὲν αὐτὸς [5] πεῖσαι τοὺς παῖδας, ἐπεὶ δὲ δυσκόλως ἔχουσιν, αὐτὸν ἐκείνοις πείσεσθαι καὶ ἀκολουθήσειν. οὕτω δὴ καὶ φιλόσοφος ἀνὴρ ἐν συμπόταις, μὴ δεχομένοις τοὺς λόγους αὐτοῦ, μεταθέμενος ἕψεται, καὶ ἀγαπήσει τὴν ἐκείνων διατριβὴν, ἐφ' ὅσον μὴ ἐκβαίνει τὸ εὔσχημον [6]. εἰδὼς, ὅτι

1 Agathonis convivium Plato, Calliae Xenophon enarravit. Cf Pauli Leopardi Emend. 19, 31. R. Pro τὸ Καλλίου in Witteb. vitiose datur τὸ κάλλιον, vertiturque, *quod pulchrius est*. Nomen Ἑρμογένεις Xyl. restituit pro Ἑργογώνης, quod antea legebatur.

2 W. notat, Interpp. non reddidisse μύθῳ, nec sane in hunc locum congruere.

3 Sic R. e Turn. & V. dandum censuit, dedique cum W.

4 Ald. Bas. Witt. τοῦτο pro τὸ τοῦ. Xyl. correxit. De Pisistrato, Athenarum tyranno cf. Herodot. I, 59. sqq.

5 Ald Bas. Witt. αὐτόν.

6 H Steph. susp. scribendum ἐκβαίνει τοῦ εὐσχήμονος. Sic quoque Turn. & V. Tuetur R. vulgatam, cum ἐκβαίνειν τι persa-

ὅτι ῥητορεύουσι μὲν ἄνθρωποι διὰ λόγου, φιλοσοφοῦσι δὲ καὶ σιωπῶντες καὶ παίζοντες, καὶ νὴ Δία σκωπτόμενοι καὶ σκώπτοντες. οὐ γὰρ μόνον ἀδικίας ἐσχάτης ἐστὶν, (ὥς φησι Πλάτων) μὴ ὄντα δίκαιον εἶναι δοκεῖν, ἀλλὰ καὶ συνέσεως ἄκρας, φιλοσοφοῦντα μὴ δοκεῖν φιλοσοφεῖν, καὶ παίζοντα διαπράττεσθαι τὰ τῶν σπουδαζόντων. ὡς γὰρ αἱ παρ' Εὐριπίδῃ μαινάδες ἄνοπλοι καὶ ἀσίδηροι τοῖς θυρσαρίοις παίουσαι τοὺς ἐπιτιθεμένους [1] τραυματίζουσιν, οὕτω τῶν ἀληθινῶν φιλοσόφων καὶ τὰ σκώμματα καὶ οἱ γέλωτες τοὺς μὴ παντελῶς ἀτρώτους κινοῦσιν ἀμωσγέπως, καὶ συνεπιστρέφουσιν.

IV. Οἶμαι δὲ [2] διηγήσεων εἶναί τι συμποτικὸν γένος, ὧν τὰς μὲν ἱστορία δίδωσι, τὰς δ' ἐκ τῶν ἀνὰ χεῖρα πραγμάτων λαβεῖν ἐστι, πολλὰ μὲν εἰς φιλοσοφίαν παραδείγματα, πολλὰ δ' εἰς εὐσέβειαν ἐχούσας ἀνδρικῶν τε πράξεων καὶ μεγαλοθύμων, ἐνίας δὲ χρηστῶν καὶ φιλανθρώπων ζῆλον ἐπαγούσας· αἷς ἤν τις ἀνυπόπτως χρώμενος διαπαιδαγωγῇ τοὺς πίνοντας, οὐ τὰ ἐλάχιστα τῶν κακῶν ἀφαιρήσει τῆς μέθης. οἱ μὲν οὖν τὰ βούγλωσσα καταμιγνύντες εἰς τὸν [3] οἶνον, καὶ τοῖς ἀποβρέγμασι τῶν περιστερεώνων [4] καὶ ἀδιάντων τὰ ἐδάφη ῥαίνοντες, ὡς τούτων τινὰ τοῖς ἑστιωμένοις εὐθυμίαν καὶ φιλοφροσύ-



perinde dicatur, atque ἐκβαίνειν τινές. Vitium autem hic idem in ἐκβαίνει esse putat, & legendum ἐκβαίνειν, cum ἐφ' ὅσον idem sit atque ὥστε, & pariter adsciscat infinitivum.

1 Bas. Witt. ἐπιθεμένους. Locus Euripidis est in Bacch. v. 735. 761. Witt. postea pro καὶ οἱ γ. habet ὡς οἱ γ.

2 R. post δὲ addi vult καί. Ald. deinde Bas. Witt. συμποτικόν.

3 Witt. omittit articulum τόν.

4 Ald. Bas. &, W. notante, codd. scripti ἀπὸ ἐρέγμασι τῶν ἀριστερέων. Witt. ἀπερέγμασι τῶν περιστέρεων. Prius jam Xyl. correxit in ἀποβρέγμασι. E Turn. notatur quoque ἀποβρέγμασι τῶν περιστερεῶν. H. Steph. recepit lectionem ex emendatione H. Junii. Memorantur herbarum genera, magicis incantationibus & lustrationibus adhiberi solita.

νην ἐνδιδόντων, ἀπομιμέμενοι τὴν Ὁμηρικὴν Ἑλένην [1] ὑποφαρμάτἰεσαν τὸν ἄκρατον, ἐ συνορῶσιν, ὅτι κἀκεῖνος [2] ὁ μῦθος ἐκπεριελθὼν [3] ἀπ' Αἰγύπἰε μακραν ὁδὸν εἰς λόγες ἐπιεικεῖς καὶ πρέποντας ἐτελεύτησεν. ἡ γὰρ Ἑλένη πίνεσιν αὐτοῖς διηγεῖται περὶ τε Ὀδυσσέως·

Ἀλλ' οἷον τόδ' [4] ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ,
Αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας.

τῦτο γὰρ ἦν (ὡς ἔοικε) τὸ νηπενθὲς φάρμακον καὶ ἀνώδυνον, λόγος ἔχων καιρὸν ἁρμόζοντα τοῖς ὑποκειμένοις πάθεσι καὶ πράγμασιν. οἱ δὲ χαρίεντες, κἂν ἀπ' εὐθείας φιλοσοφῶσι, τηνικαῦτα διὰ τε πιθανε μᾶλλον ἢ βιαστικε τῶν ἀποδείξεων ἄγεσι τὸν λόγον. ὁρᾷς γὰρ, ὅτι καὶ Πλάτων ἐν τῷ συμποσίῳ περὶ [5] τέλες διαλεγόμενος, καὶ τε πρώτε ἀγαθε, καὶ ὅλως θεολογῶν, ἐκ ἐντείνει τὴν ἀπόδειξιν, ἐδ' ὑποκονίεται [6], τὴν λαβὴν (ὥσπερ εἰώθεν) εὔτονον ποιῶν καὶ ἄφυκἰον, ἀλλ' ὑγροτέροις λήμμασι, καὶ παραδείγμασι, καὶ μυθολογίαις προσάγεται τὲς ἄνδρας.

V. Εἶναι δὲ δεῖ καὶ αὐτὰς τὰς ζητήσεις ὑγροτέρας, καὶ γνώριμα τὰ προβλήματα, καὶ τὰς πεύσεις ἐπιεικεῖς, καὶ μὴ γλίσχρας· ἵνα μὴ πνίγωσι τὲς ἀνοητοτέρες, μηδ' ἀποτρέπωσιν. ὥσπερ γὰρ τὰ σώματα [7] πινόν-

1 Hom. Odyss. 4, 220. sqq.

2 R. mavult κἀκείνοις, *etiam illis*, Helenae convivis.

3 Xyl. ἐκ ante περιελθὼν non probavit. R. tuetur ut probum, elegans atque efficax — *post longas ambages tandem eo, quo debebat, circumactus & delatus.*

4 absunt ab Ald. Bas. Witt. ἀλλ' & τόδ'. E Turn. notatur τόδ'.

5 in Witt. impressum ἐπί; manu correctum περί.

6 *pulverem adspergit.* Metaphora a luctatoribus sumta.

7 audacius forte sic recepi pro vulg. τὰ συμπόσια. At quid haec vox valeat, nescio. R. voluit τὰ σώματα τῶν πινόντων. W. praestare σώματα πιν. notat ex eodem & Mez. In ed. Witt. impressum legitur ἐν τοῖς συμποσίοις πινόντων, at manu correctum, ut vulgo extat.

νόντων δι' ὀρχήσεως καὶ χορείας νενόμισαι σαλεύειν, ἂν δὲ ὁπλομαχεῖν ἀνασάντας ἢ δισκεύειν ἀναγκάζωμεν αὐτὰς, ὐ μόνον ἀτερπὲς, ἀλλὰ καὶ βλαβερὸν ἔσαι τὸ συμπόσιον· ὕτω τὰς ψυχὰς αἱ μὲν ἐλαφραὶ ζητήσεις ἐμμελῶς καὶ ὠφελίμως κινῦσιν, ἐριδαντέων δὲ (κατὰ Δημόκριτον) καὶ ἱμαντελικτέων [1] λόγυς ἀφετέον, οἳ αὐτύς τε κατατείνυσιν ἐν πράγμασι γλίσχροις καὶ δυσθεωρήτοις, τύς τε παρατυγχάνοντας ἀνιῶσι. δεῖ γὰρ, ὡς τὸν οἶνον, κοινὸν εἶναι καὶ τὸν λόγον, ὗ πάντες μεθέξυσιν. οἱ δὲ τοιαῦτα προβλήματα καθιέντες, ὐδὲν ἂν τῆς Αἰσωπείυ γεράνυ καὶ ἀλώπεκος ἐπιεικέσεροι πρὸς κοινωνίαν φανεῖεν· ὧν ἡ μὲν ἔτνος τι λιπαρὸν κατὰ λίθυ πλατείας καταχεαμένη [2], ἐδέξατο τὴν γέρανον, ἀλλὰ γέλωτα πάχυσαν, ἠνία· ἐξέφευγε γὰρ ὑγρότητι τὸ ἔτνος τὴν λεπτότητα τῦ σόματος αὐτῆς. ἐν μέρει [3] τοίνυν ἡ γέρανος αὐτῇ καταγγείλασα δεῖπνον, ἐν λαγυνίδι πρῦθηκε λεπτὸν ἐχύσῃ καὶ μακρὸν τράχηλον, ὥς' αὐτὴν μὲν καθιέναι τὸ σόμα ῥᾳδίως καὶ ἀπολαύειν, τὴν δ' ἀλώπεκα μὴ δυναμένην, κομίζεσθαι συμβολὰς πρεπύσας. ὕτω τοίνυν, ὅταν οἱ φιλόσοφοι παρὰ πότον εἰς λεπτὰ

A 5 καὶ

1 Ald. Baſ. Witt. ἐριδανταίων & ἱμαντελικταίων. Salmaſ. ſcribendum monuit ἐριδαντύων & ἱμαντελικτύων.

2 Vulgo καταχεαμένην. H. Steph. nominativum dandum monuit. Eundem V. exhibet ſic καὶ χεαμένη, vitioſe pro καταχ. Impreſſum quoque dat Witt. Reſtitui cum W. accedente Anon. Vulgo deinde ſtatim legebatur ἀλλὰ γέλωτα πάσχυσαν, ἠνία. Hoc ipſum ἠνία abeſt a Baſ. & Ald. Hinc Xyl. notavit, locum eſſe vitiatum. H. Steph. quid pro ἀλλὰ reponendum, ſe non aſſequi conjectura fatetur. R. ſuſp. καταχεαμένη καὶ πεινῶσαν ἀποπέμψασα τὴν γέρανον, ἅμα τε γέλωτα παραχῦσαν, *& jejunam remiſit & deriſam.* V. habet ἠνία, & pro γέλωτα ſuſp. γελοῖα, addens, aliquid hic deſiderari. W. ſuſp. καταχεαμένη ἠνία ἅμα γέλωτα παρέχυσαν. Ed. Witt. poſt καταχεαμένη habet ἐδέξατο τὴν γέρανον γέλωτα πάσχυσαν· ἐξέφ. γὰρ. Inde reponenda cenſui, quae nunc leguntur ἐδέξ. τ. γέρ. in reliquis nihil mutare auſus.

3 Witt. ἐν μικρῷ pro ἐν μέρει.

καὶ διαλεκτικὰ προβλήματα καταδύντες ἐνοχλῶσι τοῖς πολλοῖς ἕπεσθαι μὴ δυναμένοις· ἐκεῖνοι δὲ πάλιν ἐπ' ᾠδάς [1] τινας καὶ διηγήματα φλυαρώδη καὶ λόγους βαναύσους καὶ ἀγοραίους ἐμβάλωσιν ἑαυτούς, οἴχεται τῆς συμποτικῆς κοινωνίας τὸ τέλος, καὶ καθύβρισται ὁ Διόνυσος. ὥσπερ οὖν Φρυνίχου καὶ Αἰσχύλου τὴν τραγῳδίαν εἰς μύθους καὶ πάθη [2] προαγόντων, ἐλέχθη· Τί ταῦτα πρὸς τὸν Διόνυσον; οὕτως ἔμοιγε πολλάκις εἰπεῖν παρέστη πρὸς τοὺς ἕλκοντας εἰς τὰ συμπόσια τὸν κυριεύοντα [3]. Ὦ ἄνθρωπε, τί ταῦτα πρὸς τὸν Διόνυσον; ᾄδειν [4] γὰρ ἴσως τὰ καλούμενα σκολιὰ [5], κρατῆρος ἐν μέσῳ προκειμένου, καὶ στεφάνων διανεμομένων, οὓς ὁ θεὸς ἐλευθερῶν ἡμᾶς ἐπιτίθησιν, οὐ καλὸν [6] οὐδὲ συμποτικόν. ἐπεί τοι

1 Vulgo una voce ἐπῳδάς, & postea ἑαυτοῖς. R. voluit simplex ᾠδάς, aut si pro ἑαυτοῖς reponatur ἑαυτούς, dandum censuit εἰς ᾠδάς τινας, *conjiciunt se in cantica.* Dedi ἐπ' ᾠδάς & ἑαυτοὺς e Turn. & V. cum W. accedente Anon.

2 R. docente, significat Plutarchus, ante Aeschyli & Phrynychi tempora in scenam non fuisse productas alias fabulas, quam satyricas, h. e. Bacchum ejusque ludicros & ridicularios satellites, Silenos & Satyros: at illos coepisse deos & heroas & historiam omnem fabulosam casusque lugubres in scenam producere. Haud probat idem Xyl. versionem: *cum Phrynichi & Aeschyli tragoediae in res ludicras & fabulosas detorquerentur.* Ed. Witt. ita habet: ὥσπερ οὖν οἱ τὴν Φρυνίχου καὶ Αἰσχύλου τραγῳδίαν — προάγοντες ἠλέγχθησαν, ὅτι ταῦτα οὐδὲν πρὸς τὸν Διόνυσον. Turn. Bong. ὥσπερ οὐ.

3 Xyl. legi voluit κυρίττοντα. R. tuetur vulgatam. Ita dici solebat genus argumentationis sophisticae.

4 Sic R. legi voluit cum Salmas. Turn. & V. dedique cum W. adsentientibus H. Anon. pro vulg. ᾄδω. Vulgo post hanc vocem fuit μὲν, quod delendum censuit R. nisi quaedam in fine hujus problematis desint. Delevi. Pro ἴσως W. mavult ἔθος: quo assumto, particulae μὲν & δὲ omnino valent.

5 H. Steph. ex auctoritate quorundam grammaticorum scribi jussit σκόλια.

6 Vulgo οὐ καλὸν δέ. R. hoc δὲ delendum monuit — *cantare scolia, decorum quidem non est, neque convivia decet.* Delevi cum Wittеb.

τοι καὶ τὰ σκολιά φασιν ἐ γένος ᾀσμάτων εἶναι πεποιημένων ἀσαφῶς, ἀλλ' ὅτι πρῶτον μὲν ᾖδον ᾠδὴν τῷ θεῷ κοινῶς ἅπαντες μιᾷ φωνῇ παιανίζοντες, δεύτερον [1] δ' ἐφεξῆς ἑκάστῳ [2] μυρσίνης παραδιδομένης, ἣν αἴσακον [3] οἶμαι, διὰ τὸ ᾄδειν τὸν δεξάμενον, ἐκάλυν· ἐπὶ δὲ τέτῳ [4] λύρας περιφερομένης, ὁ μὲν πεπαιδευμένος ἐλάμβανε, καὶ ᾖδεν [5] ἁρμοζόμενος, τῶν δ' ἀμέσων ἐ προσιεμένων, σκολιὸν ὠνομάσθη τὸ μὴ κοινὸν αὐτῷ μηδὲ ῥᾴδιον. ἄλλοι δέ φασι, τὴν μυρσίνην ἐ καθεξῆς βαδίζειν, ἀλλὰ καθ' ἕκαστον ἐπὶ κλίνην [6] διαφέρεσθαι. τὸν γὰρ πρῶτον ᾄσαντα τῷ πρώτῳ τῆς δευτέρας κλίνης ἀποστέλλειν· ἐκεῖνον δὲ τῷ πρώτῳ τῆς τρίτης, εἶτα τὸν δεύτερον ὁμοίως τῷ δευτέρῳ. καὶ τὸ ποικίλον καὶ πολυκαμπὲς (ὡς ἔοικε) τῆς περιόδε, σκολιὸν ὠνομάσθη.

QUAE-

1 Vulgo δευτέραν. Hinc H. Steph. vel δεύτερον δὲ, ut πρῶτον μὲν, vel πρώτην μὲν, ut δευτέραν δὲ, legi voluit. V. habet δεύτερος. Turn. δεύτερον, quod dedi.

2 R. mavult aut ἕκαςος aut ἕκαςοι.

3 Ald. Baf. ut libri fcripti ἄσαρκον. R. defendit, notans idem effe videri, atque ᾄσαρχον, quafi τῷ ᾄσαι ἄρχουσαν, quia qui eam accipit, *canere incipit*, & κ locum literae χ, ut faepe alias, obtinere. Xyl. legit ἄσαρον. Eodem notante, Junius habet ἄδαρκον. H. Steph. maluit ἄσακον aut αἴσακον. Dedit prius, quod in vet. cod. annotatum invenit. Pofterius voluit Salmaf. & exhibent Turn. & V. dedique. Idem probaffe videtur W. cum eosdem fontes fuae lectionis, Turn. & V., cum Anon. notet. At vitiofe impreffum eft in textu & nota αἴσακον.

4 Ald. Baf. Witt. τῦτο.

5 Ald. Baf. οἶδεν. Xyl. legendum monuit ᾖειδεν.

6 Ald. Witt. ἐπὶ κλίνης ἐπὶ κλίνην; Baf. ἐκ κλίνης ἐπὶ κλίνην; Turn. V. Bong. ἀπὸ κλίνης ἐπὶ κλίνην.

## QUAESTIO II.

An convivas is, qui convivio excipit, ipse debeat collocare: an vero collocationem convivarum arbitrio permittere [1].

Τίμων, ὁ ἀδελφὸς, ἑςιῶν πλείονας, ἕκαςον ἐκέλευε τῶν εἰσιόντων, ὅποι βέλεται, παρεμβάλλειν καὶ κατακλίνεσθαι, διὰ τὸ καὶ ξένες, καὶ πολίτας, καὶ συνήθεις [2], καὶ οἰκείες, καὶ ὅλως παντοδαπὲς τὲς κεκλημένες εἶναι. πολλῶν ἔν ἤδη παρόντων, ξένος τις ὥσπερ εὐπάρυφος ἐκ κωμῳδίας, ἐσθῆτί τε περιτ]ῇ καὶ ἀκολεθίᾳ παίδων ὑποσολοικότερος, ἧκεν ἄχρι τῶν θυρῶν τε ἀνδρῶνος, καὶ κύκλῳ ταῖς ὄψεσιν ἐπελθὼν τὲς κατακειμένες, ἐκ ἠθέλησεν εἰσελθεῖν, ἀλλ' ᾤχετο ἀπιών· καὶ πολλῶν μεταθεόντων, ἐκ ἔφη τὸν ἄξιον ἑαυτε τόπον ὁρᾷν λειπόμενον. ἐκεῖνον μὲν ἔν πολλῷ γέλωτι χαίροντας, εὐφημῆντας, ἐκπέμπειν δόμων ἐκέλευον οἱ κατακείμενοι. καὶ γὰρ ἦσαν πολλοὶ μετρίως ὑποπεπωκότες [3].

II. Ἐπεὶ δὲ τὰ περὶ τὸ δεῖπνον τέλος εἶχεν, ὁ πατὴρ ἐμὲ πορρωτέρω κατακείμενον προσειπών· Τίμων (ἔφη) κἀγὼ κριτήν σε πεποιήμεθα διαφερόμενοι· πάλαι γὰρ ἀκέει κακῶς ὑπ' ἐμε διὰ τὸν ξένον· εἰ γὰρ διετάτ]ετο ἀπ' ἀρχῆς, ὥσπερ ἐκέλευον ἐγὼ, τὰς κλίσεις, ἐκ ἂν εὐθύνας ὑπείχομεν ἀταξίας ἀνδρὶ δεινῷ

Κοσμῆσαι ἵππες τε καὶ ἀνέρας ἀσπιδιώτας [4].

καὶ γὰρ δὴ Παῦλον Αἰμίλιον ςρατηγὸν λέγεσιν, ὅτε Περσέα καταπολεμήσας ἐν Μακεδονίᾳ, πότες συνεκρότει,

1 Personae colloquii sunt Timon, Hospes, Plutarchus, Pater ejus, Lamprias, alii.

2 R. mavult *ἀσυνήθεις*, *non familiares*, ut opponatur τοῖς *οἰκείοις*.

3 Bas. *ὑποπεπ]ωκότες*. Xyl. correxit.

4 Hom. Iliad. II, 554.

τει, κόσμῳ τε θαυμαςῷ περὶ πάντα καὶ τῇ λοιπῇ τάξει χρώμενον, εἰπεῖν, ὅτι τῦ αὐτῦ ἀνδρός ἐςι, καὶ φάλαγγα συςῆσαι φοβερωτάτην, καὶ συμπόσιον ἥδιςον· ἀμφότερα γὰρ εὐταξίας εἶναι. καὶ τὰς ἀρίςυς καὶ τὰς βασιλικωτάτυς ὁ ποιητὴς εἴωθε κοσμήτορας λαῶν προσαγορεύειν. καὶ τὸν μέγαν θεὸν ὑμεῖς πυ φατὲ τὴν ἀκοσμίαν εὐταξίᾳ μεταβαλεῖν εἰς κόσμον, ἔτ' ἀφελόντα τῶν ὄντων ὐδὲν, ἔτε προσθέντα, τῷ δὲ [1] ἕκαςον ἐπὶ τὴν προσήκυσαν χώραν καταςῆσαι, τὸ κάλλιςον ἐξ ἀμορφοτάτυ σχῆμα περὶ τὴν φύσιν ἀπεργασάμενον. ἀλλὰ ταῦτα μὲν τὰ σεμνότερα καὶ μείζονα παρ' ὑμῶν μανθάνομεν· αὐτοὶ δὲ καὶ τὴν περὶ τὰ δεῖπνα δαπάνην ὁρῶμεν ὐδὲν ἔχυσαν ἐπιτερπὲς ὐδ' ἐλευθέριον, εἰ μὴ τάξεως μετάσχοι. διὸ καὶ γελοῖόν ἐςι, τοῖς μὲν ὀψοποιοῖς καὶ τραπεζοκόμοις σφόδρα μέλειν [2], τί πρῶτον, ἢ τί δεύτερον, ἢ μέσον, ἢ τελευταῖον ἐπάξυσι, καὶ, νὴ Δία, μύρυ τινὰ καὶ ςεφάνων, καὶ ψαλτρίας (ἂν τύχῃ παρῦσα) χώραν καὶ τάξιν εἶναι· τὺς δ' ἐπὶ ταῦτα καλυμένυς, εἰκῇ καὶ ὡς ἔτυχε κατακλίναντα χορτάζειν, μήτε ἡλικίᾳ, μήτ' ἀρχῇ, μήτ' ἄλλῳ τινὶ τῶν ὁμοίων, τὴν ἁρμόττυσαν ἀποδιδόντα τάξιν, ἐν ᾗ τιμᾶται μὲν ὁ προέχων, ἐθίζεται [3] δὲ ὁ δευτερεύων [4], γυμνάζεται δὲ ὁ τάττων πρὸς διάκρισιν καὶ ςοχασμὸν τῦ πρέποντος. ὐ γὰρ ἕδρα μέν ἐςι καὶ ςάσις τῦ κρείττονος, κατάκλισις δ' ὐκ ἔςιν· ὐδὲ προπίεται ἑτέρῳ πρὸ ἑτέρυ [5] μᾶλλον ὁ ἑςιῶν, περὶ δὲ τὰς κατακλίσεις παρόψεται τὰς διαφορὰς, εὐθὺς ἐν ἀρχῇ τὴν λεγομένην [6] μίαν Μύκονον

1 Baſ. τὸν δὲ. Xyl. correxit.

2 Baſ. μέλλειν. Xyl. correxit.

3 R. ſuſp. deeſſe μεονεκτεῖν, vel ſimile quid.

4 Turn. ὁ δαιτρεύων, quod Adr. Junius expreſſit. Xyl. tuetur vulgatam.

5 Ald. Baſ. dant unum vocabulum προτέρυ.

6 Baſ. ἀγομένην. Xyl. correxit. *Myconos*, inſula maris Aegaei,

νον ἀποφήνας τὸ συμπόσιον. ἡ μὲν οὖν τοῦ πατρὸς δικαιολογία τοιαύτη τις ἦν.

III. Ὁ δ' ἀδελφὸς εἶπεν, ὅτι τοῦ Βίαντος οὐκ εἴη σοφώτερος, ὥς', ἐκείνου δυεῖν φίλων ἀπειπαμένου δίαιταν, αὐτὸς ὁμοῦ τοσούτων μὲν οἰκείων, τοσούτων δὲ ἑταίρων [1] γίνεσθαι κριτὴς, οὐ περὶ χρημάτων, ἀλλὰ περὶ πρωτείων ἀποφανούμενος [2], ὥσπερ οὐ φιλοφρονήσασθαι παρακεκληκὼς, ἀλλ' ἀνικῆσαι τοὺς ἐπιτηδείους. ἄτοπος μὲν οὖν (ἔφη) καὶ παροιμιώδης Μενέλαος [3], εἴγε σύμβουλος ἐγένετο μὴ παρακεκλημένος· ἀτοπώτερος δὲ ὁ ποιῶν ἑαυτὸν ἀνθ' ἑστιάτορος δικαστὴν καὶ κριτὴν τῶν οὐκ ἐπιτρεπόντων, οὐδὲ κρινομένων, τίς ἐστι βελτίων τίνος; ἢ χείρων· οὐ γὰρ εἰς ἀγῶνα καθείκασιν, ἀλλ' ἐπὶ δεῖπνον ἥκουσιν, ἀλλ' οὐδ' εὐχερὴς ἡ διάκρισίς ἐστι, τῶν μὲν ἡλικίᾳ, τῶν δ' οἰκειότητι [4] διαφερόντων. ἀλλὰ δεῖ, καθάπερ ὑπόθεσιν μελετῶντα συγκριτικὴν, τοὺς Ἀριστοτέλους τόπους, ἢ τοὺς Θρασυμάχου [5] ὑπερβάλλοντας ἔχειν προχείρους, οὐδὲν τῶν χρησίμων διαπραττόμενον, ἀλλὰ τὴν κενὴν δόξαν ἐκ τῆς ἀγορᾶς καὶ τῶν θεάτρων εἰς τὰ συμπόσια μετάγοντα, καὶ τὰ μὲν ἄλλα πάθη πειρώμενον ἀνιέναι, συνουσίᾳ, τὸν δὲ τῦφον ἐπισκευάζοντα, ὃν [6] πολὺ μᾶλλον οἶμαι προσ-

Aegaei, una Cycladum, fub qua poetae fabulantur fepultos effe Gigantes, poftremo ab Hercule interfectos, unde proverbium, *omnia fub unum Myconon congerere*, quod in eos dici confuevit, qui res natura disjunctas eodem libro vel titulo conantur complecti.

1 Dedi ἑταίρων, R. jubente, pro vulg. ἑτέρων.

2 Vulgo πρωτείων, ἀποφανούμενος ὥσπερ. H. Steph. poft ἀποφαν. interpungendum monuit. Id obfervavi cum W.

3 cf. Iliad. II, 404—408.

4 Palat. plenius ἡλικίᾳ, τῶν δὲ δυνάμει, τῶν δὲ χρείᾳ, τῶν δ' οἰκειότητι.

5 Significat Thrafymachum Chalcedonium, quem artem rhetoricam & locos communes fcripfiffe auctores funt Cicero, Quintilianus & alii. v. Fabric. B. Gr. T. IV. p. 488. R.

6 Ald. Baf. παρώμενον ἅμα μὲν συνουσίᾳ, τὸν δὲ τύχην ἐπισκευά-

προσήκει τῆς ψυχῆς, ἢ τὸν πηλὸν ἀπονιψαμένους τῶν ποδῶν, ἐλαφρῶς καὶ ἀφελῶς παρὰ πότον ἀλλήλοις συμφέρεσθαι. νῦν δὲ, τὴν μὲν ἐξ ὀργῆς τινος ἢ πραγμάτων ἔχθραν πειρώμεθα τῶν κεκλημένων ἀφαιρεῖν, τῇ δὲ φιλοτιμίᾳ πάλιν ὑπεκκάομεν, καὶ ἀναζωπυροῦμεν, τοὺς μὲν ταπεινοῦντες, τοὺς δ' ὀγκοῦντες. καίτοι γε, εἰ μὲν [1] ἀκολουθήσουσι τῇ κατακλίσει προπόσεις τε συνεχέστεραι καὶ παραθέσεις, ἔτι δὲ ὁμιλίαι καὶ προσαγορεύσεις, παντάπασι γενήσεται σατραπικὸν ἡμῖν ἀντὶ φιλικοῦ τὸ συμπόσιον. εἰ δὲ περὶ τἄλλα τὴν ἰσότητα τοῖς ἀνδράσι φυλάξομεν, τί οὐκ ἐντεῦθεν ἀρξάμενοι πρῶτον ἐθίζομεν ἀτύφως καὶ ἀφελῶς [2] κατακλίνεσθαι μετ' ἀλλήλων, εὐθὺς ἀπὸ τῶν θυρῶν ὁρῶντας [3], ὅτι δημοκρατικῶς ἐπὶ τὸ δεῖπνον, καὶ οὐκ ἀριστοκρατικῶς ἐξ αἱρετῶν, ὥσπερ ἐπὶ τὴν πόλιν, κέκληνται; ἐφ' οὗ κατακλιθεὶς ὁ πλούσιος συγκατεκλίθη [4] τοῖς εὐτελεστάτοις.

IV.

σκευάζοντα * ὄν. Turn. πειρώμενον ἀνιέναι συνουσίᾳ, τὸν δὲ τύχης ἐπισκευάζειν τῦφον, ὃν πολὺ &c. V. πειρώμενον ἀνιέναι συνουσία, τὸν δὲ ἐπισκευάζοντα τῦφον πολὺ &c. Lectio, quae nunc exstat, debetur Stephano. Consentiunt Schott. Anon. Exempl. Turn. Amiot. & partim MSS. Pro προσήκει R. mavult προσήκειν.

1 Bas. εἰ μή. Xyl. correxit, adsentiente Aldina.

2 Ald. ἀδελφῶς.

3 R. probante, restitui ὁρῶντας ex Ald. & Bas. cum W. accedentibus Xyl. Flor. Palat. Vatic. Mez. Vulgo ὁρῶντες.

4 Ald. Bas. Xyl. quibuscum, W. notante, libri scripti consentiunt: ὅτι Δημόκριτος ἐπὶ τὸ δεῖπνον, καὶ οὐκ * ἐξαίρετον ὡς * πόλιν ἐφ' οὗ κατακλιθεὶς ὁ πλούσιος ἐν τῇ κατακλίσει τοῖς εὐτελ. Turn. ὅτι δημοκρατικῶς ἐπὶ τὸ δεῖπνον, οὐκ ἀριστοκρατικῶς καλούμεθα ἐξ αἱρετῶν, ὥσπερ ἐπὶ τὴν πόλιν, ἐφ' οὗ συγκατεκλίθη ὁ πλούσιος. V. ἀριστοκρατικῶς κέκληνται ἐξ αἱρετῶν ὥσπερ ἐπὶ τὴν πόλιν, ἐφ' οὗ συγκατεκλίθη ὁ πλούσιος ἐν τῇ κατακλίσει &c. W. judice, Stephanus, cui lectio vulgata debetur, Turnebum & Amiotum secutus videtur. R. sic locum effingit: δημοκρατικῶς ἴμεν ἐπὶ τὸ δεῖπνον, καὶ οὐκ ἐξαίρετον ἔχομεν τόπον, ἐφ' οὗ κατακλιθεὶς ὁ πλούσιος τῶν πενήτων πλεονεκτῇ.

IV. Ἐπεὶ δὲ καὶ ταῦτα ἐῤῥήθη, καὶ τὴν κρίσιν ἀπήτουν οἱ παρόντες, ἔφην ἐγὼ, διαιτητὴς ᾑρημένος, οὐ κριτὴς, βαδιεῖσθαι διὰ μέσου. Νέους μὲν γὰρ (εἶπον) ἑστιῶντας, καὶ πολίτας καὶ συνήθεις ἐθιστέον (ὥς φησι Τίμων) ἀφελῶς καὶ ἀτύφως κατανέμειν αὑτοὺς εἰς ἣν ἂν τύχωσι χώραν, καλὸν εἰς φιλίαν ἐφόδιον τὴν εὐκολίαν λαμβάνοντας. ἐν δὲ ξένοις, ἢ ἄρχουσιν, ἢ πρεσβυτέροις φιλοσοφοῦντες [1] δέδια μὴ δοκῶμεν τῇ αὐλείῳ τὸν τῦφον ἀποκλείοντες, εἰσάγειν τῇ παραθύρῳ [2] μετὰ πολλῆς ἀδιαφορίας· ἐν ᾧ καὶ συνηθείᾳ τι καὶ νόμῳ δοτέον. ἢ καὶ προπόσεις καὶ προσαγορεύσεις οὐ νέλωμεν, αἷς πρὸς τοὺς ἐπιτυγχάνοντας οὐδ᾽ ἀκρίτως, ἀλλ᾽ ὡς ἐνδέχεται μάλιστα [3] χρώμενοι, τιμῶμεν·

Ἕδρῃ τε κρέασίν τε, ἰδὲ [4] πλείαις δεπάεσσιν,

ὥς φησιν ὁ τῶν Ἑλλήνων βασιλεὺς, τὴν τάξιν ἐν πρώτῃ τιμῇ τιθέμενος. ἐπαινοῦμεν δὲ καὶ τὸν Ἀλκίνουν, ὅτι τὸν ξένον ἱδρύει παρ᾽ αὐτὸν,

Υἱὸν ἀναστήσας ἀγαπήνορα Λαοδάμαντα [5],

Ὅς

νεκλήσαι ἐν τῇ κατακλίσει. W. turbatum locum ita ordinandum censet: ὅτι δημοκρατικῶς ἐπὶ τὸ δεῖπνον, καὶ οὐκ ἀριστοκρατικῶς, ἐξ αἱρετῶν ὡς ἐπὶ τὴν πόλιν κέκληνται, ἐφ᾽ ᾧ συγκατακλιθεὶς ὁ πλούσιος ἐγκαλήσει τοῖς εὐτελεστάτοις, *se electos vocari ad convivium veluti ad rempublicam, non optimatum illam, sed popularem, ea conditione ut contentus sit dives accumbens cum tenuissimis.*

1 Dedi, R. jubente, e Bas. pro vulg. φιλοσοφοῦντας. W., qui idem recepit, susp. ἰσονομοῦντες.

2 Turn. V. τῇ αὐλείῳ ἀποκλείοντες παραθύρῳ εἰσάγοντες.

3 R. susp. αἷς πρὸς τοὺς ἐντυγχάνοντας οὐκ ἀκρίτως (ita V. pro οὐδ᾽ ἀκρ.) aut οὐκ εἰκῇ οὐδ᾽ ἀκρίτως, ἀλλ᾽, ὡς ἐνδέχεται, μάλιστα πεφυλαγμένως χρ. W. susp. αἷς οὐ πρὸς ἐπιτυγχάνοντας οὐδ᾽ ἀκρίτως, ἀλλ᾽ ὡς ἐνδέχεται ἐμμελέστατα χρ.

4 Turn. ἢ δὲ; V. ἠδὲ. Iliad. XII, 311. Versus autem non est regis Graeci, uti hic vel memoriae lapsu auctoris, vel incuria librarii legitur, sed Lyciorum, Sarpedonis.

5 Sic Xyl. & Steph. ex Hom. Odyss. VII, 169. reponendum

Ὅς οἱ πλησίον ἧστο· μάλιστα δέ μιν Φιλέεσκεν.

τὸ γὰρ εἰς τὴν τοῦ Φιλουμένου χώραν καθίσαι τὸν ἱκέτην, ἐπιδέξιον ἐμμελῶς καὶ Φιλάνθρωπον. ἔστι δὲ καὶ παρὰ τοῖς θεοῖς διάκρισις τῶν τοιούτων. ὁ μὲν γὰρ Ποσειδῶν, καίπερ ὕστατος εἰς τὴν ἐκκλησίαν παραγενόμενος,

Ἷζεν ἄρ' ἐν μέσσοισιν [1], —

ὡς ταύτης αὐτῷ τῆς χώρας προσηκούσης. ἡ δ' Ἀθηνᾶ Φαίνεται τὸν πλησίον ἀεὶ τοῦ Διὸς τόπον ἐξαίρετον ἔχουσα· καὶ τοῦτο παρεμΦαίνει μὲν ὁ ποιητής, δι' ὧν ἐπὶ τῆς Θέτιδός Φησιν·

Ἡ δ' ἄρα πὰρ Διῒ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη.

Διαῤῥήδην δὲ ὁ Πίνδαρος λέγει·

Πῦρ πνέοντος ἅτε κεραυνοῦ ἄγχιστα ἡμένη [2].

καίτοι Φησὶ Τίμων οὐ δεῖν ἀΦαιρεῖσθαι ἑνὶ προσνέμοντα τὴν τιμήν. ὅπερ αὐτὸς ἔοικε ποιεῖν μᾶλλον [3]. ἀΦαιρεῖται γὰρ ὁ κοινὸν ποιῶν τὸ ἴδιον· (ἴδιον δὲ [4] τὸ κατ' ἀξίαν ἑκάστου) καὶ ποιεῖ δρόμου καὶ σπουδῆς τὸ πρωτεῖον, ἀρετῇ καὶ συγγενείᾳ καὶ ἀρχῇ καὶ τοῖς τοιούτοις ὀΦειλό-

dum monuerunt, & habet V. dedique pro vulg. Λαομέδοντα. Turn. deinde & Bong. pro πλησίον habent πλησίαζε.

1 Iliad. XX, 15. & deinde, XXIV, 100.

2 Schneid. fragm. Pindar. p. 55.

3 Pro Φησὶ W. dari mavult Φήσει. Vulgo deinde legitur: Τίμων οὐ δ. ἀ. τῶν ἄλλων ἑνὶ ποιεῖν μᾶλλον. Vitiosa haec esse, Xyl. sensit, suspicans τῶν ἄλλων τὸ κοινὸν, τῷ ἑνὶ ποιεῖν ἴδιον. H. Steph. notat, pro ἑνὶ ποιεῖν quosdam reponere ὃ ποιεῖ (ita Turn. & V.) sed aliud mendum huic loco subesse videri. R. susp. καίτοι Φησὶ Τίμων οὐ δεῖν ἀΦαιρεῖσθαί τινα τὸ αὐτῷ προσῆκον. αὐτὸς δὲ χαριζόμενος (vel προσνέμων) τὰ τῶν ἄλλων ἑνὶ, τοῦτο ἔοικε ποιεῖν μᾶλλον, negat Timo decere, quenquam jure suo privari. Atqui ipse, largiens uni ea, quae aliorum sunt, id ipsum, quod vetat, magis, quam nos, facere videtur. Dando, quae nunc leguntur, secutus sum W. qui locum ex Palat. ita supplevit.

4 Turn. & V. omittunt δὲ. Iid. deinde καὶ ποιῶν pro καὶ ποιεῖ.



BIBLIOTEK ... UNIVERSITET

λόμενον. καὶ τὸ λυπηρὸν [1] εἶναι τοῖς κεκλημένοις φεύγειν δοκῶν, μᾶλλον ἐφέλκεται καθ' αὑτοῦ· λυπεῖ γὰρ ἀποςερῶν τῆς συνήθους τιμῆς ἕκαςον. ἐμοὶ δ' οὐ λίαν χαλεπὸν εἶναι δοκεῖ τὸ περὶ τὴν διάκρισιν. πρῶτον μὲν γὰρ ἐφάμιλλοι τοῖς ἀξιώμασι πολλοὶ πρὸς μίαν κλῆσιν οὐ ῥᾳδίως ἀπαντῶσιν· ἔπειτα πλειόνων τόπων ἐν δόξῃ γεγονότων, ἀφθονία τῆς διανομῆς ἐςιν, ἄν τις [2] εὐςοχεῖν δύνηται, τὸν μὲν, ὅτι πρῶτος, τὸν δὲ, ὅτι μέσος, τὸν δ' ὅτι παρ' αὐτὸν, ἢ μετὰ φίλου τινὸς, ἢ συνήθους, ἢ καθηγητοῦ, διδοὺς ἑκάςῳ τῶν ἀξιωματικῶν λεγομένων· τοῖς δὲ ἄλλοις [3] δωρεᾶς καὶ φιλοφροσύνην ἔλιπον ἀνάπαυλαν μᾶλλον τῆς τιμῆς. ἂν δὲ δυσδιάκριτοι [4] μὲν αἱ ἀξίαι, δύσκολοι δὲ οἱ ἄνδρες ὦσιν, ὅρα, τίνα μηχανὴν ἐπάγω. κατακλίνω γὰρ εἰς τὸν ἔνδοξον [5] μάλιςα τόπον, ἂν μὲν ᾖ πατὴρ, τοῦτον ἀρξάμενος· εἰ δὲ μὴ, πάππον, ἢ πενθερὸν, ἢ πατρὸς ἀδελφὸν, ἤ τινα τῶν ὁμολογουμένην [6] καὶ ἰδίαν ἐχόντων παρὰ τῷ δεχομένῳ

1 R. mavult λυπηρός.

2 Ald. Baf. Turn. V. ἄν τε. Xyl. correxit.

3 Reftitui δὲ cum W. ex Ald. Baf. Confentiunt E. H. Venet. Vat. Palat. Xyl. Deinde, tefte H. Steph. pro φιλοφροσύνην legitur quoque φιλοφροσύνης. Sic Turn. & V. Mavult fimul Steph. ἔλιπεν pro ἔλιπον, ut conveniat cum διδοὺς. R. fufp. τοῖς δ' ἄλλοις δωρεᾶς τόπον καὶ φιλοφροσύνης ὑπολείπων, ἀνάπαυλαν μᾶλλον ἢ ἀμέλειαν τῆς τιμῆς — *locum dans reliquis, in quo monftrent, fe poffe hofpiti fuo aliquid indulgere & ejus fecum familiaritati dare, fi honorem ille fibi debitum non tam negligat, quam ad tempus aliquod feponat velut & quiefcere finat.* W. autem: τοῖς δὲ ἄλλοις εὐκαίρους φιλοφροσύνας, ἄλυπον ἀνάπαυλαν μᾶλλον, ἢ ἀφαίρεσιν, τιμῆς.

4 Ald. Baf. ἂν δὲ * τοι. Xyl. notavit, τοι effe caudam alicujus adjectivi. Steph. ex vet. cod. repofuit δυσδιάκριτοι. Confentit, W. tefte, Anon. nec diffentiunt Flor. Venet. in ceteris non nifi τοι, ultima vocis parte, exftante.

5 Ald. Baf. εὔδοξον.

6 Ald. Baf. ὁμοδόλων. Xyl. legit τῶν ὁμοφύλων, tribulium.

In

μένῳ τιμῆς ὑπεροχήν· ἐκ τῶν Ὁμήρȣ τὸ θεώρημα τȣ̃το λαμβάνων καθηκόντων. καὶ γὰρ ἐκεῖ [1] δήπȣθεν ὁ Ἀχιλλεὺς τὸν Μενέλεων καὶ τὸν Ἀντίλοχον περὶ τῶν δευτερείων τῆς ἱπποδρομίας ὁρῶν διαφερομένȣς, καὶ δεδοικὼς, μὴ ποῤῥωτέρω προέλθωσιν ὀργῆς καὶ φιλονεικίας, ἑτέρῳ βȣ́λεται τὸ ἔπαθλον ἀποδιδόναι, λόγῳ μὲν Εὔμηλον οἰκτείρων καὶ τιμῶν, ἔργῳ δὲ τῆς ἐκείνων διαφορᾶς τὴν αἰτίαν ἀφαιρῶν.

V. Ἐμȣ̃ δὲ τοιαῦτα λέγοντος, ὁ Λαμπρίας ἐκ παραβύσȣ καθήμενος, καθάπερ εἰώθει, μέγα φθεγξάμενος, ἠρώτα τȣ̀ς παρόντας, εἰ διδόασιν αὐτῷ νȣθετῆσαι ληρȣ̃ντα δικαστήν. κελευόντων δὲ πάντων χρῆσθαι παῤῥησίᾳ, καὶ μὴ φείδεσθαι· Τίς δ' ἂν (ἔφη) φείσαιτο φιλοσόφȣ γένεσιν, καὶ πλȣ́τῳ [2], καὶ ἀρχαῖς, ὥσπερ θέαν, ἐν συμποσίῳ κατανέμοντος, ἢ προεδρίας [3] ψηφισμάτων ἀμφικτυονικῶν διδόντος; ὅπως μηδ' ἐν οἴνῳ τὸν τῦφον ἀποφύγωμεν. ȣ̓́τε γὰρ πρὸς τὸ ἔνδοξον, ἀλλὰ πρὸς τὸ ἡδὺ δεῖ ποιεῖσθαι τὰς κατακλίσεις· ȣ̓́τε τὴν ἑνὸς ἑκάσȣ σκοπεῖν ἀξίαν, ἀλλὰ τὴν ἑτέρȣ πρὸς ἕτερον σχέσιν καὶ ἁρμονίαν, ὥσπερ ἄλλων τινῶν εἰς μίαν κοινωνίαν παραλαμβανομένων [4]. ȣ̓δὲ γὰρ ὁ οἰκοδόμος τὸν Ἀττικὸν λίθον, ἢ τὸν Λακωνικὸν, πρὸ τȣ̃ βαρβαρικȣ̃ διὰ [5] τὴν εὐγένειαν τίθησιν· ȣ̓δὲ ὁ ζωγράφος τῷ πο-



In Steph. receptum fuit ὁμοβȣ́λων. Neutrum probat R. legendum suspicans τῶν ὁμοίων. Dando ὁμολογȣμένην secutus sum W. ita efficientem ex ὁμολογȣμένων, quod Palat. praebuit. Cum eodem deinde e Xyl. & R. mente recepi παρὰ τῷ δεχομένῳ pro vulg. παραδεχομένῳ.

1 Iliad. XXIII, 534. sqq.

2 Ald. Bas. πλȣ́τοις.

3 R. mavult addi ἀπὸ ante ψηφ. quod Kaltw. exprimit *und gleichsam durch amphyctionische Dekrete den Vorsiz zuerkennt.*

4 Secutus sum W. ita dantem ex E. Xyl. Mez. pro vulg. παραλαμβανόμενον.

5 Vulgo abest διά. Id dandum monuerunt Xyl. & R. & habet V. dedique cum W.

λυτελεστάτῳ χρώματι τὴν ἡγεμένην ἀποδίδωσι χώραν· ἐδὲ ὁ ναυπηγὸς προτάττει τὴν Ἰσθμικὴν πίτυν, ἢ τὴν Κρητικὴν κυπάριττον· ἀλλ' ὡς ἂν ἀλλήλοις ἕκαστα συντεθέντα καὶ συναρμοθέντα μέλλῃ τὸ κοινὸν ἔργον ἰσχυρὸν καὶ καλὸν καὶ χρήσιμον παρέχειν, ἕτω κατανέμεσι. καὶ τὸν θεὸν ὁρᾷς (ὃν ἀριστοτέχναν ἡμῶν ὁ Πίνδαρος προσεῖπεν [1]) ἐ πανταχῦ τὸ πῦρ ἄνω τάττοντα, καὶ κάτω τὴν γῆν, ἀλλ' ὡς ἂν αἱ χρεῖαι τῶν σωμάτων ἀπαιτῶσι.

Τῦτο μὲν ἐν κόγχαισι θαλασσονόμοις βαρυνότοις,
Ναὶ μὴν, κηρύκων τε λιθορρίνων χελύων τε

φησὶν Ἐμπεδοκλῆς [2],

Ἔνθ' ὄψει χθόνα χρωτὸς ὑπέρτατα ναιετάεσαν,

ἐχ ἣν ἡ φύσις δίδωσι χώραν, ἀλλ' ἣν ἡ πρὸς τὸ κοινὸν [3] ἔργον ποθεῖ σύνταξις, ταύτην ἔχεσαν. πανταχῦ μὲν ἓν ἀταξία πονηρὸν, ἐν δ' ἀνθρώποις, καὶ ταῦτα, πίνεσιν, ἐγγενομένη, μάλιστα τὴν αὑτῆς ἀναδείκνυσι μοχθηρίαν, ὕβρει καὶ κακοῖς ἄλλοις ἀμυθήτοις, ἃ προϊδέσθαι καὶ φυλάξασθαι, τακτικῦ καὶ ἁρμονικῦ ἀνδρός ἐστιν.

VI. Ὀρθῶς ἓν ἔφαμεν λέγειν αὐτὸν ἡμεῖς, καὶ, τί δὴ φθονεῖς τῶν τακτικῶν ἡμῖν καὶ ἁρμονικῶν; ἐλέγομεν [4]. Οὐδεὶς (ἔφη) φθόνος, ἂν μέλλητε πείθεσθαι

1 Cf. Vol. X. pag. 221. not. 5. Pro ἡμῶν R. quaerit, num ὑμνῶν, aut τεμῶν? Prius etiam Mez. commendat.

2 Citantur hi versus quoque in lib. de facie in orbe lunae, ubi post χελύων τε inseritur καὶ παντὸς ὀστρέε φύσιν, & in omni ostreorum genere. Pro ναὶ μὴ Xyl. legit καὶ μὴν, quod loc. cit. in Bas. extat. Monuit idem, metri causa λιθορρίνων cum duplici litera ρ scribendum, quia in Bas. est λιθορίνων.

3 Ald. Bas. πρὸς τὸ κοινόν.

4 Ald. Bas. ὧν ἐλέγομεν. Consentiunt Xyl. E. H. Palat. Vat. Idem restituendum monuit H. Steph. licet altera lectio auctoritate vet. cod. nitatur. R. tuetur vulgatam. W. judice, forte sana est: forte autem legendum ἐλέγχων, vel Ἐμοὶ μὲν ἐδεὶς, ἔφη, φθόνος.

θαι μετακινῦντί μοι καὶ μετακοσμῦντι τὸ συμπόσιον, ὥσπερ τῷ Ἐπαμεινώνδᾳ τὴν φάλαγγα. συνεχωρῦμεν ῦν ὅτω ποιεῖν ἅπαντες. ὁ δὲ τὺς παῖδας ἐκ μέσυ κελεύσας γενέθαι, καταβλέψας ἕκαςον· Ἀκύσατε, (εἶπεν) ὡς μέλλω συντάτ]ειν ὑμᾶς ἀλλήλοις· βύλομαι γὰρ προειπεῖν [1]. δοκεῖ γάρ μοι καὶ τὸν Ὅμηρον ὀκ ἀδίκως ὁ Θηβαῖος αἰτιάσαθαι Παμμένης [2] ὡς τῶν ἐρωτικῶν ἄπειρον, ὅτι φῦλα φύλοις συνέταξε, καὶ φατρίας φατρίαις συνέμιξε [3]. δέον ἐραςὴν μετ' ἐρωμένυ παρεμβάλλειν, ἵνα ᾖ σύμπνυς ἡ φάλαγξ δι' ὅλης ἔμψυχον ἔχυσα δεσμόν. Τῦτο [4] κἀγὼ βύλομαι ποιῆσαι τὸ συμπόσιον ἡμῶν, ὀ πλυσίῳ πλύσιον, ὀδὲ νέῳ νέον, ὀδ' ἄρχοντι συγκατακλίνων ἄρχοντα, καὶ φίλῳ φίλον· ἀκίνητος γὰρ αὕτη καὶ ἀργὴ πρὸς εὐνοίας ἐπίδοσιν καὶ γένεσιν ἡ τάξις· ἀλλὰ τῷ δεομένῳ τὸ οἰκεῖον προσαρμότ]ων, κελεύω φιλολόγῳ μὲν ὑποκατακλίνεθαι φιλομαθῆ, δυσκόλῳ δὲ πρᾶον, ἀδολέχῳ δὲ πρεσβύτῃ φιλήκοον νεανίσκον, τῷ δ' ἀλαζόνι τὸν εἴρωνα, τῷ δ' ὀργίλῳ τὸν σιωπηλόν· ἐὰν δέ πυ κατίδω πλύσιον μεγαλόδωρον, ἄξω πρὸς αὐτὸν ἐκ γωνίας τινὸς ἀναςήσας πένητα χρηςὸν, ἵν' ὥσπερ ἐκ πλήρυς κύλικος εἰς κενὴν ἀποῤῥοή τις γένηται. σοφιςὴν δὲ κωλύω συγκατακλίνεθαι σοφιςῇ καὶ ποιητὴν ποιητῇ·

Πτωχὸς γὰρ πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ [5].

καίπερ Σωσικλῆς ὗτος καὶ Μόδεςος ἐνταῦθα συνερείδοντες ἔπος παρ' ἔπος ἐζωπύρυν [6] φλόγα μὲν, ἀλλὰ κιν-

 δυνεύυ-

1 Dedi sic e Steph. mente, R. probata, pro vulg. προσειπεῖν. Favent correctioni Mez. & Xyl. versio.

2 De Pammene vid. Pausan. pag. 654. Diod. Sic. XVI, 34.

3 Iliad. II, 363.

4 R. mavult τοιῦτο — *tale convivium*, quod scil. vivis constrictum sit vinculis.

5 Hesiod. op. & d. v. 26.

6 Ald. Bas. ἔπος παρὰ * ἐζωπύρυν; Turn. ἀνεζωπύρυν ἢ ἀνεζωπυρίων. Ad lectionem, quae a Steph. recepta legitur, idem ipse

δυνεύουσι τὰ κάλλιστα. διΐστημι δὲ καὶ στραγγαλιῶντας [1], καὶ φιλολοιδόρους, καὶ ὀξυθύμους [2], ἀλλήλων τινὰ παρεντιθεὶς μέσον, ὥσπερ μάλαγμα τῆς ἀντιτυπίας. ἀλειπτικοὺς δὲ καὶ κυνηγετικοὺς καὶ γεωργικοὺς συνάγω [3]. τῶν γὰρ ὁμοιοτήτων [4], ἡ μὲν μάχιμος, ὥσπερ ἀλεκτρυόνων· ἡ δ' ἐπιεικής, ὥσπερ ἡ τῶν κολοιῶν. συνάγω δὲ καὶ ποτικοὺς [5] εἰς ταὐτὸ καὶ ἐρωτικούς, οὐ μόνον ὅσοις ἔρωτος δῆγμα [6] πρόσεστιν, (ὥς φησι Σοφοκλῆς) ἀλλὰ καὶ τοὺς

Ipse annotat, locum hunc ex parte tantum sanatum esse. R. haec habet: „Nihil hujus loci intelligo, praeter id unum, ἐκζωπυροῦσι leg. esse. Nescio, an e Nostri verbis id colligi queat, Modestum cum Sosicle recitandis alternatim singularibus versibus, sive illi ipsorum, sive Homeri aliorumve essent, certasse. Videtur Timo exemplo Modesti & Sosiclis, qui ambo poëseos cultores videntur fuisse, ambitum sententiae, quam modo universe extulerat, ejusdem generis homines secum, ut poëtas poëtis, utiliter non componi, veluti circumscribere & coërcere, dicendo, eos certare quidem inter se, at certamen illud laudabile esse: suscitare quidem eos flammam, at eam praeclaram. In κινδυνεύουσι τὰ κάλλιστα, si bene habent & integra sunt omnia, videtur subaudiri μετιέναι — *videntur praeclarissimis studiis agitari.*" W. susp. ζωπυροῦσι φλόγα ὅμοιοι, ἅμα συννεύουσι τὰς κεφαλὰς — *quanquam Sosicles iste & Modestus versum versui apponentes, veluti flando excitantes flammam, capita conferunt.*

1 Bas. στραγαλιῶντας. Xyl. correxit — *perversitatis studiosos & rixarum.*

2 Post hanc vocem in Ald. & Bas. est lacuna. Hinc Xyl. deesse notavit vocem unam ἐπιεικῆ, ἤπιον, aut simile quid. Steph. dedit ἀλλήλων, interpunctionem, quae est ante ἀλλήλων, postponendam monens.

3 W. susp. ἀλειπτικοὺς δὲ καὶ κυνηγετικοὺς χωρίζω· γεωργικοὺς δὲ συνάγω. Ald. & Bas. συναγαγών.

4 R. susp. ὠμοτήτων, *cruditatum*, vel generum vitae subrusticorum & inconditorum.

5 Ald. πovτικούς. Steph. & rell. edd. ποιητικούς. Bas. ποτικούς, *bibaces.* Id reposui cum W. ipso Steph. probante. Consentiunt Xyl. Venet. Palat. Turneb. Amiot. Mez.

6 Ald. Bas. δεῖγμα. Corrigendum id notavit H. Steph. Post

τὰς ἐπὶ γυναιξὶ καὶ τὰς ἐπὶ παρθένοις δακνομένες· τῷ γὰρ αὐτῷ θαλπόμενοι πυρὶ, μᾶλλον ἀλλήλων ἀντιλήψονται, καθάπερ ὁ κολλώμενος σίδηρος, ἂν μὴ, νὴ Δία, τῦ αὐτῦ τύχωσιν ἢ τῆς αὐτῆς, ἐρῶντες.

## QUAESTIO III.

### Cur is locus, qui consularis appellatur, in honore habeatur? [1]

Ἐκ τύτυ [2] περὶ τῶν τόπων ἐνέπεσε ζήτησις. ἄλλοι γὰρ ἄλλοις ἔντιμοι· Πέρσαις μὲν ὁ μεσαίτατος, ἐφ' ὃ κατακλίνεται ὁ βασιλεύς· Ἕλλησι δὲ, ὁ πρῶτος· Ῥωμαίοις δὲ ὁ τῆς μέσης κλίνης τελευταῖος [3], ὃν ὑπατικὸν προσαγορεύυσι· τῶν δὲ περὶ τὸν Πόντον Ἑλλήνων ἐνίοις, ὥσπερ [4] Ἡρακλεώταις, ἔμπαλιν ὁ τῆς μέσης πρῶτος. ἀλλὰ περὶ τῦ γε ὑπατικῦ λεγομένυ μάλιστα διηπορῦμεν. ὗτος γὰρ ἐπρώτευε τῇ τιμῇ καθ' ἡμᾶς, καὶ τὴν αἰτίαν ὔτε ὡς ὁ πρῶτος, ὔτε ὡς ὁ μέσος [5] εἶχε, νενομισμένην ἔτι. καὶ [6] τῶν συμβεβηκότων



Post ὅσοις excidisse παιδικῦ, vel ἐπὶ παισὶν, R. monet. Consentit W. coll. loco Vol. VII. p. 246. lin. pen.

1 Personae colloquii eaedem, quae supra Quaest. II.

2 Vulgo deest ἐκ. Xyl. jam leg. suspicatus est ἐκ δὲ τύτυ. Probat R. ἐκ τ. *ab eo deinceps argumento, postea*, nec non W. vitii causam inde bene derivans, quod prior vox in codicibus, huic continua, ἐρῶντες, praepositionem abstulerit. H. Steph. pro τύτυ reponi voluit τότε. Affertur hoc e Turn. & V.

3 Vid. Salmas. Exerc. Plin. p. 885. R.

4 R. mavult ὡς τοῖς Ἡρ. Significat Heracleam Bithyniae.

5 Dando articulum ante πρῶτος & μέσος, qui vulgo abest, secutus sum W. qui posteriorem sumsit e Flor. Palat. Vat. priorem ipse addidit, & sententiae & consequentiae causa. Ad αἰτίαν R. subaudiendum monet τῆς τιμῆς. Turn. & V. ἀξίαν pro αἰτίαν.

6 R. susp. νενομισμένος. ἔτι δὲ καὶ τῶν σ. *locus ille in honore*

των αὐτῷ τὰ μὲν ἐκ ἦν ἴδια τέτε μόνε, τὰ δ' ἐδεμιᾶς ἄξια σπεδῆς ἐφαίνετο. πλὴν τρία γε τῶν λεχθέντων ἐκίνει. πρῶτον μὲν, ὅτι τὰς βασιλεῖς καταλύσαντες οἱ ὕπατοι, καὶ πρὸς τὸ δημοτικώτερον ἅπαντα μετακοσμήσαντες, ἐκ τῆς μέσης καὶ βασιλικῆς χώρας ὑπῆγον αὐτὰς κάτω συγχωρᾶντες, ὡς μηδὲ τᾶτο τῆς ἀρχῆς αὐτῶν καὶ ἐξεσίας [1] ἐπαχθὲς εἴη τοῖς συνᾶσι. δεύτερον δὲ, ὅτι, τῶν δυοῖν κλινῶν ἀποδεδομένων τοῖς παρακεκλημένοις [2], ἡ τρίτη καὶ ταύτης ὁ πρῶτος τόπος μάλιςα τᾶ ἑςιῶντός ἐςιν· ἐνταῦθα γὰρ ὥσπερ ἡνίοχος ἢ κυβερνήτης ἐπὶ δεξιὰ [3] πρὸς τὴν ἐπίβλεψιν ἐξικνεῖται τῆς ὑπηρεσίας, καὶ τᾶ φιλοφρονεῖσθαι, καὶ τᾶ διαλέγεσθαι τοῖς παρᾶσιν ἐκ ἀπήρτηται τῶν συνέγγιςα τόπων· ὁ μὲν γὰρ ὑπ' [4] αὐτὸν ἢ γυναικὸς ἢ παίδων, ἐςίν· ὁ δὲ ὑπὲρ αὐτὸν, εἰκότως τῷ μάλιςα τιμωμένῳ τῶν κεκλημένων ἀπεδόθη, ἵνα ἐγγὺς ᾖ τᾶ ἑςιῶντος. τρίτον δ' ἔχειν ἴδιον ἔτος ὁ τόπος ἐδόκει τὸ πρὸς τὴν πρᾶξιν εὐφυές· ἐ γάρ ἐςιν ὁ τῶν Ῥωμαίων ὕπατος, οἷος Ἀρχίας [5], ὁ Θηβαίων πολέμαρχος, ὥςε γραμ-

*nore non ideo fuit habitus, quod pro primo, neque pro medio haberetur, praeterea que eorum, quae illi adhaerescunt, quaedam non sunt ei soli propria.*

1 Vulgo ὡς μηδὲ τὸ τῆς ἀρχῆς καὶ αὐτῶν ἐξεσίας. Hinc R. susp. τὸ τῆς ἀρχῆς καὶ ἐξεσίας αὐτῶν μέγεθος ἐπ. εἴ. Cum W. restitui τᾶτο pro τὸ ex Ald. Bas. consentientibus Xyl. E. H. Flor. Palat. Vatic. Transponendo καὶ αὐτῶν eundem sum secutus, ita dantem e Palat. & Mez.

2 Turn. κεκλημένοις; Ald. Bas. παρακεκλιμένοις.

3 R. uno vocabulo scribendum putavit ἐπιδέξια, & adverbialiter accipiendum, subaudiendo ὤν, quasi ἐν ἐφικτῷ ὢν καὶ ἐπιτηδείῳ πρὸς τὴν ἐπιβλ. *ibi enim, ut in loco commodo collocatus ad regendum oculis suis servitium, remotus non est a locis, qui ad eum proxime pertinent.* W. susp. ὑπερδέξιος vel ὑπερδέξια. Restitui deinde cum eodem ἐξικνεῖται, pro ἐξικνεῖσθαι, quod in edd. Gr. lat. & R. legitur.

4 V. τῶν δὲ αυνέγγυςα τόπων ὁ μὲν ὑπ' αὐτόν.

5 Archiae historia, cujus hic fit mentio, recensetur ab auctore in Vita Pelopidae, & de Socratis daemonio. Xyl.

γραμμάτων ἢ λόγων αὐτῷ μεταξὺ δειπνοῦντι Φροντίδος ἀξίων προσπεσόντων, ἐπιφθεγξάμενος· Εἰς ἕω τὰ σπουδαῖα· τὴν μὲν ἐπιστολὴν παρῶσαι, λαβεῖν δὲ τὴν θηρίκλειον· ἀλλὰ μάλ' ἐμμεμαὼς καὶ περιεσκεμμένος [1] ἐν τοῖς τοιούτοις καιροῖς. οὐ γὰρ μόνον ὠδῖνα τίκτει [2] κυβευτῇ σοφῷ (κατὰ τὸ λεγόμενον) πᾶς βόλος, ἀλλὰ καὶ πότου πᾶσα καὶ ἀνέσεως ἡδονὴ στρατηγῷ καὶ ἄρχοντι Φροντίδος ἄξιόν ἐστι· καὶ ἵνα ἀκοῦσαί τε, ἃ δεῖ, καὶ προστάξαι καὶ ὑπογράψαι δύνηται, τοῦτον ἐξαίρετον ἔχει τὸν τόπον· ἐν ᾧ τῆς δευτέρας κλίνης τῇ πρώτῃ [3] συναπτούσης, ἡ γωνία διάλειμμα ποιοῦσα τῇ καμπῇ, δίδωσι καὶ γραμματεῖ καὶ ὑπηρέτῃ καὶ φύλακι σώματος καὶ ἀγγέλῳ τῶν ἀπὸ στρατοπέδου προσελθεῖν, διαλεχθῆναι, πυθέσθαι, μήτε τινὸς ἐνοχλοῦντος αὐτῷ, μήτε τινὸς ἐνοχλουμένου τῶν συμποτῶν, ἀλλὰ καὶ χεῖρα καὶ φωνὴν ὑπερδέξιον ἔχοντι καὶ ἀκώλυτον [4].



1 Vulgo *περιεσκεμμένως*. Corrigendum id monuit R. dedique e Bas. *περιεσκεμμένος*, *circumspectus*, *animo intentus*.

2 Ald. & Bas. misere mutilatum exhibent hunc locum: *οὐ γὰρ μόνον ὠδῖνα τίκτει κυβ * σοφῷ κατὰ τὸ * ἀλλὰ καὶ πότε πᾶσα καὶ ἀνε * γῷ καὶ ἄρχοντι Φροντῖδος ἄξιόν ἐστιν, ἵνα * ἀκούσαιτε, ἃ δεῖ.* &c. Xyl. eum ex Aeschylo in Supplic. v. 777. quem locum etiam in libello, secundum Epicurum suaviter vivi non posse, citatum legimus, ita ex parte restituendum censuit, (&, W. notante, ita audacter immutatum edidit): *οὐ γὰρ μόνον ὠδῖνα τίκτει νὺξ κυβερνήτῃ σοφῷ, κατὰ τὸ Αἰσχύλειον*, reliqua manca esse addens, & *ἀκοῦσαί τε* scribendum. Lectio, quae nunc extat, debetur Steph. eam ex vet. cod. afferenti. Turn. dat *κυβεύοντι*. R. favet Xyl. sententiae. W. notat, lectionem Steph. exstare fere in Exempl. Turn. & Amiot. versione, omnes rell. libros consentire cum Ald. & Bas.

3 W. cum Mez. & R. legendum monet *τῇ τρίτῃ*.

4 W. notat, in E. & H. addita esse haec signa † † defectus: neque tamen quid ad sententiam desiderari.

## QUAESTIO IV.

### Qualem oporteat esse magistrum convivii? [1]

Κράτων, ὁ γαμβρὸς ἡμῶν, καὶ Θέων, ὁ ἑταῖρος, ἔν τινι πότῳ [2], παροινίας ἀρχὴν λαβούσης, εἶτα παυσαμένης, λόγον ἐποιήσαντο περὶ τῆς συμποσιαρχίας, οἰόμενοί με δεῖν στεφανηφοροῦντα μὴ περιϊδεῖν ἔθος ἐκλειφθὲν παντάπασιν, ἀλλ' ἀνακαλεῖν καὶ καταστῆσαι πάλιν τῆς ἀρχῆς τὴν νενομισμένην ἐπιστασίαν περὶ τὰ συμπόσια καὶ διακόσμησιν. ἐδόκει δὲ ταῦτα καὶ τοῖς ἄλλοις, ὥστε θόρυβον ἐκ πάντων καὶ παράκλησιν γενέσθαι. Ἐπεὶ τοίνυν (ἔφην ἐγὼ) δοκεῖ ταῦτα πᾶσιν, ἐμαυτὸν αἱροῦμαι συμποσίαρχον ὑμῶν, καὶ κελεύω, τοὺς μὲν ἄλλους, ὡς βούλονται, πίνειν ἐν τῷ παρόντι, Κράτωνα δὲ καὶ Θέωνα, τοὺς εἰσηγητὰς καὶ νομοθέτας τοῦ δόγματος, ἔν τινι τύπῳ βραχέως διελθεῖν, ὁποῖον ὄντα δεῖ τὸν συμποσίαρχον αἱρεῖσθαι, καὶ τί ποιούμενος τέλος ὁ αἱρεθεὶς ἄρξει, καὶ πῶς χρήσεται τοῖς κατὰ συμπόσιον· διελέσθαι δὲ τὸν λόγον αὐτοῖς ἐπιτρέπω [3].

II. Μικρὰ μὲν οὖν ἠκκίσαντο [4] παραιτούμενοι· κελευόν-

1 Personae colloquii sunt Crato, Theo, Plutarchus, alii.

2 Ald. & Bas. τόπῳ.

3 Vulgo καὶ πῶς χρῆσθαι τοῖς κ. σ. δεῖ, διελέσθαι τὸν λόγον αὐτοῖς ἐπιτρέπων. Ald. & Bas. χρῆσθαι αὐτοῖς κ. σ. διελέσθαι δεῖ κατὰ λόγον ἑαυτοῖς ἐπιτρέπων. R. inde legendum monet χρῆσθαι δεῖ τοῖς (vel χρήσεται τοῖς) κατὰ συμπόσιον· διελέσθαι δὲ τὸν λόγον ἑαυτοῖς ἐπιτρέπω, *ipsis vero permitto, ut sermonem inter se partiantur* — ipsorum facio optionem, uter primo loco verba facere & quam partem argumenti pertractare velit. Dedi, quae W. quoque recepit e consensu Mez. Amiot. & R.

4 Sic est in Bas. scribendumque monuit Steph. pro ἠκίσαντο, quod vulgo extat, dedique, R. jubente, cum W. idem e Palat. sumente — *affectabundi repudiabant, & deprecabantur, sed solummodo per simulationem, oblatam sibi conditionem, qua defungi quantivis faciebant.*

λευόντων δὲ πάντων πείθεσθαι τῷ ἄρχοντι, καὶ ποιεῖν τὸ προσταττόμενον, ἔφη πρότερος ὁ Κράτων, ὅτι δεῖ τὸν μὲν φυλάκων ἄρχοντα, φυλακικώτατον (ὥς φησιν ὁ Πλάτων) εἶναι· τὸν δὲ συμποτῶν, συμποτικώτατον. ἔστι δὲ τοιοῦτος, ἂν μήτε τῷ μεθύειν εὐάλωτος ᾖ, μήτε πρὸς τὸ πίνειν ἀπρόθυμος· ἀλλ' ὡς ὁ Κῦρος ἔλεγε Λακεδαιμονίοις [1] γράφων, ὅτι τά τ' ἄλλα τοῦ ἀδελφοῦ βασιλικώτερος εἴη, καὶ φέροι καλῶς πολὺν ἄκρατον. ὅ τε γὰρ παροινῶν ὑβριστὴς καὶ ἀσχήμων· ὅ τ' αὖ παντάπασι νήφων, ἀηδὴς, καὶ παιδαγωγεῖν μᾶλλον ἢ συμποσιαρχεῖν ἐπιτήδειος. ὁ μὲν οὖν Περικλῆς, ὁσάκις ᾑρημένος στρατηγὸς ἀνελάμβανε [2] τὴν χλαμύδα, πρῶτος εἰώθει διαλέγεσθαι πρὸς αὐτὸν, ὥσπερ ὑπομιμνήσκων· Ὅρα, Περίκλεις· ἐλευθέρων ἄρχεις, Ἑλλήνων ἄρχεις [3], Ἀθηναίων ἄρχεις. ὁ δὲ συμποσίαρχος ἡμῶν ἐκεῖνα λεγέτω πρὸς αὐτόν· Φίλων ἄρχεις· ἵνα μήτ' ἀσχημονεῖν ἐπιτρέπῃ, μήτε τὰς ἡδονὰς ἀφαιρῇ. δεῖ δὲ καὶ σπουδῆς τὸν ἄρχοντα πινόντων οἰκεῖον εἶναι, καὶ παιδιᾶς μὴ ἀλλότριον, ἀλλ' εὖ πως συγκεκραμένον πρὸς ἀμφότερα, σμικρῷ [4] δὲ μᾶλλον, ὥσπερ οἶνον αὐστηρὸν, ἀπονεύοντα

1 Ald. Bas. Λακεδαιμονίοις, & deinde βασιλικώτατος. Cf. Vol. VIII. p. 86.

2 Ald. Bas. ἀναλαμβάνει. Turn. V. ἀναλαμβάνοι. Ex his & Bong. notatur paulo post πρὸς αὐτὸν, Bas. exhibente πρὸς αὑτόν.

3 Exciderunt e Steph. & rell. edd. eam secutis Ἑλλήνων ἄρχεις, operarum forte vitio. Deesse hoc membrum, suspicatus est R. collato loco Vol. VIII. p. 116. addens tamen, nihil esse quod Plutarchum eodem semper modo veterum Imperatorum dicta referre cogeret. Restitui cum W. ex Ald. Bas. Xyl. H. Flor. Vatic.

4 Sic R. legendum monuit, dedique pro vulg. σμικρῶς — scil. μέρει, tantillo, paullulum. Dedit idem W. ex quonam fonte, latet, cum nil adnotet, nisi „vulgo omnes σμικρῶς. Mez. σμικρόν." V. quoque habet σμικρόν. Turn. deinde ὥσπερ οἶνα ἀγγεῖον, ἢ ὥσπερ οἶνον αὐστηρόν.

τα τῇ φύσει πρὸς τὸ αὐστηρόν· ὁ γὰρ οἶνος ἄξει τὸ ἦθος εἰς τὸ μέτριον, μαλακώτερον ποιῶν καὶ ἀνυγραίνων. ὥσπερ γὰρ ὁ Ξενοφῶν ἔλεγε [1] τοῦ Κλεάρχου τὸ σκυθρωπὸν καὶ ἄγροικον ἄλλως, ἐν ταῖς μάχαις ἡδὺ καὶ φαιδρὸν ἐπιφαίνεσθαι διὰ τὸ θαῤῥαλέον· οὕτως ὁ μὴ φύσει πικρὸς, ἀλλὰ σεμνὸς καὶ αὐστηρὸς, ἐν τῷ πίνειν ἀνιέμενος, ἡδίων γίνεται καὶ προσφιλέστερος. ἔτι τοίνυν αὐτῷ δεῖ προσεῖναι τὸ μάλιστα μὲν ἑκάστου τῶν συμποτῶν ἐμπείρως ἔχειν, τίνα λαμβάνει μεταβολὴν ἐν οἴνῳ, καὶ πρὸς τί πάθος ἀκροσφαλής ἐστι, καὶ πῶς φέρει τὸν ἄκρατον. οὐ γὰρ οἴνου μέν ἐστι πρὸς ὕδωρ ἑτέρου ἑτέρα μίξις [2], ἣν οἱ βασιλικοὶ γινώσκοντες οἰνοχόοι, νῦν μὲν πλέον, νῦν δ' ἔλαττον ὑποχέουσιν· ἀνθρώπου δὲ πρὸς οἶνον οὐκ ἔστιν ἰδία κρᾶσις [3], ἣν τῷ συμποσιάρχῃ γινώσκειν προσήκει, καὶ γινώσκοντι φυλάττειν· ἵν', ὥσπερ ἁρμονικὸς, τὸν μὲν ἐπιτείνων τῇ πόσει, τὸν δ' ἀνιεὶς καὶ ὑποφειδόμενος, εἰς ὁμαλότητα καὶ συμφωνίαν ἐκ διαφορᾶς καταστήσῃ τὰς φύσεις· ὅπως μὴ κοτύλῃ μηδὲ κυάθοις τὸ ἴσον, ἀλλὰ καιροῦ τινι μέτρῳ καὶ σώματος δυνάμει τὸ οἰκεῖον ἑκάστῳ καὶ πρόσφορον ἀπονέμηται. εἰ δὲ τοῦτο δύσκολον, ἐκεῖνά γε [4] πάντως ἐξειδέναι τῷ συμποσιάρχῳ προσήκει τὰ κοινὰ περὶ τὰς φύσεις καὶ τὰς ἡλικίας· οἷον, πρεσβῦται τάχιον μεθύσκονται νέων· σαλευόμενοι, ἠρεμούντων [5]. ἄλυποι δὲ καὶ πεφροντικότες,

1 Exped. Cyri min. II, 6.

2 Vulgo πρὸς ὕδωρ ἕτερον ἑτέρου μίξις. R. voluit ἑτέρα pro ἕτερον — *alia ratione aliud vinum aquae miſcetur atque aliud* — diverſae rationes aquae admiſcendae ſunt in vinis diverſis. Addit, ſic quoque Salmaſ. correxiſſe. Equidem V. ſum ſecutus. Vertit idem Xyl. *vini alius alia ad aquam contemperatio.* W. dedit πρὸς ὕδωρ ἕτερον ἑτέρα μίξις, adnotans, ſic eſſe in Venet. Palat. Vatic. V. & Salmaſ. correxiſſe item Xyl. & Amiot.

3 Ald. Baſ. οὐκ ἔστι διάκρασις.

4 Dedi ſic e Mez. Vulgo τοῦτό γε — ἐκεῖνα δέ.

5 Salmaſ. σαλευόμενοι δ' ἠρεμούντων. Baſ. deinde ἄλυποι, pro quo Xyl. conjecit & vertendo expreſſit ἄυπνοι.

κότες, εὐθύμων καὶ ἱλαρῶν· ἀνέδην καὶ κατακόρως ἀπάγοντες τῶν ἀσελγαινόντων [1]. καὶ τοιαῦτα γινώσκων μέν τις μᾶλλον τοῦ ἀγνοοῦντος εὐσχημοσύνην καὶ ὁμόνοιαν συμποσίου πρυτανεύσειε. καὶ μὴν ὅτι γε δεῖ τὸν συμποσίαρχον οἰκείως ἔχειν καὶ φιλικῶς πρὸς ἅπαντας, ὕπουλον δὲ μηδενὶ μηδ᾽ ἀπεχθῆ τῶν ἑστιωμένων εἶναι, παντί που δῆλον· οὔτε γὰρ [2] ἐπιτάττων ἀνεκτὸς, οὔτ᾽ ἀπονέμων ἴσος, οὔτε προσπαίζων, ὁμοίως [3] ἀνέγκλητος ἔσται. Τοιοῦτον, ἔφη, σοὶ, Θέων, ἐγὼ τὸν ἄρχοντα συμποσίου πλάσας, ὥσπερ ἐκ κηροῦ, τοῦ λόγου παραδίδωμι.

III. Καὶ ὁ Θέων· Ἀλλὰ δέχομαι μὲν (εἶπεν) οὕτω μᾶλλον [4] ἀπειργασμένον τὸν ἄνδρα καὶ συμποτικόν. εἰ δὲ χρήσομαι κατὰ πᾶν αὐτῷ, καὶ μὴ [5] καταισχυνῶ τὸ ἔργον, οὐκ οἶδα· οὗτος δέ μοι δοκεῖ τοιοῦτος ὢν τὸ συμπόσιον ὡς ἀληθῶς ἄξειν ἡμῖν, καὶ μὴ ὄψεσθαι [6] νῦν

1 Ald. Bas. quibuscum, W. notante, rell. libri consentiunt, ἱλαρῶν * ἀνέδην καὶ κατα * ἀπάγοντες τῶν ἀσελγαινόντων. Steph. debetur vulgata. R. susp. κατακόρως ἀπολαύοντες τῶν σικχαινομένων, *citius inebriantur illi, qui absque modo & ad satietatem positis in medio vinis fruuntur, quam illi, qui ea velut nauseabundi extremis tantum labiis degustant.* Ita Kaltw. vertit. W. autem conjicit, & vertendo exprimit: ᾄδοντες τῶν σιγώντων, *affatim canentes tacentibus.*

2 Subaud. ὁ τοιοῦτος, *talis enim*, iniquus, & convivarum uni alterive infestus. R.

3 Ald. Bas. ὅμως. In iisd. deinde ἔφην, pro ἔφη.

4 R. & W. legendum censent καλόν.

5 R. susp. αὐτῷ τοιούτῳ, καὶ μὴ —. W. deinde susp. τὸ σὸν ἔργον.

6 Lectio haec Stephano debetur. Ald. Bas. quibuscum rell. libros consentire, W. notat, οὐκ οἶδα * τὸν δέ μοι δοκεῖτοι * σων τὸ συμπόσιον * ἄξειν ἡμῖν καὶ μὴ ὄψεσθαι. R. susp. τὸ συμπόσιον ἐν κόσμῳ ὡς ἀληθῶς ἄξειν ἡμῖν, καὶ μὴ περιόψεσθαι; W. autem: οὐκ οἶδα· οὐ μὴν ἀλλὰ τόνδε μοι δοκεῖτε ὀρθῶς ἂν αἱρήσεσθαι, ὃς ἂν μέλλῃ τὸ συμπόσιον ἐπιτροπεύσων, συμπόσιον ὂν διαφυλάξειν, καὶ μὴ περιόψεσθαι. &c. — *igitur recte mihi bibendi magistrum eligere videamini eum, qui poscit convivium,*

νῦν μὲν ἐκκλησίαν δημοκρατικὴν, νῦν δὲ σχολὴν σοφιστοῦ γενομένην, αὖθις δὲ κυβευτήριον, εἶτά που σκηνὴν, καὶ θυμέλην. ἢ γὰρ οὐχ ὁρᾶτε, τοὺς μὲν δημαγωγοῦντας καὶ δικαζομένους παρὰ δεῖπνον, τοὺς δὲ μελετῶντας καὶ ἀναγινώσκοντας αὐτῶν τινα συγγράμματα, τοὺς δὲ μίμοις καὶ ὀρχησταῖς ἀγωνοθετοῦντας; Ἀλκιβιάδης [1] δὲ καὶ Θεόδωρος τελεστήριον ἐποίησαν τὸ Πολυτίωνος συμπόσιον, ἀπομιμούμενοι δᾳδουχίας καὶ ἱεροφαντίας. ὧν οὐδὲν, οἶμαι, τῷ ἄρχοντι περιοπτέον· ἀλλὰ καὶ λόγοις καὶ θεάμασι, καὶ παιδιαῖς δώσει τόπον, ἐκείνοις μόνοις, ὅσα πρὸς τὸ συμποτικὸν τέλος ἐξικνεῖται· τοῦτο δ' ἦν φιλίας ἐπίτασιν, ἢ γένεσιν δι' ἡδονῆς ἐνεργάσασθαι τοῖς παροῦσι· διαγωγὴ γάρ ἐστιν ἐν οἴνῳ τὸ συμπόσιον εἰς φιλίαν ὑπὸ χάριτος [2] τελευτῶσα. ἐπεὶ δὲ πανταχοῦ πλήσμιον, καὶ πανταχοῦ [3] βλαβερὸν τὸ ἄκρατον· ἡ δὲ μίξις οἷς ἂν ἐν καιρῷ καὶ μετὰ μέτρου παραγένηται πράγμασιν, ἀφαιρεῖται αὐτὸ [4], καὶ βλάπτει τὰ ἡδέα καὶ λυπεῖ τὰ ὠφέλιμα· δῆλον, ὅτι καὶ τοῖς πίνουσιν ὁ ἐπιστάτης

*vium, ita conservare, ut convivium maneat, ne videatur esse modo concio populi.* &c. E Turn. & Bong. notatur δοκεῖ τόν.

1 Cf. Plut. Opp. Vol. II. p. 25.

2 Turn. Bong. χάριτός τε τελευτ.

3 Salmas. καὶ πολλαχοῦ.

4 Sic Steph. dedit, & est apud Anon. At edd. priores, quibuscum, W. notante, rell. libri consentiunt, habent ἄνω pro αὐτό. Hinc Xyl. notat, locum esse vitiatum, & pro οἷς ἂν ἐν κ. legit οἷς ἂν οὐκ ἐ. κ. Steph. susp. ἄνω perperam ex ἄφνω fuisse factum; neque tamen hoc, neque αὐτὸ sufficere loco restituendo. R. ex ἄνω effici vult σὺν ᾧ, ita legendo: ἀφαιρεῖται (sc. τὸ ἄκρατον, vel ἐκεῖνο) σὺν ᾧ καὶ λυπεῖ τὰ ἡδέα καὶ βλάπτει τὰ ὠφέλ. *id, quicum mixtum tollit illud, quo praesente & taedio fiunt atque moerorem provocant jucunda, & noxia evadunt utilia.* W. susp. ἀφαιρεῖται αὐτῶν καὶ τὸ βλάπτειν τὰ ἡδέα, καὶ λυπεῖν τὰ ὠφέλιμα. Ego cogitaram ἀφαιρεῖται πᾶν ὃ καὶ βλάπτειν ποιεῖ τὰ ἡδέα, καὶ λυπεῖν τὰ ὠφ.

της μεμιγμένην τινὰ παρέξει διαγωγήν. ἀκέων [1] ἐν πολλῶν λεγόντων, ὅτι πλοῦς μὲν ὁ παρὰ γῆν, περίπατος δὲ ὁ παρὰ θάλατταν ἥδιστός ἐστιν· οὕτως παραβαλεῖ [2] τῇ σπουδῇ τὴν παιδιὰν, ὅπως οἵ τε παίζοντες ἀμωσγέπως σπουδῆς τινος ἔχωνται, καὶ πάλιν οἱ σπουδάζοντες ἀναθαῤῥῶσιν, ὥσπερ οἱ ναυτιῶντες ἐγγύθεν εἰς τὴν παιδιὰν ἀποβλέποντες. ἔστι γὰρ καὶ γέλωτι χρῆσθαι πρὸς πολλὰ τῶν ὠφελίμων, καὶ σπουδὴν ἡδεῖαν παρασχεῖν,

Ὡς ἂν' [3] ἐχινόποδας καὶ ἀνὰ τρηχεῖαν ὄνωνιν
Φύονται μαλακῶν ἄνθεα λευκοΐων.

ὅσαι δ' ἄνευ σπουδῆς ἐπεισκωμάζουσι τοῖς συμποσίοις παιδιαὶ, ταύτας ἐπιμελῶς διακελεύσεται τοῖς συμπόταις εὐλαβεῖσθαι, μὴ λάθωσιν [4] ὕβριν καὶ ἀσέλγειαν, καθάπερ ὑοσκύαμον, λαβόντες οἴνῳ, καὶ τοῖς [5] λεγομένοις προστάγμασιν ἐξυβρίζωσι, προστάττοντες ᾄδειν ψελλοῖς, ἢ κτενίζεσθαι φαλακροῖς, ἢ ἀσκωλιάζειν [6] χωλοῖς. ὥσπερ Ἀγαμήστορι τῷ Ἀκαδημαϊκῷ [7] λεπτὸν ἔχοντι καὶ κατεφθι-

1 Sic Salmaf. e MS. legendum monuit, dedique cum W. Confentiunt E. Palat. Vatic. Vulgo ἀκέω.

2 Ald. Baf. παραβάλλει. Id Salmaf. legi voluit.

3 Verfus jam laudatus Vol. VII. p. 146. & X. p. 52.

4 R. fubaudiendum monet ἑαυτοὺς, nifi adfcribatur. Vocabula καὶ ἀσέλγειαν abfuerunt ab Ald. & Baf. reliquisque libris, W. tefte. Ea addidit Steph.

5 Vulgo ex Steph. legitur οἰνωτοῖς λεγ. Salmaf. & R. ex Ald. & Baf. reftituendum monuerunt οἴνῳ τοῖς. Idem exhibent Xyl. E. H. reftituique cum W. quem fimul fecutus fum partim inferendo καὶ, partim dando deinde ἐξυβρίζωσι, quod e Palat. fumfit, pro vulg. ἐξυβρίζοντες, quod Steph. dedit loco ἐξυβρίζουσι, quod eft in Ald. & Baf. E V. notatur προστάζοντες.

6 Ald. Baf. σκωλιάζειν. Xyl. correxit. Ἀσκώλια, fefta Athenis folennia, quibus in medio theatri fuper utres, id eft, ἀσκοὺς inflatos, uno tantum pede faltabant, ut delabentes rifum moverent, idque in Bacchi honorem. Unde ἀσκωλιάζειν eft ἐφ' ἑνὸς πορεύεσθαι σκέλους. Cf. Hefych. ad h. v. item Heynium ad Virg. Georg. II, 384.

7 De hoc Agameftore Academico fe nihil usquam reperiffe anno-

εφθινηκὸς τὸ σκέλος ἐπηρεάζοντες οἱ ξυμπόται, πάντας ἐκέλευσαν ἐπὶ τοῦ δεξιοῦ ποδὸς ἑςῶτας [1] ἐκπιεῖν τὸ ποτήριον, ἢ ζημίαν καταβαλεῖν· τοῦ δὲ προστάσσειν περιελθόντος εἰς αὐτὸν, ἐκέλευσε πάντας οὕτως πιεῖν, ὡς ἂν αὐτὸν ἴδωσι· καὶ κεραμίου κενοῦ [2] κομιθέντος, εἰς τοῦτο τὸν ἀσθενῆ πόδα καθεὶς ἐξέπιε τὸ ποτήριον, οἱ δ' ἄλλοι πάντες, ὡς ἐφαίνετο πειρωμένοις ἀδύνατον, ἀπέτισαν τὴν ζημίαν. χαρίεις οὖν Ἀγαμήςωρ· καὶ ποιητέον εὐκόλους οὕτω καὶ ἱλαρὰς [3] τὰς ἀμύνας, καὶ προστάγμασιν [4] ἐθιςέον χρῆσθαι πρὸς ἡδονὴν καὶ ὠφέλειαν, τὰ οἰκεῖα καὶ δυνατὰ καὶ κοσμοῦντα τὸν δρῶντα, προστάσσοντας, ᾠδικοῖς ᾆσαι, ῥητορικοῖς εἰπεῖν, φιλοσόφοις λῦσαί τι τῶν ἀπορουμένων, ποιηταῖς προσενέγκασθαι [5] ςίχους. ἡδέως γὰρ εἰς τοῦτο ἕκαςος ἄγεται καὶ προθύμως, ἵνα αὐτὸς αὑτοῦ τυγχάνοι κράτιςος ὤν. ὁ μὲν οὖν τῶν Ἀσσυρίων βασιλεὺς [6] ἆθλον ὑπὸ κήρυκος κατήγγειλε τῷ καινὴν ἡδονὴν ἐξευρόντι· συμποσίου δὲ βασιλεὺς ἀςεῖον ἆθλον ἂν καὶ γέρας προσθείη [7] τῷ παιδιὰν ἀνύβριςον εἰσηγησαμένῳ, καὶ τέρψιν ὠφέλιμον, καὶ γέλωτα μὴ μώμου, μηδὲ ὕβρεων, ἀλλὰ χάριτος καὶ φιλοφροσύνης ἑταῖρον, ἐν

annotatum, fatetur R. Equidem nomen ipsum intactum reliqui, quale apud R. legitur, cum Bas. consentiat. In Steph. Frft. & W. est Ἀγαπήςορι.

1 In R. fuit ἑςῶτα. In Steph. Frft. W. ἑςῶτοι. Restitui ἑςῶτας ex Bas. Idem reponi voluit H. Steph.

2 Amiot. Mez. ςενοῦ.

3 Vulgo ἱλαροὺς. Salmas. e cod. P. notaverat ἱλαρὰς, quod, R. jubente, dedi.

4 Ante προστάγμ. in Ald. & Bas. est lacuna, quam Xyl. explendam censuit vocabulis τοῖς οὖν. V. habet ἀλλὰ καὶ; Steph. dedit καὶ; R. voluit καὶ τοῖς πρ.

5 Bas. προσενέγκασθαι. Hinc Salmas. annotat, legi quoque apud Diogenem προσφέρεσθαι, sed προφέρεσθαι melius esse.

6 Referunt hoc de Xerxe, Persarum rege, Cicero Tusc. V, 7. & Valer. Max. IX, 1.

7 V. προθείη ἄν.

ἐν οἷς τὰ πλεῖστα ναυαγεῖ συμπόσια, μὴ τυχόντα παιδαγωγίας ὀρθῆς. ἔστι δὲ σώφρονος ἀνδρὸς ἔχθραν φυλάττεσθαι καὶ ὀργὴν, ἐν ἀγορᾷ, τὴν ἐκ πλεονεξίας· ἐν γυμνασίοις καὶ παλαίστραις, ἐκ φιλονεικίας· ἐν δ' ἀρχαῖς καὶ φιλοτιμίαις, ἐκ φιλοδοξίας· ἐν δὲ δείπνῳ καὶ παρὰ πότον, ἐκ παιδιᾶς ἐπιτιθεμένην.

## QUAESTIO V.

### Quomodo dictum sit: amor docet musicam [1].

Πῶς εἴρηται τό·

— Μουσικὴν [2] δ' ἄρα
Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τοπρίν,

ἐζητεῖτο παρὰ Σοσσίῳ, Σαπφικῶν τινῶν ᾀσθέντων, ὅπου καὶ [3] τὸν Κύκλωπα μούσαις εὐφώνοις ἰᾶσθαί φησι τὸν ἔρωτα Φιλόξενος [4]. ἐλέχθη μὲν οὖν, ὅτι πρὸς πάντα [5] τόλμαν ὁ ἔρως καὶ καινοτομίαν συγχωρῆσαι δεινός ἐστιν, ὥσπερ καὶ Πλάτων τὸν αὐτὸν καὶ [6] παντὸς ἐπιχει-

1 Personae colloquii sunt Sossius, Plutarchus, alii.

2 Bentl. p. 21. differt. ad Millium emendat μουσικόν. R. hanc quidem correctionem non improbans, si codices eam firmarent, tuetur vulgatam, subaudiendo τις ad κἂν ἄμουσος ᾖ. Dicti hujus Euripidei mentio fit Vol. IX. p. 286. nec non in Erotico, ubi tamen legitur ποιητὴν pro μουσικήν. Etiam W. notat, Vatic. in inscriptione habere ποιητικήν, Flor. Venet. in contextu ποιητήν. Ald. Bas. κἂν ἄμουσα.

3 W. susp. ὡς που καὶ, vel καὶ ὅπως.

4 Philoxenus est dithyramborum & tragoediarum auctor, a Dionysio in lapicidinas conjectus, ubi scripsit Cyclopem, drama, unde hic locus videtur petitus esse. v. Fabric. B. Gr. T. I. p. 686. R.

5 R. aut πάντα cum πᾶσαν mutandum censet, aut legendum πρὸς πάντα τολμηρὸς ὁ ἔρως, καὶ καινοτομίᾳ συγχωρῆσαι.

6 Ob particulam καὶ W. alterum nomen adfuisse suspicatur, ut forte legendum sit αὐτὸν ἴτην καὶ π. ἐπ. Legitur ἴτης apud Pla-

χειρητὴν ὠνόμασε· καὶ γὰρ λάλον ποιεῖ τὸν σιωπηλὸν, καὶ θεραπευτικὸν [1] τὸν αἰσχυντηλὸν, ἐπιμελῆ δὲ καὶ φιλόπονον τὸν ἀμελῆ καὶ ῥᾴθυμον· ὃ δ' ἄν τις μάλιστα θαυμάσειεν, φειδωλὸς ἀνήρ τε καὶ μικρολόγος, ἐμπεσὼν εἰς ἔρωτα, καθάπερ εἰς πῦρ σίδηρος, ἀνεθεὶς καὶ μαλαχθεὶς, ἁπαλὸς καὶ ὑγρὸς καὶ ἡδίων· ὥστε τουτὶ τὸ παιζόμενον [2] μὴ πάνυ φαίνεσθαι γελοῖον, ὅτι πράσσει φύλλῳ τὸ τῶν ἐρώντων δέδεται βαλάντιον. ἐλέχθη δὲ καὶ ὅτι τῷ μεθύειν τὸ ἐρᾷν ὅμοιόν ἐστι· ποιεῖ γὰρ θερμοὺς καὶ ἱλαροὺς καὶ διακεχυμένους· γενόμενοι δὲ τοιοῦτοι, πρὸς τὰς ἐπῳδὰς [3] καὶ συμμέτρους μάλιστα φωνὰς ἐκφέρονται. καὶ τὸν Αἰσχύλον φασὶ τὰς τραγῳδίας πίνοντα ποιεῖν καὶ διαθερμαινόμενον. ἦν δὲ Λαμπρίας, ὁ ἡμέτερος πάππος, ἐν τῷ πίνειν εὑρετικώτατος αὐτὸς αὑτοῦ καὶ λογιώτατος· εἰώθει δὲ λέγειν, ὅτι τῷ λιβανωτῷ παραπλησίως ὑπὸ θερμότητος ἀναθυμιᾶται. καὶ μὴν ἥδιστα τοὺς ἐρωμένους ὁρῶντες, οὐχ ἧττον ἡδέως ἐγκωμιάζουσιν, ἢ ὁρῶσι· καὶ πρὸς πάντα λάλος ὢν ἔρως, λαλίστατός ἐστιν ἐν τοῖς ἐπαίνοις. αὐτοί τε γὰρ οὕτω πεπεισμένοι τυγχάνουσι, καὶ βούλονται πεπεῖσθαι πάντας, ὡς καλῶν καὶ ἀγαθῶν ἐρῶντες. τοῦτο καὶ τὸν Λυδὸν ἐπῆρε Κανδαύλην τῆς ἑαυτοῦ γυναικὸς ἐπισπᾶσθαι θεατὴν εἰς τὸ δωμάτιον τὸν Γύγην [4]. βούλονται γὰρ ὑπ' ἄλλων

Platon. in Sympos. (Vol. X. p. 231. ed. Bip.) uti παντ. ἐπιχ. in Timaeo (Vol. IX. p. 386.)

1 W. dubius est, an corrigendum sit θρασύτερον, vel simile.

2 V. παιζόμενον γίνεται aut ἐστί.

3 *accommodatas cantui*, aut etiam *incantantes*. Prius tamen praefert R. simul pro συμμέτρους legendum monens ἐμμέτρους, *metri legibus parentes.*

4 Ald. Bas. non habent nomina Κανδαύλην & Γύγην. Loco utriusque est asteriscus. Posteriorem sequuntur voculae τὴν ἐ. Consentiunt libri scripti, W. teste. Xyl. e τὴν fecit οἰκέτην, quod Salmas. e MS. probavit. Lectio vulgata debetur Stephano, Historia Candaulae nota est ex Herodot. I, 8. sq.

ἄλλων μαρτυρεῖσθαι· διὸ καὶ γράφοντες ἐγκώμια τῶν καλῶν, ἐπικοσμοῦσιν αὐτὰ μέλεσι καὶ μέτροις καὶ ᾠδαῖς, ὥσπερ εἰκόνας χρυσῷ καλλωπίζοντες, ὅπως ἀκούηταί τε μᾶλλον ὑπὸ πολλῶν καὶ μνημονεύηται· καὶ γὰρ ἂν ἵππον καὶ ἀλεκτρυόνα, κἂν ἄλλο τι τοῖς ἐρωμένοις διδῶσι, καλὸν εἶναι καὶ κεκοσμημένον εὐπρεπῶς βούλονται καὶ περιττῶς τὸ δῶρον· μάλιστα δὲ λόγον κόλακα προσφέροντες, ἡδὺν ἐθέλουσι φαίνεσθαι [1] καὶ γαῦρον καὶ περιττόν, οἷος ὁ ποιητικός ἐστιν.

II. Ὁ μέντοι Σόσσιος ἐπαινέσας ἐκείνους [2], εἶπεν, ὡς οὐ χεῖρον ἄν τις [3] ἐπιχειρήσειεν ὁρμηθεὶς ἀφ' ὧν Θεόφραστος εἴρηκε περὶ μουσικῆς· καὶ γὰρ ἔναγχος (ἔφη) τὸ βιβλίον ἀνέγνων. λέγει δὲ Θεόφραστος [4], μουσικῆς ἀρχὰς τρεῖς εἶναι, λύπην, ἡδονήν, ἐνθουσιασμόν, ὡς ἑκάστου τούτων παρατρέποντος ἐκ τοῦ συνήθους, καὶ ἐγκλίνοντος τὴν φωνήν [5]. αἵ τε γὰρ λῦπαι [6] τὸ γοερὸν καὶ θρηνητικὸν ὀλισθηρὸν εἰς ᾠδὴν ἔχουσι· διὸ καὶ τοὺς ῥήτορας ἐν τοῖς ἐπιλόγοις, καὶ τοὺς ὑποκριτὰς ἐν τοῖς ὀδυρμοῖς, ἀτρέμα τῷ μελῳδεῖν προσάγοντας ὁρῶμεν, καὶ παρεντείνοντας τὴν φωνήν. αἵ τε [7] σφοδραὶ περιχάρειαι τῆς ψυχῆς, τῶν μὲν ἐλαφροτέρων τῷ ἤθει καὶ τὸ σῶμα πᾶν ἐπαίρουσι [8], καὶ παρακαλοῦσιν εἰς ἔρρυθμον [9] κίνη-



1 Sic R. legi voluit, notavitque Salmaſ. e vetuſto libro, dedique cum W. pro vulg. φέρεσθαι.

2 eos puta, qui ſuperiora dixerant, quorum nomina non ediderat, contentus dixiſſe ἐλέχθη. R.

3 Pro χεῖρον ἄν τις Ald. Baſ. χειρομάντις. Xyl. correxit.

4 Baſ. hoc loco Θεόφρων. Xyl. correxit.

5 Baſ. ὡς ἑκάστου τῶν αὐτῶν παρατρε * ἐκ τοῦ συνήθους * ἐγκλίναντος τὴν φωνήν. Hinc Xyl. legendum monet ὡς ἑκάστου αὐτῶν παρατρέποντος ἐκ τοῦ συνήθους, καὶ πρὸς ᾠδὴν ἐγκλίναντος.

6 Reſtitui λῦπαι e Baſ. quod R. legi voluit, pro vulg. λύσσαι, voce, hic loci certe minus commoda.

7 Ald. Baſ. ἅ τε. Xyl. correxit.

8 R. mavult καὶ τὸ σῶμα συνεπαίρουσι.

9 Salmaſ. ἄρρυθμον. Omnes alii ante Steph. libri ἔνρυθμον, W. teſte.

κίνησιν, ἐξαλλομένων καὶ κροτέντων, εἴπερ ὀρχεῖσθαι μὴ δύνωνται· μανίαι τε ἀλαλαί τε [1] ὀρινομένων ῥιψαύχενι σὺν κλόνῳ, κατὰ Πίνδαρον· οἱ δὲ χαρίεντες ἐν τῷ πάθει τέτῳ γενόμενοι, τὴν φωνὴν μόνην εἰς τὸ ᾄδειν καὶ φθέγγεσθαι μέγα [2], καὶ μέλη προΐενται. μάλιςα δὲ ὁ ἐνθεσιασμὸς ἐξίςησι καὶ παρατρέπει τό τε σῶμα καὶ τὴν φωνὴν τῦ συνήθες καὶ καθεςηκότος. ὅθεν αἵ τε βακχεῖαι [3] ῥυθμοῖς χρῶνται, καὶ τὸ χρησμῳδεῖν ἐμμέτρως παρέχεται [4] τοῖς ἐνθεαζομένοις· τῶν τε μαινομένων ὀλίγες ἰδεῖν ἐςιν ἄνευ μέτρε καὶ ᾠδῆς ληρῦντας. ὕτω δὲ τέτων ἐχόντων, εἰ βέλοιο καθορᾶν ὑπ' αὐγὰς διαπτύξας τὸν ἔρωτα, καὶ καταμανθάνειν, ἐκ ἂν ἄλλο πάθος εὕροις, ὕτε λύπας δριμυτέρας ἔχον, ὕτε σφοδροτέρας περιχαρείας, ὕτε μείζονας ἐκςάσεις καὶ παραφροσύνας. ἀλλ' ὥσπερ τὴν Σοφοκλέυς πόλιν [5], ἰδεῖν ἐςιν ἀνδρὸς ἐρωτικῦ ψυχὴν, ὁμῦ μὲν θυμιαμάτων γέμυσαν, ὁμῦ δὲ παιάνων τε καὶ ςεναγμάτων. ὐδὲν ὖν ἄτοπον ὐδὲ θαυμαςὸν, εἰ πάσας, ὅσαι μυσικῆς εἰσιν ἀρχαὶ, περιέχων ὁ ἔρως ἐν αὑτῷ καὶ συνειληφὼς, λύπην, ἡδονὴν, ἐνθυσιασμὸν, τά τ' ἄλλα φιλόπονός [6] ἐςι καὶ λάλος, εἴς τε ποίησιν μελῶν καὶ μέτρων, ὡς ὐδὲν ἄλλο πάθος, ἐπίφορος καὶ κατάντης.

QUAE-

1 Ald. Baf. ἄλλαι τε. Xyl. correxit. Cf. Plut. Opp. Vol. IX. p. 321. not. 3. Dedi deinde ῥιψαύχενι pro vulg. ἱμαύχενι e Turn. & V. Confentit R. nec non Schneid. fragm. Pindar. p. 59 Legitur eadem vox in loco fupra citato, item in Sympof. VII, 5. Ald. porro & Baf. dant uno vocab. συγκλόνῳ.

2 R. judice poft μέγα deeft ἀφιᾶσι, vel ἐφιᾶσι, vel τρέπεσι, vel tale quid. W. rectius legi cenfet κινέμενοι pro γενόμενοι, & φθέγγονται pro φθέγγεσθαι.

3 W. cum Mez. & Amiot. mavult Βακχαί.

4 W. fufp. παρέπεται.

5 Ald. Baf. ἀλλ' ὥσπερ τὸν Σοφοκλέα, πόλιν ἀνδρὸς ἐρ. ψ. Dandum effe τὴν Σοφοκλέυς πόλιν monuerunt Xyl. & H. Steph. Alluditur ad Oedipi tyranni principium. Cf. Vol. VII. p. 294. VIII. p. 74.

6 R. mavult φιλόλογος. W. probat.

# QUAESTIO VI.

## De Alexandri bibacitate [1].

Λόγος ἦν περὶ Ἀλεξάνδρυ τῦ βασιλέως, ὡς ὐ πολὺ πίνοντος, ἀλλὰ πολὺν χρόνον ἐν τῷ πίνειν καὶ [2] διαλέγεσθαι τοῖς φίλοις ἕλκοντος. ἀπεδείκνυε δ᾽ αὐτὺς φλυαρῦντας Φίλινος ἐκ τῶν ῦ βασιλικῶν ἐφημερίδων, ἐν αἷς συνεχέστατα γέγραπται καὶ πλειστάκις, ὅτι τήνδε τὴν ἡμέραν ἐκ τῦ πότυ ἐκάθευδεν [3], ἔστι δ᾽ ὅτε καὶ τὴν ἐφεξῆς· διὸ καὶ πρὸς τὰς συνυσίας ἀργότερος ἦν, ὀξὺς δὲ καὶ θυμοειδής· ἅπερ σωματικῆς ἐστι θερμότητος. λέγεται δὲ καὶ τῦ χρωτὸς ἥδιστον ἀποπνεῖν, ὥστε καταπιμπλάναι τὺς χιτωνίσκυς εὐωδίας ἀρωματιζέσης· ὃ δοκεῖ καὶ αὐτὸ θερμότητος εἶναι. διὸ καὶ τῆς οἰκυμένης οἱ ξηρότατοι καὶ θερμότατοι τόποι τήν τε κασίαν καὶ τὸν λιβανωτὸν ἐκφέρυσι. πέψει γάρ τινι τῶν ὑγρῶν ὁ Θεόφραστός φησιν ἐπιγίνεσθαι τὴν εὐωδίαν, ὅταν ἐξαιρεθῇ τὸ βλαβερὸν ὑγρὸν [4] ὑπὸ θερμότητος. δοκεῖ δὲ [5] καὶ Καλλισθένης ἐν διαβολῇ γενέσθαι πρὸς αὐτὸν, ὡς δυσχεραίνων δειπνεῖν διὰ τὸν πότον· ἐπεὶ καὶ κύλικα, λεγομένην Ἀλεξάνδρυ, μεγάλην, ἐλθῦσαν. ἐπ᾽ αὐτὸν, ἀπεώσατο, φήσας, ὐκ ἐθέλειν, Ἀλεξάνδρυ πιὼν, Ἀσκληπιῦ δεῖσθαι. ταῦτα μὲν ὖν περὶ τῆς Ἀλεξάνδρυ πολυποσίας.



1 Personae colloquii sunt Philinus, Plutarchus, alii.

2 abest καὶ ab Ald. & Bas.

3 Ald. Bas. καθεύδων.

4 Ald Bas. ῥιστὸν. Cf. Plut. Alex. M. Vol. IV. p. 255.

5 Quae sequuntur, mutilate exhibent Ald. Bas. nec non, W. teste, MSS. καὶ κα * ἐν διαβολῇ * τὸν ὡς δυσχεραι * δειπνεῖν διὰ τὸν * ἐπεὶ καὶ. Xyl notavit, pertinere haec ad Callisthenem. Cf. Plut. Opp. Vol. IX. p. 416. Steph. dedit lectionem receptam, quam jam antea correxisse Turn. ac vertisse Amiot. notat W. Mavult R. δυσχεραίνων παρ᾽ αὐτῷ δειπνεῖν διὰ τὸν πολὺν πότον.

II. Μιθριδάτην δὲ, τὸν πολεμήσαντα Ῥωμαίοις, ἐν τοῖς ἀγῶσιν, οὓς ἐπετέλει, καὶ πολυφαγίας ἆθλα θεῖναι καὶ πολυποσίας φασί· νικῆσαι δ' αὐτὸν ἀμφότερα, καὶ ὅλως πιεῖν πλεῖστον τῶν [1] κατ' αὐτὸν ἀνθρώπων, διὸ καὶ Διόνυσον ἐπικληθῆναι. τοῦτο ἡμεῖς εἴπομεν ἕν τι τῶν εἰκῆ πεπιστευμένων εἶναι, τὸ περὶ τὴν αἰτίαν τῆς ἐπικλήσεως. νηπίου γὰρ ὄντος αὐτοῦ, κεραυνὸς ἐπέφλεξε τὰ σπάργανα, τοῦ δὲ σώματος οὐχ ἥψατο, πλὴν ὅσον ἴχνος τι τοῦ πυρὸς ἐν τῷ μετώπῳ κρατουμένῳ ὑπὸ τῆς κόμης μένειν [2] αὐτῷ παιδί· καὶ ἀνδρὸς ἤδη πάλιν ἐπὶ τὸ δωμάτιον ἐμπεσὼν κεραυνὸς αὐτοῦ μὲν κατέπεσε [3] καθεύδοντος, τῆς δὲ φαρέτρας ὑποκρεμαμένης [4] διεξῆλθε τὰ βέλη πυρακτώσας. οἱ μὲν οὖν μάντεις ἀπεφήναντο, πλεῖστον αὐτὸν ἰσχύσειν ἀπὸ τῆς τοξικῆς καὶ κούφης στρατιᾶς· οἱ δὲ πολλοὶ Διόνυσον αὐτὸν ἀπὸ τῶν κεραυνοβολιῶν ὁμοιότητι τοῦ πάθους προσηγόρευσαν.

III. Ἐκ τούτου περὶ τῶν πολὺ πιόντων ἦν ὁ λόγος· ἐν οἷς καὶ τὸν πύκτην Ἡρακλείδην ἐτίθεσαν, ὃν Ἡρακλῆν [5] Ἀλεξανδρεῖς ὑπεκορίζοντο, κατὰ τοὺς πατέρας ἡμῶν γενόμενον. οὗτος ἀπορῶν συμπότου παραμένοντος, ἐκάλει τοὺς μὲν ἐπὶ πρόπομα, τοὺς δ' ἐπ' ἄριστον,

1 abest *τῶν* ab Ald. & Bas. Exhibent hunc articulum Turn. & V. porro autem *καθ' αὐτόν*.

2 Ald. Bas. quibuscum cod. MSS. teste W. consentiunt, *κόμης * ειν * αὐτῷ παι * ἀνδρός*. Steph. dedit vulgatam, & ante eum Exempl. Turn. & Amiot. Pro *κρατουμένῳ*, quod, R. docente, est: *obfirmato & servato incolumi*, W. cum Mez. mavult *κεκρυμμένῳ*.

3 R. mavult *αὐτοῦ μὲν οὐ κατέπεσε*, *in eum quidem ipsum non incidit*. W. susp. *αὐτοῦ μὲν ἀπέπεσε*, vel *ἐξέπεσε*, vel *ἀπείχετο*. Eodem notante, in H. Flor. Xyl. pro *αὐτοῦ* est *αὐτῷ*.

4 R. mavult *ὑπερκρεμαμένης*, suspensa super ejus capite.

5 Ald. Bas. Xyl. & codd. MSS. *Ἡρακλοῦν*. Steph. vulgatum sumsit ab Leonico & Schotto. Turn. in ind. Frft. *Ἡρακλείδιον*; in W. nota & hoc & illud.

του, ἄλλους δ' ἐπὶ δεῖπνον, ἐχάτους δέ τινας ἐπὶ κῶμον. ἀπαλλαττομένων δὲ τῶν πρώτων, δεύτεροι συνῆπτον, εἶτ' ἐφεξῆς οἱ τρίτοι, καὶ τέταρτοι· κἀκεῖνος ὐθὲν διαλειμμα ποιῶν ἅπασιν ἐξήρκει, καὶ τὰς τέσσαρας πότους συνδιέφερε.

IV. Τῶν δὲ Δρύσω, τῷ Τιβερίυ Καίσαρος υἱῷ, συμβιύντων, ὁ πάντας ἐν τῷ πίνειν προτρεπόμενος [1] ἰατρὸς ἑάλω τῶν πικρῶν ἀμυγδάλων πέντε ἢ ἓξ ἑκάςοτε προλαμβάνων [2], ἕνεκα τῦ μὴ μεθύσκεσθαι· κωλυθεὶς δὲ καὶ παραφυλαχθεὶς ὐδ' ἐπὶ μικρὸν ἀντέχεν. ἔνιοι μὲν ὖν ᾤοντο, τὰς ἀμυγδαλίδας δηκτικόν τι καὶ ῥυπτικὸν ἔχειν τῆς σαρκὸς, ὥςε καὶ τῶν προσώπων τὰς ἐφηλίδας ἐξαίρειν [3]. ὅταν ὖν προληφθῶσι, τῇ πικρότητι τὰς πόρυς ἀμύσσειν, καὶ δηγμὸν ἐμποιεῖν, ὑφ' ὖ τὸ ὑγρὸν κατασπῶσιν ἀπὸ τῆς κεφαλῆς διατμιζόμενον. ἡμῖν δὲ μᾶλλον ἡ τῆς πικρότητος ἐδόκει δύναμις ἀναξηραντικὴ καὶ δάπανος ὑγρῶν εἶναι· διὸ τῇ γεύσει πάντων ἐςὶ τῶν χυλῶν ὁ πικρὸς ἀηδέςατος. τὰ γὰρ φλέβια τῆς γλώττης, (ὡς ὁ Πλάτων φησὶ) μαλακὰ καὶ μανώτερα [4] ὄντα, συντείνει παρὰ φύσιν ἡ τῆς ξηρότητος φύσις [5], ἐκτηκομένων τῶν ὑγρῶν. καὶ τὰ ἕλκη τοῖς πικροῖς ἐπισχναίνυσι [6] φαρμάκοις, ὡς ὁ ποιητής φησιν [7].



1 Xyl. non probat hanc vocem, suspicans προτρεχόμενος, & notans, Athenaeum, L. II. hunc locum citando, usum fuisse voce ὑπερβαίνων. R. monet, προτρεπόμενος raro sensu hic positum esse pro προτερῶν vel νικῶν, *praeveniens, post se relinquens, superans.*

2 Salmas. πρωὶ λαμβάνων, ita esse notans apud Dioscorid.

3 W. legendum monet ἐξαιρεῖν.

4 W. rectius putat ἁπαλὰ καὶ νοτερά. Cf. Platon. Timae. Opp. Vol. IX. ed. Bip. p. 378.

5 abest φύσις ab Ald. & Bas. pro eo est in V. δύναμις.

6 R. mavult ἀπισχναίνυσι, *efficiunt tenuia, macra, arida.*

7 Iliad. XI. 845. sq. Ald. & Bas. secundum & tertium versum

— — ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
Χερσὶ διατρίψας ὀδυνήφατον, ἥ οἱ ἁπάσας
Ἔσχ' ὀδύνας· τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ' αἷμα.

τὸ γὰρ τῇ γεύσει πικρὸν, τῇ δυνάμει ξηραντικὸν, ὀρθῶς προσηγόρευσε. Φαίνεται δὲ καὶ τὰ διαπάσματα [1] τῶν γυναικῶν, οἷς ἀναρπάζεσι τὲς ἱδρῶτας, πικρὰ τῇ φύσει καὶ συπ]ικὰ ὄντα σφοδρότητι τε̃ ςρυφνε̃ντος πικρε̃ [2]. ἔτως ἐν (ἔφην) τέτων ἐχόντων, εἰκότως ἡ τῶν ἀμυγδάλων πικρότης βοηθεῖ πρὸς τὸν ἄκρατον, ἀναξηραίνεσα τε̃ σώματος τὰ ἐντὸς, καὶ [3] ἐκ ἐῶσα πίμπλασθαι τὰς φλέβας, ὧν διατάσει φασὶ καὶ ταραχῇ συμβαίνει τὸ μεθύειν. τεκμήριον δὲ τε̃ λόγε μέγα τὸ συμβαῖνον περὶ τὰς ἀλώπεκας. ἂν [4] γὰρ ἀμυγδάλας πικρὰς φαγε̃σαι μὴ ἐπιπίωσιν, ἀποθνήσκεσι, τῶν ὑγρῶν ἀθρόως ἐκλειπόντων [5].

QUAE-

sum confundunt, ita dantes: ἥ οἱ παύσαντο δ' αἷμα, omissis intermediis. Hinc Xyl. locum ex Homero ipso integrandum notat.

1 Sic e Bas. restituendum monuit R. — *ea, quae mulierculae inspergunt*, pulvisculi exsiccantes — & sic quoque Salmas. dedique cum W. accedentibus Xyl. Turn. Leonic. Schott. Mez. Vulgo & rell. libri διασπάσματα. Quod sequitur τῶν γυναικῶν, suspectum est Xylandro.

2 Lectionem hanc Steph. e Turn. Exempl. dedit. Antea legebatur σφοδρότητι τε̃ ςρυφνε̃ τὸ πικρὸν. Quare locum mutilum esse monuit Xyl. Exhibent idem codd. Susp. R. post πικρε̃ deesse ξηραίνειν. W. autem se ad sententiae necessitatem corrigere notat σφόδρα, ταύτῃ καταῤῥοφεῖν τὸ ὑγρόν.

3 abest καὶ ab Ald. & Bas.

4 pro ἂν V. αἱ.

5 Locum hunc ita Steph. e Turn. Exempl. dedit. In edd. prioribus nec non in codd. est φαγε̃σαι ἐπιπίωσι * τῶν ὑγρῶν ἀθρο * πόντων. Xyl. ante ἐπιπίωσι inserendum monuit μή; V. ita habet φαγε̃σαι ἀποθνήσκεσι ἐπιπίωσι μὴ τῶν ὑγρῶν ἀθρόως ἐκλιπόντων.

## QUAESTIO VII.

### Cur senes magis delectentur mero [1]?

Ἐζητεῖτο περὶ τῶν γερόντων, διὰ τί μᾶλλον ἀκρατοτέρῳ τῷ ποτῷ χαίρουσιν. οἱ μὲν οὖν κατεψυγμένην τὴν ἕξιν αὐτῶν καὶ δυσεκθέρμαντον οὖσαν οἰόμενοι, διὰ τοῦτο τῇ σφοδρότητι τῆς κράσεως ἐναρμόττειν ἐφαίνοντο [2], κοινόν τι καὶ πρόχειρον, οὐχ ἱκανὸν δὲ πρὸς τὴν αἰτίαν, οὐδ' ἀληθὲς λέγοντες. καὶ γὰρ ἐπὶ τῶν ἄλλων αἰσθήσεων τὸ αὐτὸ συμβέβηκε. δυσκίνητοι γάρ εἰσι καὶ δυσμετάβλητοι πρὸς τὰς ἀντιλήψεις τῶν ποιοτήτων, ἂν μὴ κατάκοροι καὶ σφόδρα [3] προσπέσωσιν· αἰτία δὲ ἡ τῆς ἕξεως ἄνεσις· ἐκλυομένη γὰρ καὶ ἀτονοῦσα πλήττεσθαι φιλεῖ. διὸ τῇ [4] γεύσει μάλιστα τοὺς δηκτικοὺς προσίενται χυμούς· ἥ τ' ὄσφρησις αὐτῶν ὅμοια πέπονθε πρὸς τὰς ὀσμάς. κινεῖται γὰρ ὑπὸ τῶν ἀκράτων [5] καὶ σφοδρῶν ἥδιον· ἡ δὲ ἁφὴ πρὸς τὰ ἕλκη δυσπαθής· τραύματα γὰρ ἐνίοτε λαμβάνοντες οὐ μάλα πονοῦσιν. ὁμοιότατον δὲ γίνεται ἐπὶ τῆς ἀκοῆς· οἱ γὰρ μουσικοὶ γηρῶντες, ὀξύτερον ἁρμόζονται καὶ σκληρότερον, οἷον ὑπὸ πληγῆς [6], τῆς συντόνου φωνῆς ἐγείροντες τὸ αἰσθη-



1 Personae colloquii sunt Plutarchus, alii.

2 W. comma dedit ante ἐφαίνοντο, ut hoc verbum jungatur cum λέγοντες, monet autem ante διὰ τοῦτο inserendum καί. Mihi quidem locus nondum sanus videtur. Pro κοινόν τι, quod sequitur, Ald. & Bas. καινόν τι, & Xyl. vertit: *nihil novi, sed in promtu quod esset — attulerunt.*

3 R. mavult σφοδραί. W. consentit.

4 W. τῇ τε γεύσει, nulla hujus discrepantiae a lectione, quae vulgo exhibetur, ratione allata.

5 Ald. & Bas. nec non codd. MSS. corrupte ac mutilate ita: ὑπὸ τῶν ἀκρατῶν * ἥδιον, ἡ δὲ ἁφὴ τὰ ἕλκη δυσπα * τραύματα γὰρ * λαμβάνοντες * ἃ πονοῦσιν, ὁ * τατον δὲ γίνεται τῆς ἀκοῆς, οἱ μουσικοί. &c. Steph. explevit locum ductu exempli Turnebiani. Eodem monente dedi cum W. ἀκράτων pro ἀκρατῶν. quod vulgo legitur.

6 Vulgo πληγῆς καὶ τ. σ. φ. Delevi καὶ e R. mente.

αἰσθητήριον. ὅτι γὰρ σιδήρῳ πρὸς ἀκμὴν στόμωμα, τοῦτο σώματι πνεῦμα παρέχει πρὸς αἴσθησιν· ἐνδόντος δὲ τούτου καὶ χαλάσαντος, ἀργὸν ἀπολείπεται καὶ γεῶδες τὸ αἰσθητήριον, καὶ σφοδροῦ τοῦ νύττοντος, οἷον ὁ ἄκρατός ἐστι, δεόμενον [1].

## QUAESTIO VIII.

### Cur ſeniores facilius literas eminus legant [2]?

Ταῦτα δὲ ἡμῶν εἰς τὸ προκείμενον εὑρεσιλογούντων, ἐδόκει τὸ τῆς ὄψεως ἀντιπίπτειν. οἱ γὰρ πρεσβύτεροι πόῤῥω τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες ἀναγινώσκουσιν, ἐγγύθεν δ' οὐ δύνανται· καὶ τοῦτο παραδηλῶν ὁ Αἰσχύλος φησίν·

Οὐδ' ἄποθεν εἶδες αὐτόν· οὐ γὰρ ἐγγύθεν
Ὁρᾷς, γέρων δὲ [3] γραμματεὺς γενοῦ σαφής.

ἐνδηλότερον [4] Σοφοκλῆς τὸ αὐτὸ περὶ τῶν γερόντων·

Βραδεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ
Μόλις δι' ὠτὸς [5] ἔρχεται τρυπωμένου,
Πόῤῥω δὲ λεύσσων, ἐγγύθεν δὲ πᾶς τυφλός.

εἴπερ οὖν πρὸς τὴν ἐπίτασιν καὶ σφοδρότητα μᾶλλον ὑπ-

ακούει

1 Vulgo ὁ ἄκρατος, ἐστὶ δεόμενον. Hinc R. legi voluit aut ὁ ἄκρατος, ἐπιδεόμενον, aut mutata diſtinctione ὁ ἄκρατός ἐστι, δεόμενον. Poſterius dedi cum W. Favet correctioni Baſ.

2 Perſonae colloquii ſunt Plutarchus, Lamprias, alii.

3 Ald. & Baſ. conſentientibus ſcriptis mutilum habent locum: οὐδὲ ἀπο * αὐτόν. οὐ γὰρ ἐγγύθεν * γέρων δὲ. Steph. ſupplevit eum e Turn. Judice W. ſententia tale quid deſiderat Εἰ δ' ἄποθεν εἶδες αὐτὸν, οὐδ' ἄρ' ἐγγύθεν Ὁρᾷς —. Pro γενοῦ R mavult ἐγένου.

4 R. legi vult ἐκδηλότερον δὲ Σ.

5 Vulgo poſt προσβολὴ interpungitur, & legitur μόλις δι' ἰωτός. Steph. corrigendum monuit amovendo interpunctionis notam, dandoque δι' ὠτός. Poſterius ſimul eſt in Baſ. Conſentiunt E. Palat. Xyl. Mez. dedique cum W. Paulo ante R. mavult ἐν λόγοις ἡ προσβολή.

μηκέει τῶν [1] γερόντων αἰσθητήρια, πῶς ἐν τῷ ἀναγινώσκειν τὸν ἐγγύθεν ἀντιφωτισμὸν ἐ φέρεσιν, ἀλλὰ παράγοντες ἀποτέρω τὸ βιβλίον ἐκλύεσι τὴν λαμπρότητα τῷ ἀέρι, καθάπερ οἶνον ὕδατι, κατακεραννυμένην;

II. Ἦσαν μὲν ἐν, οἳ πρὸς τἒτο ἔλεγον [2], ὡς ἀπάγεσι τῶν ὄψεων τὸ βιβλίον, ἐ μαλακώτερον τὸ φῶς ποιἒντες, ἀλλ᾽ οἷον ἐπιδραττόμενοι καὶ περιλαμβάνοντες αὐγὴν πλείονα, καὶ πληρἒντες ἀέρος λαμπρἒ τὴν μεταξὺ τῶν ὀμμάτων καὶ τῶν γραμμάτων χώραν. ἕτεροι δὲ τοῖς συμβάλλεσι τὰς αὐγὰς προσεῖχον [3]. ἐπεὶ γὰρ αποτείνεται τῶν ὀφθαλμῶν ἑκατέρε κῶνος, πρὸς τῷ ὄμματι τὴν κορυφὴν ἔχων, ἕδραν δὲ καὶ βάσιν [4], ἣ περιλαμβάνει τὸ ὁρώμενον, ἄχρι μέν τινος εἰκός ἐςιν ἰδίᾳ τῶν κώνων ἑκάτερον φέρεσθαι· γενόμενοι δ᾽ ἀποτέρω, καὶ συμπεσόντες ἀλλήλοις, ἓν τὸ φῶς ποιἒσι· διὸ καὶ τῶν ὁρωμένων ἕκαςον, ἕν, ἐ δύο, φαίνεται, καίπερ ἀμφοτέροις ἅμα τοῖς ὄμμασι καταφαινόμενον· αἰτία γὰρ ἡ τῶν κώνων σύναψις εἰς ταυτὸ καὶ σύλλαμψις ἐκ δυεῖν μίαν ὄψιν ἀπειργασμένη. τἒτων δὲ ἕτως ἐχόντων, οἱ μὲν ἐγγὺς προσάγοντες τὰ γράμματα πρεσβύται, μηδέπω τῶν αὐγῶν [5] συγκεχυμένων, ἀλλ᾽ ἑκάτερα χωρὶς ἐπιθιγγάνοντες, ἀσθενέςερον ἐπιλαμβάνονται· οἱ δ᾽ ἀποτέρω προθέμενοι, μεμιγμένε τἒ φωτὸς ἤδη πολλἒ γεγονότος, μᾶλλον ἐξακριβἒσιν, ὥσπερ οἱ ταῖς δυσὶν ὁμἒ χερσὶ κατέχοντες, ὃ τῇ ἑτέρᾳ μὴ δύνανται.

III. Λαμπρίας δὲ, ὁ ἀδελφὸς, τὴν Ἱερωνύμε μονον ἐκ ἀνέγνωκεν [6] εὐφυΐαν ἐμπεσὼν, ὅτι τοῖς προσπίπτε-

1 W. cum Mez. legendum monet *τὰ τῶν γερόντων αἰ.*
2 Ald. Baſ. *λέγεσιν.*
3 Ald. Baſ. *μετεῖχον.*
4 R. judice, poſt *βάσιν* deeſt *τὴν ἐπιφάνειαν*, aut *τὴν κόρην.*
5 Ald. Baſ. *τῶν αὐτῶν.* Eaedem deinde *ἀνωτέρω* pro *ἀποτέρω.*
6 Ald. & Baſ. quibuscum MSS. conſentiunt: *Λαμπρίας δὲ* * *τὴν ἱερώνυμον* * *ἐκ ἀνέγνωκεν* * *εὐφυΐαν ἐμπεσὼν, ὅτι τοῖς προσ-*

πίπτουσιν ἀπὸ τῶν ὁρατῶν εἴδεσι πρὸς τὴν ὄψιν ὁρῶμεν, ἃ πρῶτον μὲν ἀπέρχεται μεγάλα καὶ παχυμερῆ· διὸ τοὺς γέροντας ἐγγύθεν ἐπιταράττει βραδύπορον καὶ σκληρὰν ἔχοντας τὴν ὅρασιν· ἀνενεχθέντων δ' εἰς τὸν ἀέρα, καὶ λαβόντων διαστήματα, τὰ μὲν γεώδη περιθραύεται καὶ ἀποπίπτει, τὰ δὲ λεπτὰ προσπελάζοντα ταῖς ὄψεσιν, ἀλύπως καὶ ὁμαλῶς ἐναρμόττει τοῖς πόροις, ὥστε ἧττον ταραττομένας, μᾶλλον ἀντιλαμβάνεσθαι. καὶ γὰρ αἱ τῶν ἀνθῶν ὀσμαὶ πόρρωθεν εὐωδέστεραι προσπίπτουσιν· ἂν δὲ [1] ἐγγύθεν ἄγαν προσάγῃς, οὐχ οὕτω καθαρὸν οὐδ' ἄκρατον ὀδώδασιν. αἴτιον δὲ, ὅτι πολλὰ τῶν γεωδῶν καὶ θολερῶν συναποφέρεται τῇ ὀσμῇ, καὶ διαφθείρει τὴν εὐωδίαν ἐγγύθεν λαμβανομένην· ἂν δ' ἄπωθεν, τὰ μὲν θολερὰ [2] καὶ γεώδη περιῤῥεῖ καὶ ὑποπίπτει, τὸ δ' εἰλικρινὲς καὶ θερμὸν αὐτοῦ ὑπὸ λεπτότητος διασώζεται πρὸς τὴν αἴσθησιν.

IV. Ἡμεῖς δὲ τὴν Πλατωνικὴν φυλάττοντες [3] ἀρχὴν,

προσπίπτουσιν ἀπὸ τῶν ὁρατῶν * σιν πρὸς τὴν ὄψιν ὁρώμενα, πρῶτον μ. ἀπ. Steph. dedit vulgatam, eamque Amiot. expressit. W. dubitat, de hujus lectionis veritate, & probabilius ita supplendum censet locum: Λαμπρίας δὲ ὁ ἀδελφὸς ἔφη θαυμάζειν εἴ τις τὴν Ἱερωνύμου βίβλον οὐκ ἀνέγνωκεν ἐν ᾗ φησιν κατ' Ἐμπεδοκλέα, ὅτι τοῖς προσπίπτουσιν. &c. Vulgatam autem ita vertendo exprimit: *Lamprias autem incidens in nostrum sermonem, tantum non praelegit scitum illud Hieronymi commentum, dicentis, videre nos ita dum species ex rebus visis ad visum accidant: hae quippe primo quidem ferri crassas & magnas.* &c. E V. notatur οὐκ ἀνέγνωκεν δόξαν εὐφυΐαν.

1 Vulgo ἂν δὲ τὰ μὲν ἐγγύθεν. Recte abesse τὰ μὲν a Bas. notavit R. cum subaudiatur αὐτά. Delevi cum W. consentientibus Ald. Xyl. E. H. Venet. Palat.

2 Ald. Bas. nec non, W. notante, Xyl. & Flor. ἂν δὲ ἀπὸ μὲν θολερά. Hinc Xyl. notat, mutila haec esse, sensum autem: *Si longius rem fragrantem a naribus dimoveas*, τὰ μὲν &c. Turn. & V. ἂν δὲ τὰ μὲν θολερά. Iidem deinde περιῤῥέῃ. Pro ὑποπίπτει R. mavult ἀποπίπτει.

3 Ald. Bas. Πλατωνικὴν φυγόντες. Hinc Xyl. notat, φυγόν-

χὴν, λέγομεν, ὅτι πνεῦμα τῶν ὀμμάτων αὐγοειδὲς ἐκπίπτον ἀνακιρνᾶται τῷ περὶ τὰ σώματα φωτὶ, καὶ λαμβάνει σύμπηξιν, ὥστε ἓν ἐξ ἀμφοῖν σῶμα διόλε συμπαθὲς γενέσθαι. κεράννυται δὲ ἕτερον ἑτέρῳ συμμετρίας λόγῳ τε [1] καὶ ποσότητος· ἐ γὰρ ἀναιρεθῆναι δεῖ θάτερον ὑπὸ θατέρε κρατηθὲν, ἀλλ' ἀπ' ἀμφοῖν ἔς τι μέσιν ἁρμονίᾳ καὶ κοινωνίᾳ συναχθέντων [2] μίαν δύναμιν ἀποτελεσθῆναι. ὄντος ἓν τε τῶν [3] παρηλίκων, (εἴτε ῥεῦμα χρὴ προσαγορεύειν τὸ διὰ τῆς κόρης φερόμενον, εἴτε πνεῦμα φωτοειδὲς, εἴτ' αὐγὴν) ἀσθενὲς καὶ ἀδρανὲς, ἐ γίνεται κρᾶσις πρὸς αὐτὸ τῷ ἐκτὸς [4], ἐδὲ μίξις, ἀλλὰ φθορὰ καὶ σύγκρισις [5], ἂν μὴ μακρὰν τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες, ἐκλύωσι τὴν ἄγαν λαμπρότητα τε φωτὸς, ὥστε μὴ πολλὴν, μηδ' ἄκρατον, ἀλλ' ὁμοιοπαθῆ [6] καὶ σύμμετρον ἀπαντῆσαι πρὸς τὴν ὄψιν. ὃ δὴ καὶ τε περὶ τὰ νυκτίνομα τῶν ζώων παθήματος αἴτιόν ἐστιν· ἡ γὰρ ὄψις αὐτῶν, ὑπὸ τε μεθημερινε φωτὸς ἀδρανὴς ἔσα, κατακλύζεται καὶ κρατεῖται, μὴ δυναμένη πρὸς πολὺ καὶ ἰσχυρὸν ἀσθενὲς [7] καὶ ὀλίγης ἀρχῆς κεραν-

γόντες non quadrare. Steph. dedit ἐ φυγ. Dando φυλάττοντες secutus sum W. ita e Palat. dantem. Mavult idem ἐλέγομεν pro λέγομεν, cum Plutarchus jam loquatur.

1 R. legi vult συμμετρίας τε λόγῳ.

2 Ald. Bas. κρατηθὲν, ἀλλ' ἀπαμφοῖν ἐστι μέσον ἁρμονία καὶ κοινωνία συναχθέντων. Xyl. locum hunc emendari posse notat, si legas: κρατηθέν· ἀλλ' ἀπ' ἀμφοῖν ἔς τι μέσον ἁρμονίᾳ. &c. Dedit Steph.

3 Ald. & Bas. τέτων pro τε τῶν, quod Xyl. daudum monuit, & dedit Steph. notans, sequentia εἴτε πνεῦ. — αὐγὴν apte includi parentheseos nota, quam dedi.

4 Ald. Bas. πρὸς * τὸ ἐκτὸς. Paulo ante pro ἐ γίν. Bas. ἐγγίνεται. Xyl. particulam negantem desideravit, reliquam sententiam integram censens.

5 W. susp. ἔκτρωσις; Mez. σύγχυσις.

6 Ald. Bas. ὁμοπαθῆ.

7 R. legi vult ἀπ' ἀσθενὲς. Mez. corrigit δυναμένης — αὐγῆς pro δυναμένη — ἀρχῆς. W. neutrum improbat.

κεράννυσθαι· πρὸς δὲ τὸ ἀμαυρὸν καὶ λεπτὸν, οἷον ἀςέρος, φῶς αὐγὴν διαρκῆ καὶ σύμμετρον ἐξίησιν, ὥςε κοινωνεῖν καὶ συνεργεῖσθαι τὴν αἴσθησιν.

## QUAESTIO IX.

Cur aqua potabili magis eluantur veftes, quam marina [1]?

Θέων, ὁ γραμματικὸς, ἑςιωμένων ἡμῶν παρὰ Μετρίῳ Φλώρῳ [2], πρὸς Θεμιςοκλέα τὸν Στωϊκὸν διηπόρησε, τί δή ποτε Χρύσιππος ἐν πολλοῖς τῶν παραλόγων καὶ ἀτόπων [3] ἐπιμνησθεὶς· οἷόν ἐςι τὸ, τάριχος ἂν ἅλμῃ βρέχηται, γλυκύτερον γίνεσθαι· καὶ τὸ, τῶν ἐρίων τὰς πόκας ἧττον ὑπακούειν τοῖς βίᾳ διασπῶσιν, ἢ τοῖς ἀτρέμα διαλύουσι· καὶ τὸ, νηςεύσαντας ἀργότερον ἐσθίειν, ἢ προφαγόντας· οὐδενὸς αὐτῶν αἰτίαν ἀπέδωκεν. ὁ δὲ Θεμιςοκλῆς εἰπὼν, ὅτι ταῦτα Χρύσιππος ἄλλως ἐν παραδείγματος λόγῳ προὔθετο, ῥᾳδίως ἡμῶν καὶ ἀλόγως πρὸ τοῦ εἰκότος ἁλισκομένων, καὶ πάλιν ἀπιςούντων τῷ [4] παρὰ τὸ εἰκὸς, ἐπιςρέφων· Σοὶ δ', (ἔφη [5]) βέλτιςε, τί πρᾶγμα περὶ τούτων διαπορεῖν; εἰ γὰρ ἡμῖν αἰτίων ζητητικὸς καὶ θεωρητικὸς γέγονας, μὴ μακρὰν οὕτως ἀποσκήνου [6] τῶν ἰδίων· ἀλλ' εἰπὲ, δι' ἣν αἰτίαν Ὅμηρος

1 Perfonae colloquii funt Theo, Themiftocles, Metrius Florus, Plutarchus, alii.

2 Sufpecta fuit Xylandro vox *Metrius*, licet eadem legatur Sympof. V, 7. R. quaerit, num *Μεςρίῳ* Φλώρῳ. Tale nomen exhibet Sueton. Vefpaf. c. 22. nec non Plut. ipfe in vit. Othon. Vol. VI. p. 397. In Tacit. Hift. V, 10. ab aliis editur *Ceftius Florus*, ab aliis *Geffius Florus*.

3 Vulgo abeft καὶ ante ἀτόπων. Id R. inferendum cenfuit, dedique cum W. idem ex Palat. addente.

4 Ald. Baf. τό.

5 Turn. V. nec non Anon. ἔφην. Forte ita legendum, notat W.

6 R. mavult ἀποσκηνοῦ, in Imp. Med. W. probat.

ρος [1] ἐν ποταμῷ πλύνεσαν, ἐκ ἐν τῇ θαλάτῃ, καίπερ ἐγγὺς ἔσῃ, τὴν Ναυσικάαν πεποίηκε, καίτοι θερμοτέραν γε καὶ διαφανεςέραν [2] εἰκὰς καὶ ῥυπ]ικωτέραν εἶναι.

II. Καὶ ὁ Θέων· Ἀλλὰ τῦτό γε (εἶπε) τῷ γεώδει [3] Ἀριςοτέλης πάλαι διαλέλυκεν, ὃ προβέβληκας ἡμῖν. καὶ γὰρ τῇ θαλάτῃ τὸ τραχὺ [4] καὶ γεῶδες ἐνδιέσπαρται, καὶ τῦτο ποιεῖ τὴν ἀλυκότητα μεμιγμένον· ᾗ καὶ μᾶλλον ἡ θάλατ]α τὰς τε νηχομένυς ἐξαναφέρει, καὶ ςέγει τὰ βάρη, τῦ γλυκέος ἐνδιδόντος διὰ κυφότητα καὶ ἀσθένειαν· ἔςι γὰρ ἄμικ]ον καὶ καθαρόν· ὅθεν ἐνδύεται διὰ λεπ]ότητα, καὶ διεξιὸν τῦ θαλατ]ίυ μᾶλλον ἐκ]ήκει τὰς κηλῖδας [5]. ἢ ὖ δοκεῖ σοι τῦτο πιθανῶς λέγειν Ἀριςοτέλης;

III. Πιθανῶς, ἔφην ἐγὼ, ὐ μὴν ἀληθῶς. ὁρῶ γὰρ, ὅτι καὶ τέφρᾳ καὶ λίθοις, κἂν μὴ παρῇ δὲ ταῦτα, κονιορτῷ [6] πολλάκις παχύνυσι τὸ ὕδωρ, ὡς μᾶλλον τῶν γεηρῶν [7] τῇ τραχύτητι καταπλύνειν δυναμένων

1 Odyss. VI, 57. sq.

2 R. mavult διαφαγεςέραν: W. judice, & verbo & sensu repudiandum. De re cf. Aristot. Probl. XXIII, 8. 9. 38. Vulgo post εἰκὸς fuit ἦ. Dando καὶ W. sum secutus; ita reponentem ex Turn. Bas. & Xyl. & suspicantem, forte certius cum Mez. corrigi ἦν. Nexum idem ita Latine reddidit: *cum quidem appareat, marinam aquam, quippe calidiorem & pellucidiorem, majore vi tergendi praeditam esse.*

3 Ita Steph. dedit, consentientibus partim, W. notante, codd. In Ald. Bas. Xyl. ita legitur: τῶν γεωδῶν Ἀριςοτέλης πάλαι διαλέλυκε. βέβληκας ἡμῖν * τῇ θαλάτῃ. Jam Xyl. locum ita integrandum monuit διαλέλυκεν, ὃ προβέβληκας ἡμῖν. ὅτι τῇ. &c.

4 W. potius παχὺ legendum censet ex Aristot. Probl. XXIII, 13. 14. 22.

5 Bas. κοιλίδας. Xyl. correxit.

6 Bas. τέφρα καὶ λίθοι' —, κονιορτῷ. Hinc quoque Xyl. legi maluit κονιορτός.

7 Ald. τῶν γεωργῶν; Bas. τῶν γεωδῶν.

νων τὸν ῥύπον· αὐτȣ̃ δὲ τȣ̃ ὕδατος διὰ λεπ]ότητα καὶ ἀϑένειαν ȣ̓κ ἔχ. ὁμοίως τȣ̃το δρῶντος. τὸ μὲν ȣ̃ν παχυμερὲς τῆς ϑαλάτ]ης ȣ̓ καλῶς εἶπε τȣ̃τό ποτε ποιεῖν, ἅτε πρὸς τὴν κάϑαρσιν ἔχον τὴν δριμύτητα· καὶ γὰρ αὕτη τȣ̀ς πόρȣς ἀναςομȣ̃σα καὶ ἀνοίγȣσα κατασύρει τὸν ῥύπον [1]. ἐπεὶ δὲ πᾶν τὸ λιπαρὸν δυσέκπλυτόν ἐςι, καὶ κηλίδα ποιεῖ, λιπαρὰ δὲ ἡ ϑάλασσα, τȣ̃το ἂν αἴτιον εἴη μάλιςα τȣ̃ μὴ καλῶς πλύνειν. ὅτι δέ ἐςι λιπαρὰ, καὶ αὐτὸς εἴρηκεν Ἀριςοτέλης· οἵ τε γὰρ ἅλες λίπος ἔχȣσι καὶ τȣ̀ς λύχνȣς βέλτιον παρέχȣσι καιομένȣς· αὐτή τε ἡ ϑάλατ]α προσραινομένη ταῖς φλοξὶ συνεκλάμπει, καὶ καίεται μάλιςα τῶν ὑδάτων τὸ ϑαλάτ]ιον· ὡς δ' ἐγῷμαι, διὰ τȣ̃το καὶ ϑερμότατόν ἐςιν. ȣ̓ μὴν ἀλλὰ καὶ κατ' ἄλλον τρόπον. ἐπεὶ τῆς πλύσεως τέλος ἡ ξήρανσίς [2] ἐςι, καὶ μάλιςα φαίνεται καϑαρὸν τὸ μάλιςα ξηρὸν γινόμενον· δεῖ δὲ [3] τὸ πλῦνον ὑγρὸν τῷ

1 Locum hunc Ald. & Baſ. conſentientibus codd. mutilatum exhibent ita: τῆς ϑαλάτ]ης ȣ̓ * ποτε τόποτε * πρὸς τὴν κα ῦ τὴν δριμύτητα. καὶ γὰρ αὕτη τȣ̀ς * ἀναςομȣ̃σα καὶ * κατασύρει τὸν ῥύπον. Xyl. fatetur, ſe verbis comminiſcendis, quibus hunc locum integraret, noluiſſe temeritatis culpam incurrere. Steph. dedit vulgatam, quam ante eum vertit Amiot, ex conjectura, ut W. ſuſpicatur, Turnebi, id quod plerisque alibi lacunis factum monet idem, hic autem contra Plutarchi mentem. Mavult in principio ita expleri: ȣ̓κ εἶπε τȣ̃το ποιεῖν μὴ δύνασϑαι, ἅτε πρὸς τὴν. &c. in rell. vulgatam probans, & vertens: *Ergo maris craſſities non in cauſis ponitur ab Ariſtotele, quibus mare ad lavandum non valeat; quippe craſſities adjunctam habet acrimoniam; quae meatibus reſerandis ſordes ſecum aufert.* R. pro ȣ̓ καλῶς legi voluit ȣ̓ κακῶς, *non male affirmavit Ariſtoteles.* Pro ἀνοίγȣσα Turn. V. ἀνοιγνῦσα.

2 Ald. Baſ. nec non codd. ψύξις, quod, monente W. non repudiandum erat. Addit idem, in vulgato Anon. conſentire cum Steph. E V. notatur ἀνάψυξις καὶ ξήρανσις.

3 W. legendum monet δεῖ δή. Baſ. deinde ὑγρὸν τῷ * ὡς συνδιελϑεῖν.

τῷ ῥύπῳ ταχέως συνεξελθεῖν, ὥσπερ τῷ νοσήματι τὸν ἐλλέβορον. τὸ μὲν οὖν γλυκὺ ῥᾳδίως ὁ ἥλιος ἐξάγει διὰ κουφότητα· τὸ δὲ ἁλμυρὸν ἐνισχόμενον τοῖς πόροις διὰ τραχύτητα δυσεξήραντόν ἐστι.

IV. Καὶ ὁ Θέων ὑπολαβών· Οὐδὲν (ἔφη) λέγεις· Ἀριστοτέλης γὰρ ἐν τῷ αὐτῷ βιβλίῳ φησὶ, τοὺς ἐν θαλάττῃ λουσαμένους τάχιον ἀποξηραίνεσθαι τῶν γλυκέσι [1] χρησαμένων, ἂν ἐν ἡλίῳ στῶσι. Λέγει γάρ· (εἶπον) ἀλλ᾽ ᾤμην σε μᾶλλον Ὁμήρῳ τἀναντία λέγοντι [2] πιστεύσειν. ὁ γὰρ Ὀδυσσεὺς μετὰ τὸ ναυάγιον ἐντυγχάνει τῇ Ναυσικάᾳ

Σμερδαλέος ὀφθῆναι, κεκακωμένος ἅλμῃ·

καὶ πρὸς τὰς θεραπαινίδας φησίν·

Ἀμφίπολοι, στῆθ᾽ οὕτω ἀπόπροθεν, ὄφρ᾽ ἐγὼ αὐτὸς
Ἅλμην ὤμοιιν ἀπολέσομαι. —

καταβὰς δ᾽ εἰς τὸν ποταμὸν,

Ἐκ κεφαλῆς ἔσμηχεν ἁλὸς χνόον·

ὑπερφυῶς τοῦ ποιητοῦ το γινόμενον συνεωρακότος. ὅταν γὰρ ἐκ τῆς θαλάττης ἀναδύντες ἐν τῷ ἡλίῳ στῶσι, τὸ λεπτότατον καὶ κουφότατον τῆς ὑγρασίας ἡ θερμότης διεφόρησε· τὸ δὲ ἁλμυρὸν αὐτὸ καὶ τραχὺ καταλειφθὲν ἐφίσταται, καὶ παραμένει τοῖς σώμασιν ἁλώδης ἐπίπαγος, μέχρι ἂν αὐτὸ [3] ποτίμῳ καὶ γλυκεῖ κατακλύσωσιν.

QUAE-

1 Ald. Bas. τῶν γλυκείων χρησαμένων.

2 Odyss. VI, 137. 218. 226.

3 R. mavult αὐτὸν, ut redeat ad proximum ἐπίπαγον.

## QUAESTIO X.

### Quare Athenis chorus Aeantidis (five Ajaceae) tribus nunquam ultimo loco ponatur [1]?

Ἐν δὲ τοῖς Σεραπίωνος [2] ἐπινικίοις, ὅτε τῇ Λεοντίδι φυλῇ τὸν χορὸν διατάξας ἐνίκησεν, ἑστιωμένοις ἡμῖν, ἅτε δὴ καὶ φυλέταις οὖσι δημοποιήτοις [3], οἰκεῖοι λόγοι τῆς ἐν χερσὶ φιλοτιμίας παρῆσαν. εἶχε γὰρ ὁ ἀγὼν ἐντονωτάτην ἅμιλλαν, ἀγωνοθετοῦντος ἐνδόξως, καὶ μεγαλοπρεπῶς Φιλοπάππου τοῦ βασιλέως [4] ταῖς φυλαῖς ὁμοῦ πάσαις χορηγοῦντος. ἐτύγχανε δὲ συνεστιώμενος ἡμῖν, καὶ τῶν παλαιῶν τὰ μὲν λέγων, τὰ δ' ἀκούων, διὰ φιλανθρωπίαν οὐχ ἧττον, ἢ φιλομάθειαν.

II. Προεβλήθη δέ τι τοιοῦτον ὑπὸ Μάρκου τοῦ γραμματικοῦ. Νεάνθη τὸν Κυζικηνὸν [5] ἔφη λέγειν ἐν τοῖς κατὰ πόλιν μυθικοῖς, ὅτι τῇ Αἰαντίδι φυλῇ γέρας ὑπῆρχε τὸ μὴ κρίνεσθαι τὸν αὐτῆς χορὸν [6] ἔσχατον· ὁ μὲν (ἔφη)

1 Perfonae colloquii funt Philopappus, Marcus, Milo, Glaucias, Plutarchus, alii.

2 Eundem fignificari fufp. Kaltw. cujus in lib. de EI apud Delph. fit mentio Vol. IX. p. 215.

3 Baf. δημοποιήτως, quod R. probat.

4 Xyl. haec ita vertit: fplendide ac magnifice praemia difponente Philopappo, Imperatore autem omnibus tribubus ex aequo fumtus praebente. In eandem fententiam Corfinum voce βασιλέως Hadrianum Imp. intelligendum cenfere in vita Plutarchi p. XII, notat R. Hoc ipfo R. judice, βασιλεὺς unus & idem eft h. l. cum ἀγωνοθέτης & χορηγός. Kaltw. autem alterum Archontum Athenienfium, Regem dici folitum, fignificari cenfet, utpote cujus fuerit, facris rebus praeeffe, & quae ad fefta celebranda pertinerent, curare. Philopappum autem eundem vult effe, qui in lib. de difcrim. am. & adul. (Vol. VII. p. 157.) memoretur. W. intelligit Regem Syriae Comagenae, Antiochum Philopappum.

5 Neanthes Cyzicenus orator, cujus varia opera periere. Vid. Voff. de hift Gr. p. 98.

6 Ald. Baf. τὸν * χορὸν. Xyl. αὐτῆς inferendum monuit, dedit-

(ἔφη) πρὸς ἀπόδειξιν ἱστορίας ἀναφέρει· εἰ δὲ τοῦτο γοῦν νοθεύει, προκείσθω τῆς αἰτίας ἐν κοινῷ πᾶσιν ἡ ζήτησις. εἰπόντος δὲ τοῦ ἑταίρου Μίλωνος· Ἂν οὖν ψεῦδος ᾖ τὸ λεγόμενον; Οὐδὲν (ἔφη) δεινὸν, ὁ Φιλόπαππος, εἰ ταὐτὸ πεισόμεθα Δημοκρίτῳ τῷ σοφῷ διὰ φιλολογίαν. καὶ γὰρ ἐκεῖνος (ὡς ἔοικε) τρώγων σίκυον, ὡς ἐφάνη μελιτώδης ὁ χυμὸς, ἠρώτησε τὴν διακονοῦσαν, ὁπόθεν πρίαιτο· τῆς δὲ κῆπόν τινα φραζούσης, ἐκέλευσεν ἐξαναστὰς ἡγεῖσθαι καὶ δεικνύναι τὸν τόπον· θαυμάζοντος δὲ τοῦ γυναίου, καὶ πυνθανομένου, τί βούλεται· Τὴν αἰτίαν (ἔφη) δεῖ με τῆς γλυκύτητος εὑρεῖν· εὑρήσω δὲ τοῦ χωρίου γενόμενος θεατής· Κατάκεισο δὴ [1], τὸ γύναιον εἶπε μειδιῶν, ἐγὼ γὰρ ἀγνοήσασα τὸ σίκυον [2] εἰς ἀγγεῖον ἐθέμην μεμελιτωμένον· ὁ δὲ ὥσπερ ἀχθεσθείς· Ἀπέκναισας, (εἶπε) καὶ οὐδὲν ἧττον ἐπιθήσομαι τῷ λόγῳ, καὶ ζητήσω τὴν αἰτίαν, ὡς ἂν οἰκείου καὶ συγγενοῦς οὔσης τῷ σικύῳ τῆς γλυκύτητος. ἐκοῦν μηδὲ ἡμεῖς τὴν Νεάνθους ἐν ἐνίοις εὐχέρειαν ἀποδράσεως ποιησόμεθα πρόφασιν· ἐγγυμνάσασθαι γὰρ, εἰ μηδὲν ἄλλο χρήσιμον, ὁ λόγος παρέξει·



deditque Steph. In ſeqq. Ald & Baſ. conſentientibus codd. ita: *ἔσχατον μὲν * οὖν ἔφη προ * ξιν ἱστορίας ὁ ἀνα * εἰ δὲ τοῦτο γοῦν νοθεύει.* H. Steph. teſte, legitur quoque, & exhibetur e V. *ὁ μὲν οὖν ἔφη πρὸς ἔνδειξιν ἱστορίας τοῦτο ἀναφέρει. εἰ δὲ τοῦτό γε οὐ νοθεύει.* Ita ex parte locum correctiorem Steph. dedit. — R. autem ſuſp. *ὁ μὲν οὖν, ἔφη, πρὸς ἐπίδειξιν* (vel *ἔνδειξιν*) *ἱστορίας ἀναφέρει* — *Neanthes hoc poſuit, ut ſuam vetuſtae hiſtoriae peritiam monſtraret* — *εἰ δὲ τοῦτό γ' οὐ νοθεύει.* W. locum ita vult reſtitui: *ἔσχατον· οὐ μὴν, ἔφη, πρὸς ἀπόδειξιν ἱστορίας ἀναφέρει· εἰ δὴ τούτῳ γ' οὐ νοθεύετε* — *neque tamen, inquit, hoc dictum confirmat hiſtorica auctoritate: quare ſi illud propterea non ut falſum repudiatis, propoſita ſit.* &c.

1 Sic R. legendum monuit, dedique cum W. idem ex Vatic. & Palat. ſumente pro vulg. *δὲ*.

2 Vulgo *τὸν σίκυον*. Revocavi *τὸ* cum W. ex Ald. Baſ. Xyl.

III. Πάντες ἐν ὁμαλῶς ἐῤῥύηταν πρὸς τὸ τὴν Φυλὴν [1] ἐγκωμιάζειν, εἴ τι καλὸν πρὸς δόξαν αὐτῇ ὑπῆρχεν ἀναλεγόμενοι. καὶ γὰρ ὁ Μαραθὼν εἰς μέσον εἵλκετο, δῆμος [2] ὢν ἐκείνης τῆς Φυλῆς· καὶ τὰς περὶ Ἁρμόδιον [3] Αἰαντίδας ἀπέφαινον, Ἀφιδναίες γε δὴ τῶν δήμων [4] γεγονότας. Γλαυκίας δὲ, ὁ ῥήτωρ, καὶ τὸ δεξιὸν κέρας Αἰαντίδαις τῆς ἐν Μαραθῶνι παρατάξεως ἀποδοθῆναι ταῖς Αἰσχύλε εἰς τὴν μεθορίαν ἐλεγείαις ἐπιςὲτο [5], ἠγωνισμένε τὴν μάχην ἐκείνην ἐπιφανῶς· ἔτι δὲ καὶ Καλλίμαχον ἀπεδείκνυε τὸν πολέμαρχον [6] ἐξ ἐκείνης ὄντα τῆς Φυλῆς, ὃς αὐτόν τε παρέσχεν ἄριστον ἄνδρα, καὶ τῆς μάχης μετά γε Μιλτιάδην αἰτιώτατος κατέστη, σύμψηφος ἐκείνῳ [7] γενόμενος. ἐγὼ δὲ τῷ Γλαυκία

1 In Ald. & Baſ. fuit φυλακήν. Xyl. correxit.

2 Singulae tribus Atticae dividebantur in partes, δήμες dici ſolitas, *Gaue*, *Kantons*. Kaltw.

3 Harmodius cum Ariſtogitone liberavit Athenas a tyrannide Piſiſtratidarum.

4 Vulgo Ἀφνιδαίες γε δὴ τὸν δῆμον. Cum W. dedi Ἀφιδναίες e Baſ. & Xyl. conſentientibus Leonic. Schott. Anon. nec non τῶν δήμων ex Ald. Baſ. E. H. Venet. Flor. Palat. Vatic. A Xyl. & Steph. invectum fuit τὸν δῆμον.

5 Ald. Baſ. ταῖς Αἰσχύλε τὴν μεθορίαν ἐλεγείαις πιςὲμενος. Xyl. legendum cenſuit Αἰσχύλε μετὰ τὴν ἐξορίαν, ut citentur elegiae ab Aeſchylo, cum jam ſolum vertiſſet, & Athenis relictis, in Siciliam ad Hieronem ſe contuliſſet, ſcriptae. Steph. addidit εἰς, & dedit ἐπιςὲτο pro πιςὲμενος, in neutro aſſentientibus codd. W. Amiotus vertit in hunc ſenſum, elegiis in laudem hujus regionis factis. R. legi vult τοῖς & ἐλεγείοις, addens, ſi bene haberet Μεθερία νῆσος apud Stephanum Byzantinum, credendum videri, Μεθερίαν hic leg. eſſe, & ſignificari inſulam inter Atticam & Aeginam ſitam. Kaltw. voces εἰς τὴν μεθορίαν vitioſe datas fuiſſe ſuſpicatur pro εἰς τὰς ἐν Μαραθῶνι τεθνηκότας. W. denique μεθορίαν ab ipſo Aeſchylo pro μετοικίαν uſurpatam eſſe putat, in titulo elegiae factae in *Exilium* Sicilienſe ſuum.

6 tertius fuit Archontum Athenienſium, cui res bellicae erant curae. Cf. Herodot. VI, 9. Kaltw.

7 Ald. Baſ. ἐκείνοις. Xyl. correxit.

ὑἶα προσετίθην, ὅτι καὶ τὸ ψήφισμα, καθ' ὃ τὰς Ἀθηναίους ἐξήγαγε, τῆς Αἰαντίδος φυλῆς πρυτανευούσης γραφείη, καὶ ὅτι περὶ τὴν ἐν Πλαταιαῖς μάχην εὐδοκιμήσειεν ἡ φυλὴ μάλιστα· διὸ καὶ ταῖς Σφραγίτισι [1] Νύμφαις τὴν ἐπινίκιον καὶ πυθόχρηστον ἀπῆγον Αἰαντίδαι θυσίαν εἰς Κιθαιρῶνα, τῆς πόλεως τὸ ἱερεῖον καὶ τὰ ἄλλα παρεχούσης αὐτοῖς. ἀλλ' ὁρᾷς, (ἔφην) ὅτι πολλὰ καὶ ταῖς ἄλλαις φυλαῖς ὑπάρχει, καὶ πρώτην γε τὴν ἐμὴν ἴσε δὴ, τὴν Λεοντίδα, μηδεμιᾷ δόξης [2] ὑφιεμένην. σκοπεῖτε δὲ δὴ, μὴ πιθανώτερον λέγεται τὸ, παραμύθιον [3] τοῦ ἐπωνύμου τῆς φυλῆς καὶ παραίτησιν εἶναι τὸ γινόμενον· οὐ γὰρ εὔκολος ἐνεγκεῖν ἧτταν ὁ Τελαμώνιος, ἀλλ' οἷος ἀφειδεῖν πάντων ὑπ' ὀργῆς καὶ φιλονεικίας· ἵνα οὖν μὴ χαλεπὸς ᾖ, μηδ' ἀπαραμύθητος, ἔδοξε τῆς ἥττης ἀφελεῖν τὸ δυσχερέστατον, εἰς τὴν ἐσχάτην χώραν μηδέποτε τὴν φυλὴν αὐτοῦ καταβαλόντας.

1 Vulgo Σφαγίτισι. Xyl. corrigendum monuit Σφραγ. deinque e Plut. Arist. Vol. II. p. 356. & 369. probante W. *Sphragidium* antrum Nympharum in vertice montis Cithaeronis in Boeotia, teste Pausania, IX, 3.

2 Vulgo μηδεμιᾷ δόξῃ. R. voluit aut μηδεμιᾶς aut δόξης. Turn. & V. μηδεμιᾶς δόξης. Dedi δόξης cum W. Consentit Mez.

3 Vulgo λέγεται τὸ παραμ. R. voluit λέγηται παραμυθίαν, aut λέγηται πρὸς παραμυθίαν. Dando comma post τὸ secutus sum W.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ
## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

---

### PROOEMIUM.

Τῶν εἰς τὰ δεῖπνα καὶ τὰ συμπόσια παρασκευαζομένων, ὦ Σόσσιε Σενεκίων, τὰ μὲν ἀναγκαίαν ἔχει τάξιν, ὥσπερ οἶνος καὶ σιτία καὶ ὄψα, καὶ στρωμναὶ δηλαδὴ καὶ τράπεζαι· τὰ δ' ἐπεισόδια γέγονεν ἡδονῆς ἕνεκεν, χρείας μὴ συναγομένης [1], ὥσπερ ἀκροάματα καὶ θεάματα, καὶ γελωτοποιός τις ἐκ Καλλία Φίλιππος [2]. οἷς παροῦσι μὲν ἥδονται, μὴ παρόντα δ' οὐ πάνυ ποθοῦσιν, οὐδ' αἰτιῶνται τὴν συνουσίαν ὡς ἐνδεέστερον ἔχουσαν. οὕτω δὴ καὶ τῶν λόγων τοὺς μὲν ἐπὶ χρείᾳ τῇ περὶ τὰ συμπόσια περιλαμβάνουσιν [3] οἱ μέτριοι, τοὺς δ' ἄλλους δέχονται θεωρίαν πιθανὴν, καὶ τῷ καιρῷ μᾶλλον αὐλοῦ καὶ βαρβίτου πρέπουσαν, ἔχοντας. ὧν καὶ τὸ πρῶτον ἡμῖν βιβλίον εἶχε μεμιγμένα δείγματα· τοῦ μὲν προτέρου γένους τὸ περὶ τοῦ φιλοσοφεῖν παρὰ πότον, καὶ περὶ τοῦ διανέμειν αὐτὸν, ἢ τοῖς δειπνοῦσιν ἐφιέναι τὰς κλίσεις· τὰ τοιαῦτα τοῦ δευτέρου [4] περὶ τοῦ τοὺς ἐρῶντας ποιη-

1 R. mavult ἡδονῆς ἕνεκα, μὴ χρείας, συναγόμενα. W. probat.

2 Xyl. se non assequi fatetur, quid velint voces ἐκ Κ. Φ. R. cum Salmas. ἐν Καλλίου legi vult, in *aedibus Calliae*, ubi convivium Socraticum Xenophontis agebatur, in quo prodiit & partes nonnullas egit ille Philippus histrio. W. tuetur vulgatum ut sanum & exquisite dictum pro ἐν Καλλίου, quod habent E. & H.

3 Praestat, W. judice, παραλαμβάνουσιν, quod Mez. & R. voluerunt.

4 Ald. Bas. adsentientibus codd. κλίσεις * αὐτὰ τοῦ δευτέρου. V. τὰς κλίσεις. αὐτὰ δὲ, vel τοιαῦτα δέ. R. susp. τὰς κλίσεις

ποιητικὰς εἶναι, καὶ περὶ [1] τῆς Αἰαντίδος Φυλῆς· καλῶ δῆτα καὶ αὐτὸς τὰ συμποτικά· τὰ δ' ἑκάτερα, κοινῶς συμποσιακά [2]. σποράδην δ' ἀναγέγραπται, καὶ οὐ διακεκριμένως, ἀλλ' ὡς ἕκαστον εἰς μνήμην ἦλθεν. οὐ δεῖ δὲ θαυμάζειν τοὺς ἀναγινώσκοντας, εἴ σοι προσφωνοῦντες, τινὰ τῶν προῤῥηθέντων ὑπὸ [3] σοῦ συνηγάγομεν· καὶ γὰρ ἂν αἱ μαθήσεις ἀναμνήσεις μὴ ποιῶσι [4], πολλάκις εἰς ταὐτὸ τῷ μανθάνειν τὸ ἀναμιμνήσκεσθαι καθίστησι.

## QUAESTIO I.

Quae sint res, de quibus interrogari, quae dicteria, quibus peti, libenter nos volumus in convivio secundum sententiam Xenophontis: quae non item [5]?

Δέκα δὲ προβλημάτων εἰς ἕκαστον νενεμημένων βιβλίον [6], ἐν τούτῳ πρῶτόν ἐστιν, ὃ [7] τρόπον τινὰ Ξενο-



σας καὶ ἄλλ' ἄττα τοιαῦτα, τοῦ δὲ δευτέρου, τὸ περὶ. Sic fere quoque Salmas. in eo tantum dissentiens, quod καὶ τὰ τοιαῦτα legat. W. corrigendum putat κλίσεις· τὰ δ' αὖ τοῦ δευτέρου. Vulgata est Stephani lectio, a Turnebo profecta.

1 R. mavult καὶ τὸ περὶ.

2 Ald. Bas. cum codd. mutilate locum exhibent: φυλῆς * καλῶ δῆτα καὶ * τὰ συμποτικὰ, τάδ' * τέρα κοινῶς συμπ. R. susp. καλῶ δῆτα καὶ αὐτὰ ἀκριβῶς συμποτικὰ, cum opponatur sequenti κοινῶς συμπ. & deinde ἕτερα pro ἑκάτερα. W. corrigi vult: τὰ γοῦν πρῶτα καλῶ δῆτα καὶ αὐτὸς συμποτικά· τὰ δὲ δεύτερα κοινῶς συμπ. Vulgata iterum est Stephani lectio a Turn. profecta.

3 Vulgo προῤῥηθέντων, ἢ ὑπὸ σοῦ. Hinc R. voluit τῶν ῥηθέντων, ἢ πραχθέντων, ὑπό σου. Secutus sum W. qui cum Mez. & versionibus Amiot. & Xyl. delevit ἢ, haud dubie ortum ex antecedenti ν.

4 R. legi vult ὦσι — *etiamsi discere non idem sit, atque reminisci.* Consentit Mez. at W. mavult πάντως ὦσι.

5 Personae colloquii Sossius Senecio, Plutarchus.

6 Ald. Bas. βιβλίων.

7 Vulgo ὃν. Cum W. revocavi ὃ ex Ald. Bas. Xyl.

Ξενοφῶν ὁ Σωκρατικὸς ἡμῖν παραβέβληκε [1]. τὸν γὰρ Γωβρύαν φησὶ [2] συνδειπνοῦντα τῷ Κύρῳ, τά τ' ἄλλα θαυμάζειν τῶν Περσῶν, καὶ ὅτι τοιαῦτα μὲν ἀλλήλους ἐπηρώτων, οἷα [3] ἥδιον ἦν ἐρωτηθῆναι, ἢ μή, καὶ ὡς ἔσκωπτον, οἷα σκωφθῆναι ἥδιον ἦν, ἢ μή [4]. εἰ γὰρ ἐπαινοῦντες ἕτεροι πολλάκις, καὶ προσίσανται [5], πῶς οὐκ ἄξιον ἦν ἄγασθαι τὴν εὐτραπελίαν ἐκείνων καὶ τὴν σύνεσιν, ὧν καὶ τὰ σκώμματα τοῖς σκωπτομένοις ἡδονὴν καὶ χάριν παρεῖχε; δεχόμενος οὖν ἡμᾶς ἐν Πάτραις [6], ἡδέως ἄν, ἔφης [7], πυθέσθαι, τὰ τοιαῦτα ἐρωτήματα ποῖα γένους εἴη, καὶ τίς αὐτῶν τύπος. Οὐ γάρ τι μικρὸν (ἔφης) τῆς ὁμιλητικῆς μόριον, ἡ περὶ τὰς ἐρωτήσεις καὶ τὰς παιδιὰς τοῦ ἐμμελοῦς ἐπιστήμη καὶ τήρησις.

II. Μέγα μὲν οὖν· (ἔφην ἐγὼ) ἀλλ' ὅρα, μὴ καὶ αὐτὸς ὁ Ξενοφῶν ἔν τε τῷ Σωκρατικῷ καὶ τοῖς Περσικοῖς ἐπιδείκνυσι συμποσίοις τὸ γένος. εἰ δὲ δοκεῖ καὶ ἡμᾶς ἐπιθέσθαι τινὶ λόγῳ, πρῶτον ἡδέως ἐρωτᾶσθαί μοι δοκοῦσιν, ἃ ῥᾳδίως ἀποκρίνασθαι δύνανται· ταῦτα δ' ἐστιν, ὧν ἐμπειρίαν ἔχουσιν. ἃ γὰρ ἀγνοοῦσιν, ἢ μὴ [8] λέγοντες ἄχθονται, καθάπερ αἰτηθέντες, ὃ οὐ δύναι μὴ δύναν-

1 W. cum Mez. mavult προβέβληκε.

2 Xenoph. Cyrop. V, 2. §. 18. ed. Zeun.

3 Ald. Baf. ἃ.

4 Ald. Baf. mutilate fic dant: ἐρωτηθῆναι ἢ μὴ * σκωφθῆναι καὶ * εἰ γὰρ ἐπ. Xyl. correxit.

5 Vulgo προΐσανται. Dedi προσίσανται, R. jubente, e Baf. cum W. — *graves fiunt, offendunt, laudando.*

6 Cum W. revocavi ἐν Πάτραις ex Ald. Baf. Xyl. adfentientibus E. H. Palat. Vat. pro vulg. Σώπρατος, quod Steph. ex Amioto dedit. Unus Venet. ἐν Πέτρᾳ.

7 Et hoc loco & deinde dedi ἔφης pro vulg. ἔφη & ἔφησε, W. monente & vertente. Xyl. pro ἔφησε maluit ἔφη γε.

8 Sic Steph. & Salmaf. corrigendum monuerunt, & enotatur e Turn. & V. dedique cum W. accedentibus Jannot. Pol. Anon. Mez. Vulgo ἀγνοοῦσιν οἱ μὴ λέγ.

νανται, ἢ λέγοντες ἀπὸ δόξης καὶ εἰκασίας ὁ βεβαίου [1], διαταράσσονται καὶ κινδυνεύουσιν [2]. ἂν δὲ μὴ μόνον ἔχῃ τὸ ῥᾴδιον, ἀλλὰ καὶ περιττὸν [3] ἡ ἀπόκρισις, ἥδιων ἐστὶ τῷ ἀποκρινομένῳ. περιτταὶ δ' εἰσὶν αἱ τῶν [4] ἐπισαμένων, ἃ μὴ πολλοὶ γινώσκουσιν, μηδ' ἀκηκόασιν· οἷον ἀστρολογικῶν, διαλεκτικῶν, ἄνπερ ἕξιν ἐν αὐτοῖς ἔχωσιν. ὁ γὰρ πράττων μόνον ἕκαστος, ὁδὲ διημερεύων, (ὡς Εὐριπίδης φησὶν) ἀλλὰ καὶ διαλεγόμενος,

Ἵν' αὐτὸς αὐτοῦ τυγχάνει κράτιστος ὤν [5],

ἡδέως διατίθεται· καὶ χαίρουσι τοῖς ἐρωτῶσιν, ἃ γινώσκοντες [6] ἀγνοεῖσθαι καὶ λανθάνειν ὁ θέλουσι. διὸ καὶ περὶ χώρας ἀποίκου, καὶ ξένης θαλάττης, ἐθῶν τε βαρβαρικῶν καὶ νόμων, οἱ πεπλανημένοι καὶ πεπλευκότες ἥδιον ἐρωτῶνται· καὶ προθύμως διηγοῦνται, καὶ διαγράφουσι κόλπους καὶ τόπους, οἰόμενοι, καὶ χάριν τινὰ τῶν

D 5 πόνων

1 Ald. Baf. ἀποδείξεις καὶ ἐγκρασίας ὁ βεβαίου. Xyl. dubius, quid fint ἐγκρασίαι cum demonftrationibus, legendum fufp. ἐγκαρσίας καὶ ὁ βεβαίους, ut vocentur ἐγκάρσιαι ἀποδείξεις ratiocinationes non propriae, vernaculae & domefticae: fed logicae, vagantes & alienae, ideoque obliquae. Steph. ita recepit, (quamvis ἀποδείξεις ἐγκαρσίας fufpecta effe poffe notet:) Lectio haec in rell. tranfilt. Dando, quae nunc leguntur, fecutus fum W. qui locum ita e codd. conftituit. E. H. Vatic. ἀπὸ δόξης καὶ ἐγκρασίας ὁ βεβαίου; Palat. ἀποδείξεις καὶ εἰκασίας ὁ βεβαίου.

2 W. legi vult vel κυμαίνουσιν, vel δαμαίνουσιν.

3 R. mavult ἀλλὰ καὶ τὸ περιττόν.

4 Vulgo περιττὴ δ' ἐστιν, αὐτῶν ἐπισ. Baf. Ald. περιττοὶ δ' εἰσὶν αὐτῶν, unde efficiendum monuit R. quod dedi. W. dedit περιττοὶ δ' εἰσὶν αἱ τῶν, hac adnotatione fubjecta: ,,Sumfi ex E. H. Vatic. Περιττοὶ δ' εἰσὶν item, fed αὐτῶν, habent Venet. Palat. Ald. Baf. Xyl. Stephanus dedit περιττὴ δ' ἐστιν αὐτῶν. Librorum confenfu retinui περιττοὶ quum confuetudo Plutarchi & omnino ratio recepta potius περιτταὶ defiderent, ut Exempl. Turneb. habet.“

5 Secutus fum W. dando ἵν' pro vulg. ἵνα, verfumque cum Xyl. diftinguendo.

6 R. mavult ἃ γινώσκουσιν: praeter neceffitatem, me judice.

πόνων ταύτην καὶ παραμυθίαν κομίζεσθαι. καθόλου δὲ, ὅσα, μηδενὸς ἐρωτῶντος, αὐτοὶ διηγεῖσθαι καὶ λέγειν ἀφ' ἑαυτῶν εἰώθαμεν, ἥδιον ἐρωτώμεθα, χαρίζεσθαι τούτοις δοκοῦντες, ὧν ἔργον ἦν ἐνοχλουμένων ἀποσχέσθαι. καὶ τοῦτο μὲν ἐν τοῖς πλωτικοῖς μάλιστα φύεται τὸ γένος τοῦ νοσήματος· οἱ δὲ κομψότεροι ταῦτα [1] ἐρωτᾶσθαι θέλουσιν, ἃ βουλόμενοι λέγειν αἰδοῦνται, καὶ φείδονται τῶν παρόντων· οἷον [2] ὅσα τυγχάνουσιν αὐτοὶ διαπεπραγμένοι καὶ κατωρθωκότες. ὀρθῶς οὖν ὁ Νέστωρ, τὴν φιλοτιμίαν τοῦ Ὀδυσσέως ἐπιστάμενος·

Εἴπ' ἄγ' ἐμ', ὦ πολύαιν' Ὀδυσεῦ, [φησὶ] μέγα
κῦδος Ἀχαιῶν,

Πῶς δὴ τούσδ' ἵππους λάβετον [3] —.

ἄχθονται γὰρ τοῖς αὐτοὺς ἐπαινοῦσι, καὶ τὰς ἑαυτῶν εὐτυχίας διεξιοῦσιν, ἂν μὴ κελεύσῃ ἄλλος τις τῶν παρόντων, καὶ ἀναγκαζόμενοι [4] λέγωσι. ἡδέως γοῦν ἐρωτῶνται περὶ πρεσβειῶν καὶ περὶ πολιτειῶν, εἰ μέγα τι καὶ λαμπρὸν εἰργασμένοι τυγχάνουσιν. ὅθεν ἥκιστα περὶ τούτων οἱ [5] φθονεροὶ καὶ κακοήθεις ἐρωτῶσι, καὶ ἄλλως γε [6] τὰ τοιαῦτα διακρούονται [7] καὶ παρατρέπουσι, χώραν τῇ

1 Ald. Bas. τοῦτο. Xyl. correxit.

2 Secutus sum W. qui addidit οἷον e Palat. quod vulgo abest.

3 Iliad. X, 544.

4 Ald. Bas. omnibus rell. libris consentientibus, mutilate locum exhibent: τῶν παρόντων * ζόμενοι λέγωσιν * γοῦν ἐρωτῶνται * πρεσβείων καὶ * πολιτειῶν * μέγα. Hinc Xyl. & Steph. sensum loci e Macrob. Saturn. 7, 2. 3. petendum monent. Vulgatam dando Steph. secutus est Turnebum. Ante ἀναγκ. R. inserendum notat καθάπερ, W. ὥσπερ.

5 Pro οἱ Ald. & Bas. dant ὡς.

6 Ald. Bas. rell. libris consentientibus καὶ ἄλλο * ται τὰ τοιαῦτα. Steph. vulgatam dedit e Turn. — Mavult R. ἄν πως δύνωνται τὰ τοιαῦτα.

7 Ald. Bas. δακρύονται. Xyl. corrigendum monuit in διακρούονται, deditque Steph. e Turnebo. Consentit Palat. libris rell. δακρίονται exhibentibus.

τῇ διηγήσει μὴ διδόντες, μηδὲ βȣλόμενοι λόγȣ τὸν λέγοντα κοσμȣ̃ντος ἀφορμὰς προέσθαι· καὶ ταῦτα ȣ̃ν ἐρωτῶντες χαρίζεσθαι [1] τοῖς ἀποκρινομένοις, ἃ τȣ̀ς ἐχθρȣ̀ς καὶ δυσμενεῖς αἴσθάνονται μὴ βȣλομένȣς ἀκȣ́ειν.

III. Καὶ μὴν ὅ γε Ὀδυσσεὺς τῷ Ἀλκινόῳ [2].

Σοὶ δ' ἐμὰ κήδεα θυμὸς ἐπετράπετο σονόεντα

Εἴρεσθαι, ὄφρ' ἔτι μᾶλλον ὀδυρόμενος σεναχίζω.

καὶ πρὸς τὸν χορὸν ὁ Οἰδίπȣς·

Δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακὸν, ὦ ξεῖνε, ἐπεγείρειν [3].

ὁ δ' Εὐριπίδης τȣ̓ναντίον, ὡς

Ἡδύ τι τὸν [4] σωθέντα μεμνῆσθαι πόνων,

ἀλλὰ ȣ̓ τοῖς ἔτι πλανωμένοις καὶ κακὰ [5] φέρȣσι. τῶν ȣ̃ν κακῶν φυλακτέον ἐστὶ τὰς ἐρωτήσεις· ἀνιῶνται γὰρ διηγȣ́μενοι καταδίκας αὐτῶν, ἢ ταφὰς παίδων, ἤ τινας κατὰ γῆν ἐκ εὐτυχεῖς ἢ κατὰ θάλατταν, ἐμπορίας. τὸ δὲ πῶς εὐημέρησαν [6] ἐπὶ βήματος, ἢ προσηγορεύθησαν ὑπὸ τȣ̃ βασιλέως, ἢ, τῶν ἄλλων περιπεσόντων χειμῶσιν ἢ λῃσαῖς, αὐτοὶ διέφυγον τὸν κίνδυνον, ἡδέως ἐρωτῶνται πολλάκις [7], καὶ τρόπον τινὰ τῷ λόγῳ τȣ̃ πράγματος ἀπολαύοντες, ἀπλήσως ἔχȣσι τȣ̃ διηγεῖσθαι καὶ μνη-

1 R. deesse susp. δοκȣ̃μεν. Praestat χαρίζονται, quod W. cum Mez. legendum monet.

2 Odyss. IX, 12. 13. Ald. Bas. ἐπετέτραπτο.

3 Ald. Bas. & rell. libri ὦ ξεῖνε * γεῖρειν * ὁ δ' Εὐριπίδης τȣ̓ναντίον ὡς ἡδὺ * πόνων * οὐ τοῖς ἔτι. &c. Steph. & Xyl. locum e Tragicis ipsis supplerunt. Monuerat idem Turn. in Exemplo suo & P. Victorius ad Aristot. Rhet. I. p. 174. notante W. In loco Sophocleo notandum, chorum ad Oedipum Colon. v. 510. ita loqui, non Oedipum ad Chorum, ut verba sonant Plutarchi. Kaltw.

4 R. voluit ὡς ἡδὺ τὸν σωθέντα.

5 Pro καὶ κακὰ Ald. Bas. καινάς.

6 Sic in R. fuit, quod W. e Xyl. & H. sumsit pro vulg. εὐημέρισαν.

7 Comma ante πολλάκις retrahendum monuit R.

μνημονεύειν. χαίρουσι δὲ καὶ περὶ φίλων εὐτυχέντων ἐρωτώμενοι, καὶ περὶ παίδων προκοπτόντων ἐν μαθήμασι, συνηγορίαις, ἢ φιλίαις βασιλέων. ἐχθρῶν δὲ καὶ δυσμενῶν ὀνείδη καὶ βλάβας, καὶ καταδίκας ἐξελεγχθέντων καὶ σφαλέντων, ἥδιον ἐρωτώμενοι καὶ προθυμότερον ἐξαγγέλλουσιν· αὐτοὶ δ' ἀφ' αὐτῶν ὀκνοῦσι, φυλαττόμενοι δόξαν ἐπιχαιρεκακίας. ἥδιον δὲ καὶ περὶ κυνῶν ἄνδρα θηρευτὴν [1] ἐρωτᾷν, καὶ φιλαθλητὴν περὶ γυμνικῶν ἀγώνων, καὶ περὶ καλῶν ἐρωτικόν. ὁ δ' εὐσεβὴς καὶ φιλοθύτης, διηγηματικὸς ὀνείρων, καὶ ὅσα χρησάμενος ἢ φήμαις, ἢ ἱεροῖς, ἢ θεῶν εὐμενείᾳ, κατώρθωσεν, ἡδέως ἂν καὶ περὶ τούτων ἐρωτῷτο ἂν [2]. τοῖς δὲ πρεσβύταις, κἂν μηδὲν ἡ διήγησις ἢ προσήκουσα, πάντως οἱ ἐρωτῶντες χαρίζονται, καὶ κινοῦσι βουλομένους.

Ὦ Νέστορ Νηληϊάδη, σὺ δ' ἀληθὲς ἔνισπε,
Πῶς ἔθαν' Ἀτρείδης; —
Ποῦ Μενέλαος ἔην —
Ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ [3]; —

πολλὰ ἐρωτῶν ἅμα καὶ πολλῶν λόγων ἀφορμὰς προσιέμενος [4], οὐχ, ὥσπερ ἔνιοι, συστέλλοντες εἰς τὸ ἀναγκαῖον αὐτὸ, καὶ συνελαύνοντες τὰς ἀποκρίσεις, ἀφαιροῦνται τῆς γεροντικῆς διατριβῆς τὸ ἥδιστον. ὅλως δὲ οἱ θέλοντες εὐφραίνειν μᾶλλον ἢ λυπεῖν, τοιαύτας ἐρωτήσεις προφέρονται, ὧν ταῖς ἀποκρίσεσιν οὐ ψόγος, ἀλλ' ἔπαινος, οὐδὲ μῖσος ἢ νέμεσις, ἀλλ' εὔνοια καὶ χάρις ἕπεται παρὰ τῶν ἀκουσάντων. ταῦτα μὲν οὖν τὰ περὶ τὰς ἐρωτήσεις.

IV. Σκώμματος δὲ τῷ μὴ δυναμένῳ μετ' εὐλαβείας καὶ τέχνης κατὰ καιρὸν ἅπτεσθαι παντάπασιν ἀφε-

1 Palat. θηρευτικόν.

2 Ald. Bas. ἡδέως καὶ περὶ τούτων ἐρωτῶνται. Pro priori ἂν R. maluit οὖν.

3 Odyss. III, 247. sqq. Post Ἀτρείδης v. 2. addunt Turn. & V. εὐρυκρείων Ἀγαμέμνων, quod est in Hom.

4 R. mavult προϊέμενοι. Habet id Anon.

ἀφεκτέον. ὥσπερ γὰρ τὰς [1] ἐν ὀλισθηρῷ τόπῳ καὶ θίγωσιν ἐκ παραδρομῆς μόνον, ἀνατρέπουσιν, οὕτως ἐν οἴνῳ πρὸς πᾶσαν ἀφορμὴν λόγου μὴ κατὰ σχῆμα γιγνομένην [2] ἐπισφαλῶς ἔχομεν. τοῖς δὲ σκώμμασιν ἔστιν ὅτε μᾶλλον ἢ ταῖς λοιδορίαις ἐκκινούμεθα, τὸ μὲν ὑπ' ὀργῆς πολλάκις ἀβουλήτως ὁρῶντες γινόμενον, τὸ δέ, ὡς [3] οὐκ ἀναγκαῖον, ἀλλ' ἔργον ὕβρεως καὶ κακοηθείας, προβαλλόμενοι· καὶ καθόλου διαλέγεσθαι τοῖς δεινοῖς [4] μᾶλλον, ἢ τοῖς φλυαροῦσι, χαλεπαίνομεν. δῆλον γάρ, ὅτι ὅλως δῆγμά τι προσέσαι αὐτῷ τῷ σκώμματι, λοιδόρημα δέ, ὑβριστικὸν συμβαίνει εἶναι καὶ πεποιημένον ἐκ παρασκευῆς. ὁ γὰρ εἰπὼν ταριχοπώλην, αὐτόθεν ἐλοιδόρησεν· ὁ δὲ φήσας· Μεμνήμεθά σε τῷ βραχίονι απομυττόμενον, ἔσκωψε. καὶ Κικέρων πρὸς Ὀκταούιον, ἐκ Λιβύης εἶναι δοκοῦντα, λέγοντος δ' αὐτοῦ φάσκοντα μὴ ἀκούειν· Καὶ μὴν τετρυπημένον (ἔφη) ἔχεις τὸ οὖς [5]. καὶ Μελάνθιος ὑπὸ τοῦ κωμῳδοποιοῦ καταγελώμενος, ἔφη·

1 Ald. Baſ. ὥσπερ οἱ ἐν ὀλ.

2 W. mavult μὴ ἐν καταστήματι, vel μὴ καταστηματικοὶ γιγνόμενοι.

3 R. delendum cenſet ὡς.

4 Ald. Baſ. quibuscum conſentiunt Xyl. E. H. Venet. Vatic. Palat. ita habent καὶ καθόλου διαλέγεσθαι τοῖς * νοῖς μᾶλλον ἢ τοῖς φλυαροῦσι χαλεπαίνομεν * ὅτι δ' ὅλως τὸ * ματι προσέσται * τὸ σκῶμμα λοιδόρημα δέ * εἶναι καὶ πεποιημένον ἐκ παρασκευῆς. Quae vulgo leguntur, Steph. dedit e Turnebo. V. habet δῆλον δὲ pro δῆλον γάρ, & σχῆμα pro δῆγμα, & poſt εἶναι καὶ inſerit οὐ. R. dari voluit τοῖς διαλέγεσθαι δεινοῖς. W. probabilius ita legendum monet: καὶ καθ' ὅλου τοῖς διαλέγεσθαι δεινοῖς μᾶλλον ἢ τοῖς φλυαροῦσι χαλεπαίνομεν γελῶσιν ἐφ' ἡμῖν· ὅτι δὲ ὅλως τὸ τεχνικὸν καὶ σχῆμά τι πρόσεστι κατὰ τὸ σκῶμμα, λοιδόρημα δὲ ὑβριστικὸν δοκεῖ εἶναι κ. τ. ἑ. π. Vertit idem ita: *& in univerſum irriſi a diſertis magis quam nugantibus ſuccenſemus. Quod autem omnino ſalibus adeſt quaſi ars & figura, hinc fit ut videatur vituperatio petulans eſſe, & factum dedita opera atque cum apparatu.* Notat ſimul σχῆμα ex Exempl. Turn. & Mez.

5 Cf. Plut. Cicer. Vol. V. p. 341.

Φῃ· Οὐκ ὀφειλόμενόν μοι ἀποδίδως ἔρανον. μᾶλλον οὖν τὰ σκώμματα δάκνει, καθάπερ τὰ παρηγκιστρωμένα βέλη [1] πλείονα χρόνον ἐμμένοντα, καὶ λυπεῖ τοὺς σκωφθέντας ἡ τέρψις τῇ κομψότητι, καὶ ἡδύνει τοὺς παρόντας. ἡδόμενοι γὰρ ἐπὶ τῷ λεγομένῳ, πιστεύειν δοκοῦσι τῷ ἐπὶ τῷ διασύρειν λέγοντι. ὀνειδισμὸς γάρ ἐστι τῆς ἁμαρτίας παρεσχηματισμένος τὸ σκῶμμα, κατὰ τὸν Θεόφραστον [2]. ὅθεν ἐξ αὑτοῦ τῇ ὑπονοίᾳ προστίθησιν ὁ ἀκούσας τὸ ἐλλεῖπον, ὡς εἰδὼς καὶ πιστεύων. ὁ γὰρ γελάσας καὶ ἡσθεὶς, τοῦ Θεοκρίτου [3] πρὸς τὸν δοκοῦντα λωποδυτεῖν, ἐρωτῶντα δ' αὐτὸν, εἰ ἐπὶ δεῖπνον βαδίζει, φήσαντος βαδίζειν, ἐκεῖ μέντοι καθεύδειν, βεβαιοῦντι τὴν διαβολὴν ὅμοιός ἐστι. διὸ καὶ προσαναπίμπλησι τοὺς παρόντας ὁ σκώπτων παρὰ μέλος κακοηθείας, ὡς ἐφηδομένους καὶ συνυβριζομένους [4]. ἐν δὲ τῇ καλῇ Λακεδαίμονι τῶν μαθημάτων ἐδόκει, τὸ σκώπτειν ἀλύπως, καὶ σκωπτόμενον φέρειν· εἰ δέ τις ἀπείποι σκωπτόμενος, εὐθὺς ὁ σκώπτων ἐπέπαυτο. πῶς οὖν οὐ χαλεπὸν εὑρεῖν σκῶμμα τῷ σκωπτομένῳ κεχαρισμένον, ὅπου καὶ τὸ μὴ λυποῦν [5] τοῦ σκώμματος, οὐ τῆς τυχούσης ἐμπειρίας καὶ δεξιότητός ἐστιν;

V.

1 Vulgo ex Ald. legitur μέλη. Steph. Salmas. & R. legendum monuerunt βέλη, dedique cum W. ex Bas. & Xy'. Vulgo deinde ex Steph. secundum Ald. post σκωφθέντας fuit punctum. Ipse tamen Steph. interpunctionem post ἐμμένοντα daudam monuit. R. legi voluit σκωφθέντας, ἢ τέρπει τῇ κομψότητι, illo ἢ pertinente ad praecedens μᾶλλον — *magis urunt scommata eos, in quos conjecta fuerint, quam oblectant audientes.* W. autem ita vult corrigi: ἡ τέρψις ἢ τῇ κομψότητι ἡδύνει τοὺς παρόντας.

2 Ald. Bas. consentientibus codd. MSS. πιστεύειν * διασύρειν λέγοντι * σμος γάρ ἐστιν * ἁμαρτίας παρε * σκῶμμα. Iterum supplevit locum Steph. ex Turn.

3 Designat Theocritum Chium, historicum, Aristotelis & Theopompi & Antigoni regis aequalem. Fabric. B. Gr. T. II. p. 435. R.

4 Praestat sane συνυβρίζοντας, quod R. & W. malunt.

5 Ald. Bas. τὸ μὴ λυπεῖν.

V. Οὐ μὴν ἀλλὰ πρῶτά μοι δοκεῖ τὰ λυπῦντα τὺς ἐνόχυς σκώμματα, τοῖς μακρὰν ὖσι τῆς διαβολῆς ἡδονήν τινα καὶ χάριν ποιεῖν. οἷον ὁ Ξενοφῶν [1] τὸν ὑπέραισχρον καὶ ὑπέρδασυν ἐκεῖνον, ὡς παιδικὰ τῦ Σαμβαύλα σκωπτόμενον εἰσάγει μετὰ παιδιᾶς. καὶ Κοΐντυ [2] τῦ ἡμετέρυ, μέμνησαι γὰρ [3], ἐν ἀσθενείᾳ τὰς χεῖρας ἔχειν ψυχρὰς λέγοντος, Αὐφίδιος Μόδεστος· Ἀλλὰ μὴν (ἔφη) θερμὰς ἀπὸ τῆς ἐπαρχίας κεκόμικας αὐτάς· τῦτο γὰρ ἐκείνῳ μὲν γέλωτα καὶ διάχυσιν παρέσχε, κλέπτῃ δ' ἀνθυπάτῳ λοιδόρημα καὶ ὄνειδος ἦν. διὸ καὶ Κριτόβυλον ὁ Σωκράτης εὐπροσωπότατον ὄντα προκαλύμενος εἰς σύγκρισιν εὐμορφίας, ἔπαιζεν, ὐκ ἐχλεύαζεν [4]. καὶ Σωκράτην πάλιν Ἀλκιβιάδης ἔσκωπτεν εἰς ζηλοτυπίαν τὴν περὶ Ἀγάθωνος. ἥδονται δὲ καὶ βασιλεῖς τοῖς λεγομένοις ὡς εἰς πένητας αὐτὺς καὶ ἰδιώτας, ὥσπερ ὑπὸ Φιλίππυ σκωφθεὶς ὁ παράσιτος εἶπεν· Οὐκ ἐγώ σε τρέφω; τὰ γὰρ ὐ προσόντα φαῦλα λέγοντες, ἐμφαίνυσι τὰ προσόντα χρηςά. δεῖ δὲ ὁμολογυμένως καὶ βεβαίως προσεῖναί τι χρηςόν· εἰ δὲ μή, τὸ λεγόμενον τὐναντίον ἀμφισβητήσιμον ἔχει τὴν ὑπόνοιαν. ὁ γὰρ τῷ πάνυ πλυσίῳ τὺς δανειςὰς ἐπάξειν λέγων, ἢ τὸν ὑδροπότην καὶ σώφρονα παροινεῖν καὶ μεθύειν, ἢ τὸν εὐδάπανον καὶ μεγαλοπρεπῆ καὶ χαριςικὸν, κίμβικα καὶ κύμινον [5] προσαγορεύων, ἢ τὸν ἐν συνηγορίαις καὶ

1 Cyrop. II. 14. Baſ. deinde Σαμσάμβαυλα. Xyl. correxit.

2 Ald. Baſ. Κυτῦ. Xyl. *Quintum* reponendum monuit e Macrobio.

3 Vulgo ἡμετέρυ μέμνησαι, ἐν. Hinc R. ſuſp. μέμνησαι, ὡς ἐν ἀσθ. Dando γὰρ ſecutus ſum W. id ſumentem e Palat. & Anon.

4 Xenoph. Sympoſ. c. 5. & deinde Platon. Opp. X, 272. ed. Bip.

5 Xyl. ſuſp. κυμινοπρίςην, *cumini ſectorem*, (duce Ariſtot. Ethic. 4.) i. e. praeparcum & ſordidum. Conſentit R. nec non

καὶ πολιτείαις μέγαν ἀπειλῶν ἐν ἀγορᾷ λήψεσθαι, διάχυσιν καὶ μειδίαμα παρέχεν. οὕτως ὁ Κῦρος ἐν οἷς ἐλείπετο τῶν ἑταίρων [1], εἰς ταῦτα προκαλούμενος, ἐγίνετο προσηνὴς καὶ κεχαρισμένος. καὶ τοῦ Ἰσμηνίου τῇ θυσίᾳ προσαυλοῦντες, ὡς οὐκ ἐκαλλιέρει, παρελόμενος τοὺς αὐλοὺς ὁ μισθωσάμενος [2] ηὔλησε γελοίως· αἰτιωμένων δὲ τῶν παρόντων· Ἔστιν [3] (ἔφη) τὸ κεχαρισμένως αὐλεῖν θεόθεν· ὁ δ' Ἰσμηνίας γελάσας· Ἀλλ' ἐμοῦ μὲν αὐλοῦντος, ἡδόμενοι διέτριβον οἱ θεοί· σοῦ δ' ἀπαλλαγῆναι σπεύδοντες [4] ἐδέξαντο τὴν θυσίαν.

VI. Ἔτι τοίνυν οἱ τὰ χρηστὰ τῶν πραγμάτων τοῖς λοιδορουμένοις ὀνόμασι μετὰ παιδιᾶς καλοῦντες, ἂν ἐμμελῶς ποιῶσιν, αὐτῶν [5] μᾶλλον εὐφραίνουσι τῶν ἀπ' εὐθείας ἐπαινούντων. καὶ γὰρ δάκνουσι μᾶλλον οἱ διὰ τῶν εὐφήμων ὀνειδίζοντες· ὡς οἱ τοὺς πονηρούς, Ἀριστείδας, καὶ τοὺς δειλούς, Ἀχιλλεῖς καλοῦντες· καὶ ὁ τοῦ [6] Σοφοκλέους Οἰδίπους·

Ταύτης Κρέων ὁ πιστὸς οὑξ ἀρχῆς φίλος.

αντίστροφον οὖν ἔοικε γένος εἶναι εἰρωνείας τὸ περὶ τοὺς ἐπαίνους· ᾧ καὶ Σωκράτης ἐχρήσατο, τὸ Ἀντισθένους τὸ

non W. fufpicans, ultimam partem vocis a prima parte proximae vocis abfumtam fuiffe. Cf. Hefych. in v. κύμβινον & κιμβία.

1 Vulgo ἑταίρων absque articulo. Hinc R. voluit aut ἑτέρων, aut τῶν ἑταίρων. Pofterius dedi cum W. articulum fumente e Palat.

2 Ita Steph. dedit. Ald. Baf. μισθωτός, pro quo Xyl. legi voluit μισθώσας.

3 Inter παρόντων & Ἔστιν W. excidiffe fufpicatur καὶ καλλιεροῦντος!

4 Ita R. e Baf. legendum monuit. Dedi pro vulg. σπεύδοντος cum W. accedentibus Amiot. Xyl. Mez.

5 Turn. V. αὐτούς.

6 Ald. Baf. ὁ καὶ τοῦ. Verfus ipfe Sophocleus mutilatus extat in iisdem: Οἰδίπους * τῆς Κρέων ὁ πιστὸς οὐξα * χης φίλος. Hinc Xyl. eum ex Oedip. tyr. (v. 385.) reponendum monuit.

τὸ φιλοποιὸν καὶ συναγωγὸν ἀνθρώπων εἰς εὔνοιαν, ματροπείαν καὶ συναγωγίαν καὶ ἀγωγίαν [1] ὀνομάσας. Κράτητα δὲ τὸν φιλόσοφον εἰς πᾶσαν οἰκίαν εἰσιόντα μετὰ τιμῆς καὶ φιλοφροσύνης δεχομένων, θυρεπανοίκτην ἐκάλουν.

VII. Ποιεῖ δ' εὔχαρι σκῶμμα καὶ μέμψις ἐμφαίνουσα χάριν· ὡς Διογένης περὶ Ἀντισθένους ἔλεγεν·

Ὅς με ῥάκη [2] τ' ἤμπισχε κἀξηνάγκασε
Πτωχὸν γενέσθαι καὶ δόμων ἀνάστατον.

οὐ γὰρ ἂν ὁμοίως πιθανὸς ἦν λέγων, Ὅς με σοφὸν καὶ αὐτάρκη καὶ μακάριον ἐποίησε. καὶ ὁ Λάκων, ἄκαπνα ξύλα τῷ γυμνασιάρχῳ παρασχόντι προσποιούμενος ἐγκαλεῖν, ἔλεγε, δι' ὃν οὐδὲ ἀποδακρῦσαι γέγονεν ἡμῖν. καὶ τὸν δειπνίζοντα καθ' ἡμέραν ἀνδραποδιστὴν καλῶν καὶ τύραννον, δι' ὃν ἐτῶν τοσούτων οὐχ ἑώρακε τὴν ἑαυτοῦ τράπεζαν. καὶ ὁ λέγων ὑπὸ τοῦ βασιλέως ἐπιβεβουλευμένος ἀφῃρῆσθαι τὴν σχολὴν καὶ τὸν ὕπνον, πλούσιος γεγονὼς ἐκ πένητος. καὶ εἴ τις ἀνθοσμίαν δρέψας [3] αἰτιῷτο τοὺς Αἰσχύλου Καβείρους,

Ὄξους

1 W. pro συνάγ. κ. ἀγ. susp. a Plut. scriptum fuisse προαγωγείαν. Cf. Xenoph. Sympos. IV, 61. 62. Post ὀνομάσας in Bas. est lacunae signum, Xyl. monente, praeter necessitatem.

2 Ald. Bas. κάρη. Deinde Bas. κἀκ δόμων. Idem Ald. dare voluisse videtur, e qua enotatur κἀκοδόμων. Utraque porro πιθανῶς pro πιθανός.

3 Steph. ita dedit e Turn. & Amiot. Graecum quidem non esse, notat R. nec sensum habere, nec se expedire locum fatetur, cum Aeschyli Cabiri perierint. Sensum quidem bene expressisse mihi videtur Kaltw. ita vertendo: *Von eben der Art wäre es auch, wenn man nach einer reichen Erndte des herrlichsten Weins die Kabiren beschuldigen wollte, dass sie den Essig im Hause selten gemacht hätten, wie sie selbst beim Aeschylus scherzweise zu thun drohen.* W. improbans hanc lectionem, revocavit eam, quam Ald. Bas. Xyl. E. H. Venet. exhibent, ἀντιστρέψας pro ἀνθ. δρ. ad quam proxime accedere notat

Ὄξους σπανίζειν δῶμα ποιήσαντας,

ὥσπερ αὐτοὶ παίζοντες ἠπείλησαν. ἅπτεται [1] γὰρ ταῦτα μᾶλλον ἔχοντα δριμυτέραν χάριν, ὥστε μὴ προσίστασθαι, μηδὲ λυπεῖν, τοὺς ἐπαινουμένους.

VIII. Δεῖ δὲ τὸν ἐμμελῶς σκώμματι χρησόμενον, εἰδέναι καὶ νοσήματος διαφορὰν πρὸς ἐπιτήδευμα· λέγω δὲ φιλαργυρίας καὶ φιλονεικίας [2] πρὸς φιλομουσίαν καὶ φιλοθηρίαν· ἐπ' ἐκείνοις μὲν γὰρ ἄχθονται σκωπτόμενοι, πρὸς ταῦτα δὲ ἡδέως ἔχουσιν. οὐκ ἀηδῶς γοῦν Δημοσθένης ὁ Μιτυληναῖος [3], φιλῳδοῦ τινος καὶ φιλοκιθαριστοῦ θύραν κόψας, ὑπακούσαντος αὐτοῦ καὶ κελεύσαντος εἰσελθεῖν· Ἂν πρῶτον (ἔφη) τὴν κιθάραν δήσῃς. ἀηδῶς δὲ ὁ τοῦ Λυσιμάχου [4] παράσιτος, ἐμβαλόντος αὐτοῦ σκορπίον ξύλινον εἰς τὸ ἱμάτιον, ἐκταραχθεὶς, καὶ ἀναπηδήσας, ὡς ᾔσθετο τὴν παιδιάν· Κἀγώ σε (φησὶν) ἐκφοβῆσαι βούλομαι, ὦ βασιλεῦ· δός μοι τάλαντον.

IX. Εἰσὶ δὲ καὶ περὶ τὰ σωματικὰ τοιαῦται διαφοραὶ τῶν πολλῶν. οἷον εἰς γρυπότητα καὶ σιμότητα σκωπτόμενοι, γελῶσιν· ὡς ὁ Κασάνδρου φίλος [5] ἐκ ηχθέ-

notat ἀντιστέψας, quod eſt in Palat. & Vatic. acquieſcens in ea, modo ita accipiatur, ut eam in verſione reddiderit: *Et ſi quis Aeſchyli Cabiros convertens e comminatione in accuſationem, regem ſuum ac nutritorem accuſet, quod domum ipſi fecerit carere aceto: quod Cabiri cum joco minati ſunt.* Mavult nimirum pro ποιήσαντας corrigi ποιήσαντά με. Cum eodem verſum Aeſchyli ab oratione Plutarchi diſtinxi. Penes lectorem ſit judicium, utram lectionem praeferat, cum in utraque aliquid deſiderandum videatur.

1 W. judice, inter ἠπείλησαν & ἅπτεται reponendus videtur locus, qui mox refertur de Epaminonda.

2 Palat. φιλονίας.

3 De hoc Demoſthene Mitylenaeo nihil aliunde conſtare, notat Kaltw.

4 Probante R. reſtitui Λυσιμάχου e Baſ. cum W. accedentibus Xyl. Amiot. Mez. & ipſo Athenaeo VI. p. 246. Vulgo Λυσίου.

5 Xyl. Caſandri Philippum ſignificari ſuſpicatur, non φίλον. Ita quoque vertit.

ἠχθέσθη, τῦ Θεοφράςυ πρὸς αὐτὸν εἰπόντος· Θαυμάζω σε τὲς ὀφθαλμὲς, ὅτι ἐκ ᾄδεσι, τῦ μυκτῆρος αὐτοῖς ἐνδεδωκότος [1]. καὶ ὁ Κῦρος ἐκέλευσε τὸν γρυπὸν σιμὴν ἀγαγέσθαι γυναῖκα [2], ὅτω γὰρ ἐφαρμόσσειν. εἰς δὲ δυσωδίαν μυκτῆρος ἢ ςόματος ἄχθονται σκωπτόμενοι. καὶ πάλιν εἰς φαλακρότητα, πρᾴως φέρεσιν, εἰς δὲ πήρωσιν ὀφθαλμῶν, ἀηδῶς. καὶ γὰρ Ἀντίγονος αὐτὸς μὲν ἑαυτὸν εἰς τὸν ὀφθαλμὸν ἔσκωπτε· καί ποτε λαβὼν ἀξίωμα μεγάλοις γράμμασι γεγραμμένον· Ταυτὶ μὲν (ἔφη) καὶ τυφλῷ δῆλα. Θεόκριτον δὲ τὸν Χῖον [3] ἀπέκτεινεν, ὅτι, φήσαντός τινος, εἰς τὲς ὀφθαλμὲς ἂν τῦ βασιλέως παραγένηται, σωθῆναι· Ἀλλ' ἐμοὶ (εἶπεν) ἀδύνατα φῂς τὰ τῆς σωτηρίας. Λέων [4] ὁ Βυζάντιος, εἰπόντος Πασιάδυ πρὸς αὐτὸν, ὀφθαλμιαθῆναι δι' [5] αὐ-



1 Ita Ald. & tuetur Steph. cum Salmasio. In Baf. est ἐνδεδυκότος, quod Xyl. vertit, & R. probat.

2 Ab Ald. & Baf. & reliquis, W. notante, libris absunt σιμὴν ἀγαγέσθαι γυναῖκα. Steph. dedit e Turn. qui e Xenoph. sumsit, Cyrop. L. VIII. c. 4. §. 21. ed. Zeun.

3 aliter de eo narratur in lib. de educat. lib. Vol. VII. p. 41. Locus ipse in Ald. & Baf. item aliis, W. teste, libris corruptus φήσαντος ὀφθαλμὲς ἂν * ραγίνη * σωθῇ * ἀλλ' ἅμα εἶπεν ἀδυνάτα τὰ ὑπὸ τὴν σωτηρίαν. Steph. vulgatam edidit e Turnebiano, monens tamen, particulam ἂν aptiorem locum esse habituram ante praep. εἰς vel ante verb. παραγένηται, nec non aptius legi σωθήσεσθαι, aut σωθῆναι ἄν. Posterius probat R. notans, tractasse quoque hunc locum, non usque quaque feliciter, Paul. Leopardum Emendat. 17, 24. E V. notatur ἀδύνατα ἐμοὶ φῂς.

4 Ita cum W. sumsi e Baf. accedentibus Xyl. Amiot. Mez. nec non ipso Plut. Vol. VII. p. 275 ubi eadem historia, sed paulo aliter refertur. W. teste, Ald. E. H. Pal. Vat. Venet. simpliciter habent ὁ Βυζάντιος; Steph. dedit καὶ ὁ Βυζ. notans tamen, pro καὶ, quod ex Ald. in suam transierit editionem, scribendum fuisse Λέων. R. voluit καὶ Λέων ὁ B.

5 Vulgo ὀφθαλμιαθῆναι δὲ αὐτῦ. Steph. δὲ expungi voluit. Xyl. legendum monet δι'. Probat R. Dedi cum W. Xyl. & Mez. sequente.

τῦ τὰς ὀφθαλμὰς· Ἀσθένειαν (ἔφη) σώματος ὀνειδίζεις, νέμεσιν ἐχ ὁρῶν ἐπὶ τῶν ὤμων βαςάζοντά σε τὸν υἱόν· εἶχε δὲ κυρτὸν ὁ Πασιάδης υἱόν. ἠγανάκτησε δὲ καὶ Ἄρχιππος, ὁ δημαγωγὸς τῶν Ἀθηναίων, ὑπὸ Μελανθίε σκωφθεὶς εἰς τὸ κυρτόν· ἔφη γὰρ αὐτὸν ὁ Μελάνθιος, ἐ προεςάναι τῆς πόλεως, ἀλλὰ προκεκυφέναι [1]. τινὲς δὲ ταῦτα πρᾴως καὶ μετρίως φέρεσιν, ὥσπερ ὁ φίλος τῦ Ἀντιγόνε τάλαντον αἰτήσας, καὶ μὴ λαβὼν, ᾔτησε προπομπὰς καὶ φύλακας· Ὅπως (ἔφη) μὴ ἐπιβελευθῶ, προστάξας [2] κατ' ὦμε τὸ τάλαντον φέρειν. ἔτω μὲν περὶ τὰ ἐκτὸς ἔχεσι διὰ τὴν ἀνωμαλίαν· ἄλλοι γὰρ ἐπ' ἄλλοις ἄχθονται. Ἐπαμεινώνδας [3] μετὰ τῶν συναρχόντων εςιώμενος ἐπέπινεν ὄξος, καὶ πυνθανομένων, εἰ πρὸς ὑγίειαν ἀγαθόν· Οὐκ οἶδα· (εἶπεν) ὅτι μέντοι πρὸς τὸ μεμνῆσθαι τῆς οἴκοι διαίτης ἀγαθὸν, ἐπίςαμαι. διὸ δεῖ καὶ πρὸς τὰς φύσεις καὶ τὰ ἤθη σκοπῦντα, ταῖς παιδιαῖς χρῆσθαι, πειρώμενον ἀλύπως καὶ κεχαρισμένως ἑκάςοις ὁμιλεῖν.

X. Ὁ δ' ἔρως τά τ' ἄλλα ποικιλώτατός ἐςι, καὶ τοῖς σκώμμασιν οἱ μὲν [4] ἄχθονται καὶ ἀγανακτῦσιν, οἱ δὲ χαίρεσι· δεῖ δ' εἰδέναι τὸν καιρόν. ὡς γὰρ τὸ πῦρ ἐν ἀρχῇ μὲν ἀποσβέννυσι τὸ πνεῦμα [5] διὰ τὴν ἀσθένειαν, αὐ-

1 Sic, R. & Salmas. jubentibus, e Bas. dedi cum W. accedentibus Xyl. & Mez. Vulgo κεκυφέναι.

2 R. susp. προσυντάξας, *quia antea, quam huc ad te venirem, constitui cum familiaribus meis, ut me exspectarent cum talento in humeris meis redeuntem.* Caeterum monet idem, se non perspicere, quorsum exemplum hoc attulerit Plutarchus, cum e nexu priorum demonstrandum fuisset, quosdam exprobrata sibi vitia corporis clementer tulisse. Idem de hoc loco Kaltw. notat. W. susp. leg. προσέτι, δόξας, & vertit: *ne praeter repulsam etiam insidiae sibi fiant abeunti, cum videatur similis ferenti talentum in humeris.*

3 Vid. de hoc exemplo p. 66. not. 1.

4 Salmas. καὶ τῶν ἐρώντων οἱ μὲν τοῖς σκώμμασιν ἄχθ.

5 Mavult R. hunc vocum ordinem ὡς γὰρ τὸ πνεῦμα ἐν ἀ. μ. ἀποσβ. τὸ πῦρ.

αὐξηθέντι δὲ τροφὴν παρέχει καὶ ῥώμην· οὕτως φυόμενος ὁ ἔρως ἔτι καὶ λανθάνων δυσκολαίνει καὶ ἀγανακτεῖ πρὸς τοὺς ἀποκαλύπτοντας· ἐκλάμψας δὲ καὶ διαφανεὶς, τρέφεται καὶ προσγελᾷ τοῖς σκώμμασι φυσώμενος. ἥδιστα δὲ σκώπτονται, παρόντων τῶν ἐρωμένων, εἰς αὐτὸ τὸ ἐρᾷν, εἰς ἄλλο δ' οὐδέν. ἐὰν δὲ καὶ γυναικῶν ἐρῶντες ἰδίων τύχωσιν, ἢ νεανίσκων φιλοκάλων ἔρωτα γενναῖον, παντάπασι γάννυνται καὶ καλλωπίζονται τῷ σκώπτεσθαι πρὸς αὐτούς. διὸ καὶ Ἀρκεσίλαος, ἐν τῇ σχολῇ τοιαύτης μεταδόσεως [1] αὐτῷ γενομένης ὑπό τινος τῶν ἐρωτικῶν· Δοκεῖ μοι μηδὲν ἅπτεσθαι μηδενός· οὐδὲ σὺ [2] τοίνυν (ἔφη) τοῦδε ἅπτῃ; δείξας τινὰ τῶν καλῶν καὶ ὡραίων παρακαθήμενον.

XI. Ἤδη δὲ καὶ τὸ [3] τῶν παρόντων σκεπτέον. ἃ γὰρ ἐν φίλοις καὶ συνήθεσιν ἀκούοντες γελῶσι, ταῦτα δυσχεραίνουσιν, ἂν λέγηται πρὸς αὐτοὺς τῆς γαμετῆς παρούσης, ἢ τοῦ πατρὸς, ἢ τοῦ καθηγητοῦ· πλὴν ἂν μή τι κεχαρισμένον ᾖ τὸ λεγόμενον ἐκείνοις [4]. οἷον ἄν τις [5] σκώπτηται, τοῦ φιλοσόφου παρόντος, εἰς ἀνυποδησίαν, ἢ νυκτο-



1 R. susp. δόσεως, cum δόσις appellaretur in scholis philosophorum & rhetorum illud argumentum, quod sophistae aut philosopho sermone pertractandum ab ejus auditoribus dabatur. Mez. ὑποθέσεως; W. μεταξὺ θέσεως.

2 Vulgo ὁ δέ· Σὺ τοίνυν. Necesse duxi, sequi Turn. & V. ut sibi constet oratio: *neque tu ergo hunc tangis?* R. maluit: σοῦ τοίνυν, ἔφη, ὅδε οὐχ ἅπτεται — *te ergo hic non tangit*, vel *ferit?*

3 Vulgo abest τό. Inserui e R. mente, W. probata. Turn. & V. dant εἴδη pro ἤδη.

4 Vulgo πλὴν ἂν μὴ καί τι κεχαρισμένον, ἢ τῶν λεγομένων ἐκείνοις. R. susp. πλ. ἂν μ. κ. τ. τῶν κεχαρισμένων ἐκείνοις ᾖ τὸ λεγόμενον. Salmas. quoque ᾖ cum ἢ mutaverat. Secutus sum W. dantem μή τι ex Palat. ᾖ ex Bas. E. Xyl. Mez. τὸ λεγόμενον e Turn. & V.

5 Bas. οἷον ἂν * σκώπτηται. Xyl. inserendum monuit τις, deditque Steph.

κυκλογραφίαν· ἢ τοῦ πατρὸς ἀκούοντος, εἰς [1] μικρολογίαν· ἢ τῆς γυναικὸς παρούσης, εἰς τὸ ἀνέραστον ἑτέρων [2], ἐκείνης δὲ δῆλον καὶ θεραπευτικὸν, ὡς ὁ Τιγράνης ὑπὸ τοῦ Κύρου· Τί δ', ἄν σε [3] ἡ γυνὴ σκευοφοροῦντα ἀκούσῃ; Ἀλλ' οὐκ ἀκούσεται, (εἶπεν) ὄψεται δ' αὐτὴ παροῦσα.

XII. Ποιεῖ δὲ τὰ σκώμματα ἀλυπότερα [4] καὶ τὸ κοινωνεῖν ἀμωσγέπως τοὺς λέγοντας· ὅταν εἰς πενίαν λέγῃ [5] πένης, ἢ δυσγενὴς εἰς δυσγένειαν, ἢ ἐρῶν εἰς ἔρωτα [6]. δοκεῖ δ' οὐχ ὕβρει, παιδιᾷ δέ τινι γίνεσθαι μᾶλλον ὑπὸ τῶν ὁμοίων· εἰ δὲ μὴ, παροξύνει καὶ λυπεῖ. τὸν γοῦν ἀπελεύθερον τοῦ βασιλέως, νεόπλουτον ὄντα, φορτικῶς δὲ καὶ σοβαρῶς ἐπιπολάζοντα τοῖς συνδειπνοῦσι φιλοσόφοις, καὶ τέλος ἐρωτῶντα, πῶς ἔκ τε τῶν λευκῶν καὶ τῶν μελάνων κυάμων ὁμοίως χλωρὸν γίνεται τὸ ἔτνος, ἀντερωτήσας ὁ Ἀριδίκης [7], πῶς ἐκ τῶν

1 abest εἰς ab Ald. & Baf.

2 Dedi cum W. ex Ald. Baf. adfentientibus Xyl. E. H. Palat. Vatic. pro vulg. ἑταίρων.

3 Sic Xyl. dandum monuit, dedique cum W. accedentibus E. H. Ven. Pal. Vatic. Vulgo ἂν δέ. R. hoc δὲ aut deleri voluit, aut cum καὶ mutari. Cf. Xenoph. Cyrop. III, 1, §. 42. 43. ed. Zeun.

4 Ald. Baf. nec non, W. tefte, Xyl. & Venet. plane omittunt ἀλυπότερα. Adeft autem poft δὲ additum ἀμφότερα. Hinc Xyl. notat, vocem ἀμφότερα hic loci nihil valere, & mavult ἐλαφρότερα, aut fimile quid. Steph. qui utramque vocem recepit, irrepfiffe fufpicatur ἀμφότερα pro ἀλυπότερα. E Turn. & V. notatur ποιεῖ δὲ ἀλυπότερα; R. fufp. ποιεῖ δ' ἀμβλύτερα (vel ἐλαφρότερα) τὰ σκώμματα καὶ ἀλυπότερα τὸ κοινωνεῖν αὐτῶν ἀμωσγέπως τοὺς λέγοντας, οἷον ὅταν. Delevi ἀμφότερα cum W. auctoritate E H. pro eo Palat. habet ἀλυπότερα iterum; Vatic. ἀμπότερα; Amiot. & Mez. corrigunt ἀμεμπτότερα.

5 Subaud. σκῶμμα. Mavult tamen R. σκώπτῃ.

6 Dedi ἔρωτα e R. mente, & Xyl. verfione pro vulg. ἐρῶντα. Ratio haud eft obfcura.

7 R. fatetur, Aridicen philofophum ipfi non magis notum effe, quam Amphiam Tarfenfem, de quo paulo poft fit mentio.

τῶν λευκῶν καὶ μὴ λευκῶν ἱμάντων Φοινικοῖ γίνονται μώλωπες, ἐποίησεν ἀναςῆναι περίλυπον γενόμενον. ὁ δὲ Ταρσεὺς Ἀμφίας ἐκ κηπωρῦ δοκῶν γεγονέναι, σκώψας δὲ τὸν φίλον τῦ ἡγεμόνος εἰς δυσγένειαν, εἶτα ὑπολαβὼν εὐθύς· Ἀλλὰ καὶ ἡμεῖς ἐκ τῶν αὐτῶν σπερμάτων γεγόναμεν· γέλωτα ἐποίησε. κομψῶς δὲ καὶ τῦ Φιλίππυ τὴν ὀψιμαθίαν ἅμα καὶ περιεργίαν ὁ ψάλτης ἐπέσχεν· οἰομένυ γὰρ αὐτὸν ἐξελέγχειν τῦ Φιλίππυ περὶ κρυμάτων καὶ ἁρμονιῶν· Μὴ γένοιτό σοι, (εἶπεν) ὦ βασιλεῦ, κακῶς ὕτως, ἵνα ἐμῦ σὺ ταῦτα εἰδῇς βέλτιον· σκώπτειν γὰρ ἑαυτὸν δοκῶν, ἐκεῖνον ἀλύπως ἐνεθέτησε. διὸ καὶ τῶν κωμικῶν ἔνιοι τὴν πικρίαν ἀφαιρεῖν δοκῦσι τῷ σκώπτειν ἑαυτὺς· ὡς Ἀριςοφάνης εἰς τὴν φαλακρότητα καὶ τὴν Ἀγάθωνος * λίψιν· Κρατῖνος δὲ τὴν πυτίνην [1] ἐδίδαξεν.

E 4 XIII.

1 Lectio haec est Ald. Bas. quam exhibent rell. libri omnes, W. teste. A Steph. invecta fuerat Turnebi conjectura εἰς τὴν φαλ. καὶ τὴν ἄγαν οἴνυ δίψαν· Κρ. δ. τ. π. qua prior lectio, quam praeeunte W. restitui, nimis deformata esse videtur. Salmas. locum sic constituit: δίψαν Κρατῖνος ἐν τῇ Πυτίνῃ, ἣν ἐδίδαξεν. Turn. V. τῇ πυτίνῃ. Idem legi testatur Steph. monens tamen, cum isto dativo locum nondum esse sanatum. R. notat: „Aristophanes suam calvitiem in *Pace* v. 167. derisit; ubi suam vinositatem perstrinxerit, non memini. Forsitan id factum fuit in aliqua fabula earum, quae periere. — *Pytine* est nomen fabulae Cratini, in qua Cratinus ignominiam vinositatis sibi ab Aristophane adspersam abstersum ivit. v. Lucian. Macrob. c. 25. & Fabric. B. Gr. T. I. p. 754. num igitur sublato puncto, leg. καὶ τὴν ἄγαν οἴνυ δίψαν ἑαυτῦ Κρατῖνος ἐν τῇ Πυτίνῃ ἐχλεύασεν? sed non satis Graeca haec sunt. Sane οἴνυ δίψαν pro οἰνοφλυγίαν non concoquo: & in Ἀγάθωνος latet aliquid doctius & reconditius, quam ut id a librario proficisci potuerit.“ W. susp. καὶ Ἀγάθων εἰς τὴν θρύψιν· Κρατῖνος δὲ τὴν Πυτίνην εἰς τὴν φιλοινίαν ἐδ. *ut Aristophanes in calvitiem, Agathon in mollitiem: Cratinus quoque Pytinam fabulam in suam ipse vinositatem docuit.* Notat W. in Palat. exstare lacunam inter Πυτίνην & ἐδίδαξεν. Annon locus hunc sensum requi-

XIII. Οὐχ ἥκιϛα δὲ δεῖ προσέχειν καὶ φυλάττειν, ὅπως ἐκ τῦ παρατυχόντος ἔϛαι τὸ σκῶμμα πρός τινας ἐρωτήσεις αὐτόθεν ἢ παιδιᾶς γινόμενον, ἀλλὰ μὴ πόῤῥωθεν, οἷον ἐκ παρασκευῆς ἐπεισόδιον. ὡς γὰρ ὀργὰς καὶ μάχας τὰς ἐκ τῶν συμποσίων πρᾳότερον φέρεσιν, ἐὰν δ' ἐπελθών τις ἔξωθεν λοιδορῆται καὶ ταράττῃ, τῦτον ἐχθρὸν ἡγῦνται, καὶ μισῦσιν· ὕτως μέτεϛι συγγνώμης σκώμματι καὶ παῤῥησίας, ἂν ἐκ τῶν παρόντων ἔχῃ τὴν γένεσιν, ἀφελῶς καὶ ἀπλάϛως [1] φυόμενον· ἂν δ' ᾖ μὴ πρὸς λόγον, ἀλλ' ἔξω [2], ἐπιβελῇ καὶ ὕβρει προσέοικεν. οἷον τὸ Τιμαγένυς πρὸς τὸν ἄνδρα τῆς ἐμετικῆς [3]. Κακῶν γὰρ ἄρχεις τήνδε Μῦσαν εἰσάγων·

requirere videtur, Aristophanem non minus suam calvitiem deridendam dedisse, quam Agathonis mollitiem, vel Cratini vinositatem? Sic saltim omnia aptius cohaerere videntur. De Agathone quidem satis multa leguntur in Aristoph. Θεσμοφ. & de Cratino, poculis dedito, (ne de aliis locis dicam) in eadem fabula, qua suam ipse insectatur auctor calvitiem, fit mentio. Pleniorem ergo (procul autem absit, ut Plutarchi verba restituisse videar) mihi locum ita fingo: ὡς Ἀριϛ. ὁμοίως εἰς τὴν φαλακρότητα αὐτῦ, ὥσπερ εἰς τὴν Ἀγάθωνος θηλύτητα (vel simile quid) καὶ τὴν Κρατίνυ φιλοινίαν ἔσκωψεν· Κρατῖνος δὲ αὐτὸς εἰς αὐτὸν τὴν Πιτύνην ἐδίδαξεν. Cf. Suid. in v. Ἀγάθων, Κρατῖνος, & Κώδιον, ubi de fabula hac Cratini plura memorantur.

1 Ald. Bas. ἀπλήϛως.

2 Ald. Bas. ἀλλ' ἐξ ὧν. Hinc Xyl. notat, aut pravum esse aut mutilum.

3 Ald. Bas. τῆς γαμετικῆς. Hinc Xyl. ex ipso sensu ἐμετικῆς legendum monuit. Steph. dedit ἄνδρα γυναικὸς ἐμετικῆς. R. probavit τῆς ἐμετικῆς, quod dedi cum W. consentientibus in voce τῆς Venet. Palat. Vatic nec non in voce ἐμετικῆς Jannot. Amiot. Steph. reliquis γαμετικῆς habentibus. Significat Lysimachum & Arsinoën. Vid. Paul. Leopard. Emend. 10, 13. & Gu. Canteri N. L. 4, 25. Quod hic Plutarchus de Timagene, id alii de Telesphoro tradunt, de quo in lib. de Exilio memoratum fuit, Vol. X. p. 383. l. ult. cf. Athen. l. XIV. p. 616.

γων [1]· καὶ πρὸς Ἀθηνόδωρον τὸν φιλόσοφον, εἰ φυσικὴ ἡ πρὸς τὰ ἔκγονα φιλοστοργία [2]. ἡ γὰρ ἀκαιρία, καὶ τὸ μὴ πρὸς λόγον, ὕβριν ἐμφαίνει καὶ δυσμένειαν. ἦτοι μὲν οὖν, κατὰ Πλάτωνα, κουφοτάτου πράγματος, λόγων, βαρυτάτην ζημίαν ἔτισαν· οἱ δὲ τὸν καιρὸν εἰδότες καὶ φυλάττοντες αὐτῷ τῷ Πλάτωνι μαρτυροῦσιν, ὅτι τοῦ πεπαιδευμένου καλῶς ἔργον ἐστὶ τὸ παίζειν ἐμμελῶς καὶ κεχαρισμένως.

## QUAESTIO II.

### Cur voraciores simus circa finem autumni [3]?

Ἐν Ἐλευσῖνι μετὰ τὰ μυστήρια τῆς πανηγύρεως ἀκμαζούσης, εἱστιώμεθα παρὰ Γλαυκίᾳ τῷ ῥήτορι. πεπαυμένων δὲ δειπνεῖν τῶν ἄλλων, Ξενοκλῆς ὁ ἀδελφὸς [4], ὥσπερ εἰώθει, τὸν ἀδελφὸν ἡμῶν, Λαμπρίαν,

E 5 εἰς

1 Dedi versum hunc, qualis est in Ald. & Bas. cum W. quo teste consentiunt Xyl. E. Venet. Palat. Vatic. Vulgo e Steph. legitur, a Jannot. sumtum: κακῶν γὰρ τήνδ' ἐμοῦσαν ἄρχεις εἰσάγων. Xyl. legendum monuit τὴν δ' ἐμοῦσαν, poëta quidem τήνδε μοῦσαν scribente, Timagene autem joci gratia divulsis vocibus in vomentem torquente. Etiam Steph. scribendum notavit κακῶν γὰρ ἄρχεις τήνδ' ἐμοῦσαν εἰσάγων, vel κακῶν κατάρχεις, quod est apud Athenaeum l. c. & apud V.

2 Ald. Bas. εἰ μουσικὴ πρὸς τὰ φιλοστοργία. Steph. sumsit ἔκγονα, vocem, W. teste, in reliquis omnibus desideratam libris, a Turn. Amiot. Anon. Pro μουσικὴ Steph. scribendum monuit φυσική. Etiam R. dubius fuit, utrum leg. φυσικὴ ἡ πρὸς — an μουσικὴ ἡ πρὸς. Dedi prius, Amiot. & Anon. correctioni faventibus, nec non W. probante, & vertente, qui simul ἡ e Palat. in textum recepit.

3 Personae colloquii sunt Glaucias, Xenocles, Lamprias, Plutarchus, alii.

4 Xyl. monet, si recte legatur, se ὁ ἀδελφὸς referre ad Glauciam. Idem asserit R. contra Fabricium B. Gr. T. II. p. 816. qui eum Plutarchi fratrem esse perhibuit. W. Xenoclem fratrem Plutarchi vel Glauciae habendum esse negat, & legendum conjicit ὁ Δελφός.

εἰς ἀδδηφαγίαν Βοιώτιον ἐπέσκωπτεν. ἐγὼ δ' ἀμυνόμενος ὑπὲρ [1] αὐτοῦ τὸν Ξενοκλέα, τοῖς Ἐπικούρου λόγοις χρώμενον [2]. Οὐ γὰρ ἅπαντες, (εἶπον) ὦ βέλτιστε, ποιοῦνται τὴν τοῦ ἀλγοῦντος ὑπεξαίρεσιν, ὅρον ἡδονῆς καὶ πέρας· Λαμπρίᾳ δὲ καὶ ἀνάγκη, πρὸ τοῦ κήπου [3] κυδαίνοντι τὸν περίπατον καὶ τὸ Λύκειον, ἔργῳ μαρτυρεῖν Ἀριστοτέλει· Φησὶ γὰρ ὁ ἀνὴρ, βρωτικώτατον ἕκαστον αὐτὸν αὑτοῦ περὶ τὸ Φθινόπωρον εἶναι· καὶ τὴν αἰτίαν ἐπείρηκεν· ἐγὼ δ' οὐ [4] μνημονεύω. βέλτιον· (εἶπεν ὁ Γλαυκίας) αὐτοὶ [5] γὰρ ἐπιχειρήσομεν ζητεῖν, ὅταν παυσώμεθα δειπνοῦντες. ὡς οὖν ἀφῃρέθησαν αἱ τράπεζαι, Γλαυκίας καὶ Ξενοκλῆς ᾐτιάσαντο τὴν ὀπώραν διαφόρως, ὁ μὲν ὡς [6] τὴν κοιλίαν ὑπεξάγουσαν, καὶ τῷ κενοῦσθαι τὸ σῶμα νεαρὰς ὀρέξεις ἀεὶ παρασκευάζουσαν· ὁ δὲ Ξενοκλῆς ἔλεγεν, εὔστομόν τι καὶ δηκτικὸν [7] ἔχοντα τῶν ὡραίων τὰ πλεῖστα τὸν στόμαχον ἐπὶ τὴν βρῶσιν ἐκκαλεῖσθαι παντὸς μᾶλλον ὄψου καὶ ἡδύσματος· καὶ γὰρ τοῖς ἀποσίτοις τῶν ἀῤῥώστων ὀπώρας τι προσενεχθὲν ἀναλαμβάνει τὴν ὄρεξιν. ὁ δὲ Λαμπρίας εἶπεν, ὅτι τὸ οἰκεῖον καὶ τὸ σύμφυτον θερμὸν ἡμῶν, ᾧ τρέφεσθαι πέφυκα-

1 abest ὑπὲρ ab Ald. & Baf. E V. notatur αὐτόν.

2 R. praefert lectionem Baf. χρώμενος, infolentius effe monens, fententiam hanc, quae vulgatae eft fubjicienda, *alicujus fectam fequi*, vel *doctrinam probare*, graece efferre χρῆσθαι λόγοις τινός.

3 in quo Epicurus docere folebat, Ariftotele in Lyceo docente ambulando.

4 Vulgo οὐδὲ. R. fufp. οὐκέτι, vel οὐ κάρτα. Dando οὐ fecutus fum W. ita e Palat. dantem, & monentem, e vulgata effici poffe οὐ διαμνημονεύω.

5 R. explicat, *feorfim nos*, privatim inter nos, feclufa reliqua torba convivarum, addens, fe aliquando conjeciffe αὖθις, *rurfus* vel *deinceps*.

6 Sic e Baf. legendum probavit R. dedique cum W. pro vulg. εἰς, adfentientibus Xyl. Leonic. Schott. Mez.

7 Ald. Baf. δηκτόν. Xyl. correxit.

φύκαμεν, ἐν μὲν τῷ θέρει διέσπαρται, καὶ γέγονεν ἀσθενέστερον καὶ μανὸν, ἐν δὲ τῷ φθίνοντι καιρῷ συναγείρεται πάλιν καὶ ἰσχύει, κατακρυπτόμενον ἐντὸς διὰ τὴν περίψυξιν καὶ τὴν πύκνωσιν τοῦ σώματος. ἐγὼ δὲ, ὑπὲρ τοῦ μὴ δοκεῖν ἀσύμβολος τοῦ λόγου μεταχεῖν, εἶπον, ὅτι τοῦ θέρους διψητικώτεροι γινόμεθα, καὶ πλείονι χρώμεθα τῷ ὑγρῷ, διὰ τὸ καῦμα· νῦν οὖν ἡ φύσις ἐν τῇ μεταβολῇ ζητοῦσα τοὐναντίον, ὥσπερ εἴωθε, πεινητικωτέρους ποιεῖ, καὶ τὴν ξηρὰν τροφὴν τῇ κράσει τοῦ σώματος ἀνταποδίδωσιν. οὐ μὴν οὐδὲ τὰ σιτία φῆσαι τις ἂν αἰτίας ἀμοιρεῖν παντάπασιν, ἀλλ' ἐκ νέων καὶ προσφάτων γενόμενα καρπῶν, οὐ μόνον μάζας καὶ ὄσπρια, καὶ ἄρτους καὶ πυροὺς, ἀλλὰ καὶ [1] κρέα ζώων εὐωχουμένων τὰ ἐπέτεια, τοῖς τε χυμοῖς διαφέρειν [2] τῶν παλαιῶν, καὶ μᾶλλον ἐπάγεσθαι τοὺς χρωμένους καὶ ἀπολαύοντας.

## QUAESTIO III.

### Gallina priusne fuerit, an ovum [3]?

Ἐξ ἐνυπνίου τινὸς ἀπειχόμην ὠῶν πολὺν ἤδη χρόνον [4], παρὰ τοῦτο ποιούμενοι. ἐν ὠῷ, καθάπερ ἐν καρδίᾳ

1 Vulgo abeſt ἀλλά. Id inſerendum cenſui cum Xyl. & R. ut habeat μόνον, quod ei reſponderet. R. deinde voluit ζώων, εὐωχουμένων ἡμῶν, τὰ ἐπ.

2 Sic R. legi voluit, & dedi e Baſ. cum W. accedentibus Xyl. & Mez. pro vulg. διαφέρει.

3 Perſonae colloquii ſunt Plutarchus, Alexander, Sulla, Firmus, Soſſius Senecio, alii.

4 Ald. Baſ. &, W. teſte, omnes rell. libri ἐξ ὑπνίου τινὸς ἀπο * μὴν ὠῶν πολὺν ἤδο *. Vulgatam ſumſit Steph. e Turneb. exemplo. Eandem conjecit Xyl. e voce ὄψεως judicans, hanc eſſe ſententiam, inſomnio aliquo motum Plutarchum aliquando ovorum eſu abſtinuiſſe, cum tamen corde veſceretur; itaque familiares feciſſe periculum, cum corde veſci viderent, an

δία πεῖραν λαβεῖν [1] τῆς ὄψεως ἐναργῶς μοι πολλάκις γενομένης· ὑπόνοιαν μέντοι παρέχον, ἑστιῶντος ἡμᾶς Σοσσίου Σενεκίωνος, ἐνέχεσθαι δόγμασιν Ὀρφικοῖς, ἢ Πυθαγορικοῖς, καὶ τὸ ὠὸν, ὥσπερ ἔνιοι καρδίαν καὶ ἐγκέφαλον, ἀρχὴν ἡγούμενος γενέσεως ἀφοσιοῦσθαι· καὶ προὔφερεν Ἀλέξανδρος ὁ Ἐπικούρειος ἐπὶ γέλωτι τὸ

Ἶσόν τοι κυάμους ἔσθειν [2] κεφαλάς τε τοκήων,

ὡς δὴ κυάμους τὰ ὠὰ διὰ τὴν κύησιν αἰνιττομένων τῶν ἀνδρῶν, διαφέρειν δὲ μηδὲν οἰομένων τὸ ἐσθίειν ὠὰ τοῦ χρῆσθαι τοῖς τίκτουσι τὰ ὠὰ ζώοις. ἐγίνετο δὴ τὸ τῆς αἰτίας ἀπολόγημα τῆς αἰτίας αὐτῆς ἀλογώτερον, Ἐπικουρείῳ λέγειν ἐνύπνιον [3]. ὅθεν οὐ παρῃτούμην τὴν δόξαν ἅμα προσπαίζων τι [4] τῷ Ἀλεξάνδρῳ· καὶ γὰρ ἦν χαρίεις καὶ φιλολόγος ἐπιεικῶς.

II. Ἐκ δὲ τούτου τὸ ἄπορον καὶ πολλὰ πράγματα τοῖς ζητητικοῖς παρέχον εἰς μέσον εἷλκε πρόβλημα περὶ

τοῦ

an ovum quoque esset: cumque id non faceret, suspicionem de se concitasse, ac si superstitione aliqua teneretur.

1 Locus, ut facile patet, corruptus. R. susp. πρoῦργου ποιούμενος ἐν ᾠῷ, καθάπερ ἐν Καρὶ, πεῖραν τῆς ἀποχῆς λαβεῖν, *id mihi sumens operae, ut in ovo tanquam in Care, periculum facerem, numquid possem a carnibus* (vel aliis eduliis) *me abstinere.* W. inter χρόνον & παρὰ quaedam excidisse ex sententiae nexu & veteri lectione colligit, lacunamque ejusmodi fere ratione explendam putat — ἤδη χρόνον, οὐ δι' ἑτέραν αἰτίαν αὐτὰ ἀφοσιούμενος, ἀλλὰ σπουδὴν παρὰ τοῦτο ποιούμενος; & deinde legendum monet καθάπερ ἐν Καρὶ, διάπειραν. Vertit simul: *non quod eorum esum ob aliam quoque causam nefas existimarem, sed quod operae pretium ducerem, per hanc opportunitatem explorare auctoritatem visionis ejus, saepius mihi factae, ejusque periculum in ovo, tanquam in Care, facere.* Multa valent proverbia de Caribus, gente, quae mercede proposita, non dubitavit quidvis pati. Vid. Suid. & Hesych. in ἐν Καρὶ τὸν κίνδυνον.

2 Bas. ἐσθίειν, pro quo metri causa Xyl. leg. monuit ἔσθειν.

3 Somnia, omina & alia ejusmodi Epicurei vana judicarunt.

4 Ita dando secutus sum W. sic e Palat. reponentem pro vulg. προσπαίζοντι.

τῦ ὠῦ καὶ τῆς ὄρνιθος, ὁπότερον γένοιτο πρότερον αὐτῶν. καὶ Σύλλας μὲν, ὁ ἑταῖρος, εἰπὼν, ὅτι μικρῷ προβλήματι, καθάπερ ὀργάνῳ, μέγα καὶ βαρὺ σαλεύομεν, τὸ περὶ τῦ κόσμυ τῆς γενέσεως [1], ἀπηγόρευσε. τῦ δ' Ἀλεξάνδρυ τῆς ζητήσεως, ὡς μηδὲν προσφυὲς φερέσης, καταγελάσαντος, ὁ γαμβρὸς ἡμῶν, Φίρμος· Ἐμοὶ τοίνυν (ἔφη) χρηςέον [2] ἐν τῷ παρόντι τοῖς ἀτόμοις. εἰ γὰρ τὰ μικρὰ δεῖ ςοιχεῖα τῶν μεγάλων ἀρχὰς ὑποτίθεσθαι, πρῶτον [3] εἰκός ἐςι τὸ ὠὸν γεγονέναι τῆς ὄρνιθος· ἔςι γὰρ καὶ ἁπλῦν, ὡς ἐν αἰσθητοῖς [4]. ποικίλον δὲ καὶ μεμιγμένον μᾶλλον ἡ ὄρνις [5]. καθόλυ δὲ ἡ μὲν ἀρχὴ, πρῶτον· ἀρχὴ δὲ, τὸ σπέρμα· τὸ δ' ὠὸν, σπέρματος μὲν πλέον, ζώυ δὲ μικρότερον. ὡς γὰρ ἡ προκοπὴ μέσον εὐφυΐας εἶναι δοκεῖ καὶ ἀρετῆς, ὕτω [6] τὸ ὠὸν προκοπή τις ἐςὶ τῆς φύσεως ἐπὶ τὸ ἔμψυχον ἀπὸ τῦ σπέρματος πορευομένης. ἔτι δὲ, ὥσπερ ἐν τῷ ζώῳ πρῶτα γίνεσθαι λέγυσιν ἀρτηρίας καὶ φλέβας, ὕτω λόγον ἔχει καὶ τῦ ζώυ τὸ ὠὸν γεγονέναι πρῶτον, ὡς περιέχον ἐμπεριεχομένυ [7]. καὶ γὰρ αἱ τέχναι πρῶτον ἀτύπωτα καὶ ἄμορφα πλάττυσιν, εἶτα ὕςερον ἕκαςα τοῖς εἴδεσι διαρθρῦσιν· ᾗ Πολύκλειτος ὁ πλάςης εἶπε, χαλεπώτατον εἶναι τὸ ἔργον, ὅταν ἐν ὄνυ-

1 Trajectio, W. judice, haud verisimilis, corrigenda περὶ τῆς τῦ κόσμυ γενέσεως.

πος [1] εἰώθει λέγειν ἑκάστοτε τοὺς Ἰουδαίους ἐπισκώπτων, ὅτι τὸ δικαιότατον κρέας [2] οὐκ ἐσθίουσιν. ἡμεῖς δὲ φήσομεν, δικαιότατον ὄψον εἶναι τὸ ἐκ θαλάττης. πρὸς μέν γε ταυτὶ τὰ χερσαῖα, κἂν ἄλλο μηδὲν ἡμῖν ᾖ δίκαιον, ἀλλὰ τρέφεταί γε τοῖς αὐτοῖς, καὶ λαμβάνει τὸν αὐτὸν αέρα [3], καὶ λουτρὰ, καὶ ποτὸν αὐτοῖς, ἅπερ ἡμῖν ἐστιν· ἃ [4] καὶ σφάττοντες ἐδυσωποῦντο φωνὴν ἀφιέντα γοερὰν, καὶ τὰ πλεῖστα πεποιημένοι συνήθη καὶ σύντροφα ταῖς διαίταις· τὸ δὲ τῶν ἐναλίων γένος ἔκφυλον ὅλως καὶ ἄποικον ἡμῶν, ὥσπερ ἐν ἄλλῳ τινὶ κόσμῳ γεγονότων καὶ ζώντων, οὔτ' ὄψις, οὔτε φωνή τις, οὔτε ὑπουργία παραιτεῖται τῆς πρὸς ἡμῶν σφαγῆς [5]. οὐδὲν γὰρ ἄν τις ἔχοι χρῆσθαι ζώοις, ἃ [6] μηδὲ ὅλως ζῇ παρ' ἡμῖν· οὐδὲ δεῖ τινος ἐπ' αὐτὰ

1 Vulgo ἐμός σοι πάππος: R. σοι delendum monuit, & delevi cum W. auctoritatem Mez. sequente. Palat. propemodum item, ἐμοσί.

2 Appellavit suillam, scil. ἐσθίεσθαι, *quae comedatur*, quia sues sunt animal homini noxium & ejus operibus, ideoque justum & aequum esse porcos vorari, quia alias humanum genus ipsi devorant. R. Aliam affert caussam Ricardus, e carne nimirum gustatu jucunda, & ex utilitate omnium partium.

3 Vulgo τὸν ἀέρα. R. dandum monuit τὸν αὐτὸν, dedique cum W. idem e Palat. & Vatic. sumente. R. simul paulo ante voluit τρέφεταί τι.

4 Sic Steph. dedit. Consentiunt Schott. & Leonic. & R. vult accipi pro δι' ἃ, *quapropter*. Bas. Xyl. ἐστιν. καὶ. Ald. E. H. Ven. ἐστὶ νικαι. Palat. Vatic. ἐστι νικαις. W. legendum susp. ἐστιν· ᾗ καὶ.

5 Ald. Bas. τῆς προσ * οὐδὲν γάρ. Consentiunt omnes libri, W. teste. Steph. explevit ex Turneb. Amiot. Anon. Paulo aliter Palat. τῆς προσ * ας οὐδὲν γάρ. Hinc W. mavult τῆς προσφορᾶς cum Anon.

6 Vulgo οὐδὲν γὰρ αὐτοῖς ἔχει χρήσασθαι ζῶον, ὃ &c. Sumsi e H. Steph. & R. mente ἄν τις pro αὐτοῖς, & ἔχοι pro ἔχει; nec non e Turn. & V. ζώοις, ἃ pro ζῶον, ὅ. H. Steph. & R. voluerunt ζώῳ, ὃ. V. exhibet οὐδεὶς pro οὐδέν. W. susp. οὐδὲν γὰρ ἄνθρωποι ἔχει χρήσασθαι ζώοις, ἃ.

τὰ σοργῆς [1], ἀλλ᾽ ὥσπερ ᾅδης αὐτοῖς ἐςιν ὅτος ὁ παρ᾽ ἡμῖν τόπος. ἐλθόντα γὰρ εἰς αὐτὸν, εὐθέως τέθνηκεν.

## QUAESTIO V.

Utrum ſuem venerantes Iudaei, aut potius averſantes, carne ejus abſtineant [2]?

Ἐπεὶ δὲ ταῦτ᾽ ἐῤῥήθη, βȣλομένων τινῶν ἀντικατατείνειν, τὸν ἕτερον λόγον ἐκκρȣ́ων ὁ Καλλίςρατος, ἔφη· Πῶς ὑμῖν [3] δοκεῖ λελέχθαι τὸ πρὸς τȣ̀ς Ἰȣδαίȣς, ὅτι τὸ δικαιότατον κρέας ȣ̓κ ἐσθίȣσιν; Ὑπερφυῶς, ἔφη ὁ Πολυκράτης· ἐγὼ δὲ καὶ προσδιαπορῶ, πότερον οἱ ἄνδρες τιμῇ τινι τῶν ὑῶν, ἢ μυσαττόμενοι τὸ ζῶον, ἀπέχονται τῆς βρώσεως αὐτȣ̃. τὰ γὰρ παρ᾽ ἐκείνοις [4] λεγόμενα μύθοις ἔοικεν, εἰ μή τινας ἄρα λόγȣς σπȣδαίȣς ἔχοντες ȣ̓κ ἐκφέρȣσιν.

II. Ἐγὼ μὲν τοίνυν, εἶπεν ὁ Καλλίςρατος, οἶμαί τινα τιμὴν τὸ ζῶον ἔχειν παρὰ τοῖς ἀνδράσιν· εἰ δὲ δύσμορφον ἡ ὗς καὶ θολερὸν [5], ἀλλ᾽ ȣ̓ κανθάρȣ καὶ

[1] W. cum Mez. mavult σφαγῆς pro σοργῆς. Deinde dedi ᾅδης e Turn. & V. probante W. pro vulg. αἴδης.

[2] Perſonae colloquii ſunt Calliſtratus, Polycrates, Lamprias.

[3] Vulgo ἡμῖν, quod & Baſ. habet. Xyl. vertit *vobis*, & eſt ὑμῖν in Steph. repoſuique cum W. probante R.

[4] R. ſuſp. παρ᾽ ἐκείνων.

[5] Sententia, Xyl. docente, eſt: Sus, quamquam foeda eſt & deformis beſtia, non tamen cantharo, crocodilo, fele turpior eſt, quae animalia Aegyptii tamen venerantur. Vocem θολερὸν, *quod in coeno volutatur*, defendit idem, ut probam, & infra repetitam. R. deinde mavult ἀλλ᾽ ȣ̓ κανθάρȣ γε. Ald. θολερον * κανθάρȣ καὶ γρυ * ἐκκροκοδείλȣ, καὶ * υρȣ; ultima Baſ. & Xyl. correctius καὶ κροκοδείλȣ καὶ * αἰλȣ́ρȣ, in reli. idem exhibent. Vulgatam dedit Steph. Notatur e Turn. & V. ἀλλ᾽ ȣ̓ κανθάρȣ καὶ γρύλλȣ, vel γρύλλων καὶ κροκοδείλȣ καὶ αἰλȣ́ρȣ. Pro γρυ Xyl. quidem conjici poſſe notat

καὶ γρυ * καὶ κροκοδείλȣ καὶ αἰλȣ́ρȣ τὴν ὄψιν ἀτοπώτερον [1], ἢ τὴν φύσιν ἀμȣσότερον· οἷς ὡς ἁγιωτάτοις ἱερεῖς Αἰγυπτίων ἄλλοις [2] ἄλλοι προσφέρονται. τὴν δὲ ὗν ἀποχρησῆσαι καὶ τιμᾶσθαι [3] λέγȣσι· πρώτη γὰρ σχίσασα τῷ πρȣ́χοντι τῆς ὀρυχῆς [4] (ὥς φασι) τὴν γῆν, ἴχνος ἀρόσεως ἔθηκε, καὶ τὸ τῆς ὕνεως ὑφηγήσατο ἔργον· ὅθεν καὶ τȣ̃νομα γενέσθαι τῷ ἐργαλείῳ λέγȣσιν ἀπὸ τῆς ὑός. οἱ δὲ τὰ μαλθακὰ καὶ κοῖλα τῆς χώρας Αἰγύπτιοι γεωργȣ̃ντες, ȣ̓δ᾽ ἀρότρȣ δέονται τοπαράπαν· ἀλλ᾽ ὅταν ὁ Νεῖλος ἀποῤῥέῃ καταβρέξας τὰς ἀρȣ́ρας, ἐπακολȣθȣ̃ντες, τὰς ὗς κατέβαλον [5]· αἱ δὲ χρησάμεναι πάτῳ καὶ ὀρυχῇ, ταχὺ τὴν γῆν ἔστρεψαν ἐκ βάθȣς, καὶ τὸν σπόρον ἀπέκρυψαν. ȣ̓ δεῖ δὲ θαυμάζειν, εἰ διὰ τȣ̃τό τινες ὗς ȣ̓κ ἐσθίȣσιν, ἑτέρων ζώων μείζονας ἐπ᾽

notat γρυπὸς, grypbis, mavult tamen legendum μυ, ut inde prodeat μυγάλης, quod Kaltw. arridet. H. Steph. γρυπὸς ponendum suspicatur, nec probat γρύλλȣ. Hoc ipsum autem R. amplectitur. Neutrum statuit W. praeferens γυπός.

1 Quod in ind. var. e Bas. notatur ἀτοπωτάτην, a vero abhorret. Est in ista ἀτοπώτερον.

2 Vulgo abest ἄλλοις. R. id e Bas. reponendum monuit, dedique cum W. accedentibus Xyl. & Amiot.

3 Pro ἀποχρησῆσαι Turn. & V. habent ἀπὸ τῆς χρείας. Ita a quibusdam reponi, notat H. Steph. addens, aptam quidem esse huic loco lectionem, sed illud verbum alius potius lectionis vestigia servare videri. R. probat ἀπὸ τῆς χρείας, at ad integrandum locum non sufficere monet. W. notat, Xyl. dedisse ἀπογρυσῆσαι, quod quale sit, se nescire fatetur. Rectius censet ἀπὸ τῆς χρείας, & deinde corrigendum ἐκτετιμῆσθαι pro καὶ τιμᾶσθαι.

4 R. mavult τῷ πρȣ́χοντι τȣ̃ ῥύγχȣς.

5 H. Steph. stare non posse hanc lectionem notat, si κατέβαλον de iis accipiatur, qui semen in terram jaciunt. Susp. talem quandam hujus loci lectionem ἐπακολȣθȣ̃ντες καὶ ἐπάγοντες τὰς ὗς. Xyl. κατέβαλον junxit cum accus. vertens: postquam Nilus eluvie sua solum rigavit, eum subsequentes sues in agros depellunt. Ex Turn. & V. notatur ἐπ᾽ ἀγρȣ̀ς ἢ ἐπὶ χώρων ὠθȣ̃ντες ὗς κατέβαλον. R. mavult εἰσέβαλλον.

ἐπ' αἰτίαις γλίσχραις, ἐνίων δὲ καὶ πάνυ γελοίαις, τιμὰς ἐχόντων παρὰ τοῖς βαρβάροις. τὴν μὲν γὰρ μυγαλῆν ἐκτεθειάσθαι λέγουσιν ὑπ' Αἰγυπτίων τυφλὴν οὖσαν, ὅτι τὸ σκότος τοῦ φωτὸς ἡγοῦντο πρεσβύτερον· τίκτεσθαι δ' αὐτὴν ἐκ μυῶν-πέμπτῃ γενεᾷ νουμηνίας οὔσης. ἔτι δὲ μειοῦσθαι τὸ ἧπαρ ἐν τοῖς ἀφανισμοῖς τῆς σελήνης. τὸν λέοντα [1] τῷ ἡλίῳ συνοικειοῦσιν, ὅτι τῶν γαμψωνύχων τετραπόδων βλέποντα τίκτει μόνος· κοιμᾶται δ' ἀκαρὲς χρόνου, καὶ ὑπολάμπει τὰ ὄμματα καθεύδοντος· κρῆναι δὲ κατὰ χασμάτων [2] λεοντείων ἐξίασι κρουνοὺς, ὅτι Νεῖλος.ἐπάγει νέον ὕδωρ ταῖς Αἰγυπτίων ἀρούραις, ἡλίου τὸν λέοντα παροδεύοντος. τὴν δ' ἶβιν φασὶν ἐκκολαφθεῖσαν εὐθὺς ἕλκειν δύο δραχμὰς, ὅσον ἄρτι παιδίου [3] γεγονότος καρδίαν· ποιεῖ δὲ τῇ τῶν ποδῶν ἀποτάσει πρὸς ἀλλήλους [4], καὶ πρὸς τὸ ῥύγχος, ἰσόπλευρον τρίγωνον. καὶ τί ἄν τις Αἰγυπτίους αἰτιῷτο τῆς τοσαύτης ἀλογίας; ὅπου καὶ τοὺς Πυθαγορικοὺς ἱστοροῦσι καὶ ἀλεκτρυόνα λευκὸν σέβεσθαι, καὶ τῶν θαλαττίων μάλιστα τρίγλης καὶ ἀκαλήφης ἀπέχεσθαι· τοὺς δ' ἀπὸ Ζωροάστρου μάγους τιμᾶν μὲν ἐν τοῖς μάλιστα τὸν χερσαῖον ἐχῖνον, ἐχθαίρειν δὲ τοὺς ἐνύδρους μῦς, καὶ τὸν ἀποκτείνοντα πλείστους θεοφιλῆ καὶ μακάριον νομίζειν; οἶμαι δὲ, καὶ τοὺς Ἰουδαίους, εἴπερ ἐβδελύττοντο τὴν ὗν, ἀποκτείνειν ἂν, ὥσπερ οἱ μάγοι τοὺς μῦς ἀποκτείνουσι· νῦν δὲ ὁμοίως τῷ φαγεῖν τὸ ἀνελεῖν ἀπόῤῥητόν ἐστιν αὐτοῖς. καὶ ἴσως ἔχει λόγον,

1 R. susp. καὶ τὸν λέ. aut τὸν δὲ λέ. Posterius mavult W.

2 Vulgo κρῆναι δὲ καὶ καταχάσματα τῶν λ. Correxi haec ex mente R. qui secum facere notat Dorville Vann. crit. p. 550. cum eodem fere ducat V. e quo affertur καταχασμάτων. W. quoque monet, in promtu esse corrigere cum Exempl. Turneb. & Anon. κατὰ χασμάτων. Cf. Plut. de If. & Osir. Vol. IX. p. 154. ab init. c. 38.

3 R. mavult hunc ordinem ὅσον παιδίου ἄρτι γεγ.

4 Ald. τῶν πόνων pro τῶν ποδ. & πρὸς ἄλλας.

γον, ὡς τὸν ὄνον [1] ἀναφήναντα πηγὴν αὐτοῖς ὕδατος τιμῶσιν, οὕτως καὶ τὴν ὗν σέβεσθαι σπόρου καὶ ἀρότου διδάσκαλον γενομένην· εἰ μὴ [2], νὴ Δία, καὶ τοῦ λαγωοῦ [3] φησί τις ἀπέχεσθαι τοὺς ἄνδρας, ὡς μυσαρὸν καὶ ἀκάθαρτον δυσχεραίνοντας τὸ ζῶον.

III. Οὐδ' [4] * ὁ Λαμπρίας ὑπολαβών· Ἀλλὰ τοῦ μὲν λαγωοῦ ἀπέχονται [5] διὰ τὴν πρὸς τὸν ὄνον ὑπ' αὐτῶν μυ * σα θηρίον ἐμφερέστατον. ὁ γὰρ λαγὼς μεγέθους ἔοικε καὶ τάχους ἐν δεινοῖς εἶναι [6]. καὶ γὰρ ἡ χρόα, καὶ τὰ ὦτα, καὶ τῶν ὀμμάτων ἡ λιπαρότης, καὶ τὸ ἀλμυρὸν [7] ἔοικε θαυμασίως· ὥστε μηδὲν οὕτω μηδὲ μικρὸν μεγάλῳ τὴν μορφὴν [8] ὅμοιον γεγονέναι. εἰ μή, νὴ Δία, καὶ πρὸς τὰς ὁμοιότητας [9] αἰγυ-

1 Vulgo post ὄνον exhibetur δὲ, quod R. auctoritate Bas. delendum monuit, & delevi.

2 Vulgo γενομένην. νὴ Δία. Inserendum εἰ μὴ monuerunt Xyl. & R. probavitque W. & dedi, re ipsa flagitante.

3 Secutus sum W. ita e Palat. sumentem pro vulg. λαγοῦ. R. porro maluit φήσει τις.

4 Turn. & V. οὐδ' ἀλόγως ἔφη ὁ Λ. Amiot. & Scalig. Ep. CCXXXII. οὐδ' ἄπο τρόπου τοῦδ' ἐστιν, ἔφη ὁ Λ. R. susp. οὐ δῆτα, ἔφη ὁ Λ. quod probabilius censet W.

5 Omnes libri, W. teste, & scripti & editi, λαγωοῦ * ται. Steph. dedit ἀπέχονται. Ald. deinde, Bas. & V. πρὸς τὸν μένον. E vet. cod. reposuit Steph. τὸν ὄνον. V. porro μῦν ἁπάντων φησὶ μάλιστα θηρίων. E Turn. affertur πρὸς τὸν μιζούμενον. R. susp. μισούμενον μάλιστα θηρίον, ἐμφέρειαν. Scaliger corrigit, quod W. probat, διὰ τὴν πρὸς τὸν ὄνον, ὑπ' αὐτῶν μυσαχθέντα μάλιστα θηρίων, ἐμφέρειαν.

6 R. susp. μεγέθους μὲν ἕνεκα καὶ τάχους οὐδὲν ἔοικε τοῖς ὄνοις ὅμοιος εἶναι. ἡ δὲ χρόα. W. autem: μεγέθους ἐκτὸς καὶ τάχους ὀνοειδής ἐστι.

7 R. susp. λαμυρὸν, *impudens*, *protervum*, *petulans*. Defendi tamen posse vulgatam addit e quaest. 10. Sympos. V.

8 R. susp. μηδὲ μικρὸν, μηδὲ μέγα τῷ ὄνῳ τὴν μορφήν.

9 R. susp. ποιότητας, vel ἰδιότητας, *nisi forte morem Aegyptiorum in venandis & interpretandis animalium propriis cuique dotibus imitantes.*

αἰγυπτιάζοντες τὴν ὠκύτητα τῦ ζώυ θεῖον ἡγῦνται, καὶ τὴν ἀκρίβειαν τῶν αἰσθητηρίων· ὅ τε γὰρ ὀφθαλμὸς ἄτρυτός ἐςιν αὐτῶν [1], ὥςε καὶ καθεύδειν ἀναπεπταμένοις τοῖς ὄμμασιν· ὀξυηκοΐα [2] δὲ δοκεῖ διαφέρειν, ἣν Αἰγύπτιοι θαυμάσαντες, ἐν τοῖς ἱεροῖς γράμμασιν ἀκοὴν σημαίνυσι τὰς λαγωὰς [3] γράφοντες. τὸ δὲ ὕειον κρέας οἱ ἄνδρες ἀφοσιῦσθαι δοκῦσιν [4], ὅτι μάλιςα οἱ βάρβαροι τὰς ἐπιλευκίας καὶ λέπρας δυσχεραίνυσι, καὶ τῇ προσβολῇ τὰ τοιαῦτα καταβόσκεσθαι [5] πάθη τὰς ἀνθρώπυς οἴονται. πᾶσαν [6] δὲ ὗν ὑπὸ τὴν γαςέρα λέπρας ἀνάπλεων καὶ ψωρικῶν ἐξανθημάτων ὁρῶμεν· ἃ δὴ, καχεξίας τινὸς ἐγγενομένης [7] τῷ σώματι καὶ φθορᾶς, ἐπιτρέχειν δοκεῖ τοῖς σώμασιν. ὐ μὴν ἀλλὰ καὶ τὸ θολερὸν περὶ τὴν δίαιταν τῦ θρέμματος ἔχει τινὰ πονηρίαν· ὐδὲν γὰρ ἄλλο βορβόρῳ χαῖρον ὕτω καὶ τόποις ῥυπαροῖς καὶ ἀκαθάρτοις ὁρῶμεν, ἔξω λόγυ τιθέμενοι τὰ τὴν γένεσιν [8] καὶ τὴν φύσιν ἐν αὐτοῖς ἔχοντα τύτοις. λέγυσι δὲ καὶ τὰ ὄμματα τῶν ὑῶν ὕτως ἐγκεκλά-

1 R. mavult αὐτῦ.

2 Dedi sic, R. jubente, pro vulg. ὀξυκοΐα. Cf. Vol. VII. p. 119. not. 2.

3 W. cum R. susp. τὺς λαγωῦς.

4 Ald. Bas. ἀφοσιῦσθαι * κασιν ὅτι μάλιςα * οἱ βάρβαροι. Consentiunt cum illis rell. scripti & editi ante Steph.

5 Subesse quid vitii W. monet, quod minime sanetur προβολῇ ex Palat. & Vatic.

6 Ald. & Bas. ἐς ἂν pro πᾶσαν, & deinde ἐξανθησάντων.

7 Natae in corpore. Dedi sic, R. jubente & W. probante pro vulg. ἐκγινομένης.

8 Vulgo τιθέμενοι, μετὰ τὴν γένεσιν, καὶ. R. legendum monuit τὰ pro μετὰ, ut sit sensus: *exclusis aut in censum non admissis illis animalibus, quae in coeno nascuntur & pascuntur.* W. probavit, & dedi.

κεκλᾶσθαι [1] καὶ κατεσπᾶσθαι ταῖς ὄψεσιν [2], ὥστε μηδενὸς ἀντιλαμβάνεσθαι μηδέποτε τῶν ἄνω, μηδὲ προσορᾶν τὸν ἐρανὸν, ἂν μὴ φερομένων ὑπτίων ἀναστροφήν τινα παρὰ φύσιν αἱ κόραι λάβωσι· διὸ καὶ μάλιστα κραυγῇ χρώμενον τὸ ζῶον, ἡσυχάζειν, ὅταν ἔτω φέρηται, καὶ σιωπᾶν κατατεθαμβημένον ἀηθίᾳ τὰ ἐράνια, καὶ κρείττονι φόβῳ τῆ βοᾶν συνεχόμενον. εἰ δὲ δεῖ καὶ τὰ μυθικὰ προσλαβεῖν, λέγεται μὲν ὁ Ἄδωνις ὑπὸ τῆ συὸς διαφθαρῆναι· τὸν δ' Ἄδωνιν ἐχ ἕτερον, ἀλλὰ Διόνυσον, εἶναι νομίζεσι· καὶ πολλὰ τῶν τελεμένων ἑκατέρῳ περὶ τὰς ἑορτὰς βεβαιοῖ τὸν λόγον. οἱ δὲ [3] παιδικὰ τῆ Διονύσε γεγονέναι· καὶ Φανοκλῆς, ἐρωτικὸς ἀνὴρ, ὧδέ πως πεποίηκεν·

Εἰδὼς θεῖον Ἄδωνιν ὀρειφοίτης Διόνυσος
Ἥρπασεν, ἠγαθέην Κύπριν [4] ἐποιχόμενος.

1 Sic R. dari voluit pro vulg. ἐκκεκλᾶσθαι, dedique cum W. idem ex H. fumente.

2 *Quoad vim intuendi*, vel *quoad illas partes, quibus intuemur.* R.

3 Subaudiendum monet R. λέγεσι, quod cum eo expreffum malim.

4 Xyl. monens, ἠγάθεον effe locorum epitheton, maxime diis facrorum, Κύπρον legit pro Κύπριν.

QUAE-

## QUAESTIO VI.

### Quis Iudaeorum Deus sit [1]?

Θαυμάσας δὲ τὸ ἐπὶ πᾶν [2] ῥηθὲν ὁ Σύμμαχος· Ἆρα (ἔφη) συ τὸν πατριώτην θεὸν [3], ὦ Λαμπρία, εὔιον ὀρσιγύναικα μαινομέναις ἀνθέοντα τιμαῖσι, Διόνυσον, ἐγγράφεις καὶ ὑποποιεῖς τοῖς Ἑβραίων ἀπορρήτοις; ἢ τῷ ὄντι λόγος ἐςί τις ὁ τῦτον ἐκείνῳ τὸν αὐτὸν ἀποφαίνων; ο δὲ Μοιραγένης ὑπολαβών. Ἔα τῦτον, εἶπεν· ἐγὼ γὰρ Ἀθηναῖος ὢν ἀποκρίνομαί σοι καὶ λέγω, μηδένα ἄλλον εἶναι· καὶ τὰ μὲν πολλὰ τῶν εἰς τῦτο τεκμηρίων μόνοις ἐςὶ ῥητὰ καὶ διδακτὰ τοῖς μυῦμένοις παρ' ἡμῖν ἐς τὴν τριετηρικὴν παντέλειαν [4]. ἃ δὲ λόγῳ διελθεῖν ἐ κεκώλυται πρὸς φίλες ἄνδρας, ἄλλως τε καὶ παρ' οἶνον ἐπὶ τοῖς τῦ θεῦ δώροις, ἂν ὗτοι κελεύωσι, λέγειν ἕτοιμος.

II. Πάντων ὖν κελευόντων καὶ δεομένων, πρῶτον μὲν ἔφη τῆς μεγίςης καὶ τελειοτάτης ἑορτῆς παρ' αὐτοῖς ὁ καιρός ἐςι καὶ ὁ τρόπος Διονύσῳ προσήκων.



1 Personae colloquii sunt Symmachus, Lamprias, Moeragenes. Vulgo haec cum antecedentibus continuantur. Monuit autem R. nihil inesse illis cum argumento quintae quaestionis commune, novumque incipere problema, quo tractatum sit, quod index capitum doceat, quisnam Judaeorum deus fuerit. Observavit idem Casaub. ad Theoph. Charact. IV. Quare non dubitavi cum W. in suum caput distinguere.

2 R. mavult πᾶσι, *id quod postremo loco dictum fuerat.*

3 Erat enim Lamprias Thebanus. Thebis autem natus erat Bacchus & in magno honore habebatur. R.

4 Pro ἐς τὴν Ald. ἐςι; Bas. habet τὴν absque ἐς. Abesse quoque posse videtur praepositio, cum absolute dici soleat μυεῖσθαι τὰ μεγάλα, μυεῖσθαι ὄργια. Pantelia festum Athenense Baccho sacrum. Quod autem in ind. v. [illegible] notatur, Bas. cum Ald. habere τριετικὴν, falsum est.

τὴν γὰρ λεγομένην νηϛείαν [1] ἀκμάζοντι τρυγητῷ τράπεζάς τε προτίθενται παντοδαπῆς ὀπώρας, ὑπὸ σκηναῖς καὶ καλιάσιν [2] ἐκ κληματων μάλιϛα καὶ κιττῦ διαπεπλεγμέναις· καὶ τὴν προτέραν τῆς ἑορτῆς σκηνὴν ὀνομάζουσιν. ὀλίγαις δὲ ὕϛερον ἡμέραις ἄλλην ἑορτὴν, οὐκ ἂν δι' αἰνιγμάτων, ἀλλ' ἄντικρυς Βάκχου καλουμένου, τελοῦσιν. ἔϛι δὲ καὶ κραδηφορία [3] τις ἑορτὴ καὶ θυρσοφορία παρ' αὐτοῖς, ἐν ᾗ θύρσους ἔχοντες εἰς τὸ ἱερὸν εἰσίασιν· εἰσελθόντες δὲ, ὅ τι δρῶσιν, οὐκ ἴσμεν· εἰκὸς δὲ βακχείαν εἶναι τὰ ποιούμενα· καὶ γὰρ σάλπιγξι μικραῖς, ὥσπερ Ἀργεῖοι τοῖς Διονυσίοις, ἀνακαλούμενοι τὸν θεὸν χρῶνται· καὶ κιθαρίζοντες ἕτεροι προσίασιν [4], οὓς αὐτοὶ Λευίτας προσονομάζουσιν, εἴτε παρὰ τὸν Λύσιον, εἴτε μᾶλλον παρὰ τὸ Εὔιον, τῆς ἐπικλήσεως γεγενημένης. οἶμαι δὲ καὶ τὴν τῶν σαββάτων ἑορτὴν μὴ παντάπασιν ἀπροσδιόνυσον εἶναι. Σάββους γὰρ καὶ νῦν ἔτι πολλοὶ τοὺς Βάκχους καλοῦσι, καὶ ταύτην ἀφιᾶσι τὴν φωνὴν, ὅταν ὀργιάζωσι τῷ θεῷ * σιν [5] ἐϛὶ δήπου καὶ παρὰ Δημοσθένους λαβεῖν καὶ

1 R. legi vult τῇ γὰρ λεγομένῃ νηϛείᾳ, aut excidisse monet πανηγυρίζοντες vel ἑορτάζοντες, unde accus. dependeat.

2 Vulgo ὑπὸ σκηναῖς, καὶ καθιᾶσιν. Bas. ὑπὸ σκηναῖς τε καθιᾶσιν Turn. καὶ ὑπὸ σκηναῖς καθιᾶσιν. R. voluit κλισιάσιν. Equidem reponere non dubitavi Scaligeri (Ep. CCXXXII.) correctionem, quam W. probavit.

3 Reposui lectionem Bas. a Turn. Amiot. Xyl. & R. probatam — *gestatio ramorum ficulnearum*. Cf. Hesych. in v. κράδη, cum subjuncta adnotatione. Vulgo κρατηροφορία. Mez. κλαδηφορία.

4 R. susp. προΐασιν, *prodeunt in publicum*, vel *extra templum*

5 R. pro σιν legendum censet οἷον, lacunamque oppiendam, addens, aliter emendasse hunc locum Sevinum in historia Academiae Inscript. Paris. T. III. pag. 53. versionis germanicae. Demosthenis locus est in orat. περὶ ϛεφάνου, edit. Reisk. p. 313. Scaliger corrigit θεῷ. ὧν πίϛιν ἐϛὶ. Turn. & V. ita dant τῷ θεῷ

καὶ παρὰ Μενάνδρῳ. καὶ ἐκ ἀπὸ τρόπυ τις ἂν φαίη τὔνομα πεποιῆσθαι πρός τινα σόβησιν [1], ὃ κατέχει τὺς βακχεύοντας. αὐτοὶ δὲ τῷ λόγῳ μαρτυρῦσιν, ὅταν [2] σάββατον τιμῶσι, μάλιστα μὲν πίνειν καὶ οἰνῦσθαι παρακαλῦντες ἀλλήλυς· ὅταν δὲ κωλύει τι μεῖζον, ἀπογεύεσθαί γε πάντως ἀκράτυ νομίζοντες. καὶ ταῦτα μὲν εἰκότα [3] φαίη τις ἂν εἶναι· κατὰ κράτος ἐν αὐτοῖς, πρῶτον μὲν ὁ ἀρχιερεὺς ἐλέγχει, μιτροφόρος τε προϊὼν ἐν ταῖς ἑορταῖς, καὶ νεβρίδα χρυσόπαστον ἐνημμένος, χιτῶνα δὲ ποδήρη φορῶν καὶ κοθόρνυς· κώδωνες δὲ πολλοὶ κατακρέμανται τῆς ἐσθῆτος, ὑποκτυπῦντες ἐν τῷ βαδίζειν· ὡς καὶ παρ' ἡμῖν ψόφοις [4] χρῶνται περὶ τὰ νυκτέλια, καὶ χαλκοδρυ-

 τὰς

θεῷ σαβοῖ ὥς ἐςι δῆπυ. H. Steph. fufp. poft τῷ θεῷ inferenda hæc, καὶ τὰ μυςήρια τελῶσιν.

1 Ald. Baf. quibuscum alii & fcripti & editi confentiunt, καὶ ἐκ ἀπὸ * πὺ τις ἂν φαίη τὔνομα πεποιῆσθαι πρὸς τὴν ἀσέβησιν. Steph. dedit καὶ ἐκ ἀπὸ τρόπυ τὶς ἂν φαίη τῦτο μὴ πεποιῆσθαι πρὸς τινα σέβησιν. F. Turn. & V. notatur ἀπὸ σκόπυ, & deinde e Turn. τῦτο τὔνομα πεποιῆσθαι. Quod dedi, W. debetur, plurima parte firmatum confenfu R. qui voluit πρὸς τὴν σόβησιν, nec non Anon. & Mez. — *Sabbati nomen formatum fuiſſe a verbo σοβεῖν, bacchari, tumultuari*, ftrepitum & clamorem conciere atque difcurfitare, *quae ſunt bacchantium.*

2 Secutus fum W. ita dantem e Palat. pro vulg. ὅτι. R. fufp. ὅτι τὸν Σαββάσιον τιμῶσι, *ſe Bacchum Sabbaſium colere.* Palat. & Vatic. σάββατα pro σάββατον.

3 R. fufp. καὶ ταῦτα μέντοι καὶ ἐκεῖνα ἐοικότα, *praeter jam dicta etiam haec nunc dicenda aſſeveret aliquis Bacchicum cultum in ſacris Judaeorum quam maxime referre.* Diftinxi poft εἶναι cum W. Vulgo cohaeret εἶναι cum feqq. ita ut punctum detur poft αὐτοῖς. W. leg. fufp. κατὰ κράτος δὲ τὰς ἐναντιυμένυς πρῶτον &c.

4 Ald. Baf. παρ' ἡμῖν. ψόφοις δὲ χρῶνται. Recepi deinde νυκτέλια e confenfu Turn. V. Amiot. Anon. Mez. H. Steph. probante W. pro περὶ τὰ νῦν τέλεια.

τὰς [1] τᾶ θεᾶ τιθήνας προσαγορεύουσι· καὶ ὁ δεικνύμενος ἐν τοῖς ἐναντίοις τᾶ μετεώρα [2] θύρσος ἐντετυπωμένος καὶ τύμπανα· ταῦτα γὰρ ὀδενὶ δήπουθεν ἄλλῳ θεῷ ἢ Διονύσῳ προσήκει [3]. ἔτι τοίνυν μέλι (μὲν [4]) ὀ προσφέρουσι ταῖς ἱερουργίαις, ὅτι δοκεῖ φθείρειν τὸν οἶνον κεραννύμενον, καὶ τοῦτο ἦν σπονδὴ καὶ μέθυ [5], πρὶν ἄμπελον φανῆναι. καὶ μέχρι νῦν τῶν τε βαρβάρων οἱ μὴ ποιοῦντες [6] οἶνον, μελίτειον πίνουσιν, ὑποφαρμάσσοντες τὴν γλυκύτητα οἰνώδεσι ῥίζαις καὶ αὐστηραῖς. Ἕλληνές τε νηφάλια τὰ αὐτὰ [7] καὶ μελίσπονδα θύουσιν, ὡς ἀντίθετον φύσιν μάλιστα τοῦ μέλιτος πρὸς τὸν οἶνον ἔχοντος. ὅτι δὲ τοῦτο [8] νομίζουσι, κἀκεῖνο σημεῖον ὀ μικρόν ἐστι, τὸ πολλῶν τιμωριῶν οὐσῶν παρ' αὐτοῖς, μίαν εἶναι μάλιστα διαβεβλημένην τὴν οἴνου τοὺς κολαζομένους ἀπείργουσαν, ὅσον ἂν τάξῃ χρόνον ὁ κύριος τῆς κολάσεως· τοὺς δὲ οὕτω κολα —

Λείπει τὰ λοιπὰ τοῦ τετάρτου.

ΠΛΟΥ-

1 E. H. Venet. Flor. χαλκοδρυστὰς; Palat. χαλκοκροδυστάς. R. quaerit, num χαλκοδρύπτας aut χαλκοδρυπτρίας. Kaltw. fusp. χαλκοκτύπας.

2 Turn. & V. ἐν τοῖς ναοῖς τοῦ Μωϋσέως, & μεθορία pro μετεώρου. R. judice, locus hic gravi in mendo cubat, neque eum sanavit medicina Turnebi. W. fusp. ἐν τοῖς ἐνωπίοις.

3 Dedi sic e R. mente. Consentit Mez. nec spernit W. e Flor. commendans προσέοικεν.

4 W. μὲν delendum monet. Uncis inclusi.

5 *Potus inebrians.* Dedi sic R. jubente, cum W. idem e Palat. sumente, pro vulg. μέθη.

6 Ita, W. probante, reposui ex Ald. Bas. Xyl. Consentiunt E. H. Venet. Flor. Palat. Vatic. Vulgatam πίνοντες sumsit Steph. a Schott. & Anon. Notatur e Turn. & Boug. πιόντες.

7 Ita R. & w. dandum monuerunt pro vulg. ταῦτα. Habent quoque Turn. & V. ταυτά. Ald. & Bas. νηφάλιοι.

8 Ita R. legi voluit, dedique cum W. idem ex E. & H. sumente, pro vulg. τοῦτον.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ

## ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

---

## PROOEMIUM.

Περὶ τῶν τῆς ψυχῆς καὶ σώματος ἡδονῶν, ὦ Σόσσιε Σενεκίων, ἣν σὺ νῦν ἔχεις γνώμην, ἐμοὶ γᾶν [1] ἄδηλόν ἐςιν,

— Ἐπειὴ [2] μάλα πολλὰ μεταξὺ
Οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα·

πάλαι γε μὴν ἐδόκεις μὴ [3] πάνυ τι συμφέρεσθαι, μηδ' ἐπαινεῖν τὰς ἐδὲν ἴδιον τῇ ψυχῇ τερπνὸν, ἐδὲ χαρτὸν, ἐδὲ αἱρετὸν ὅλως [4], ἀλλ' ἀτέχνως τῷ σώματι παραζῶσαν αὐτὴν οἰομένας τοῖς ἐκείνε συνεπιμειδιᾶν πάθεσι, καὶ πάλιν αὖ συνεπισκυθρωπάζειν, ὥσπερ ἐκμαγεῖον, ἢ κάτοπτρον, εἰκόνας καὶ εἴδωλα τῶν ἐν σαρκὶ γινομένων αἰσθήσεων ἀναδεχομένην. ἄλλοις τε γὰρ πολλοῖς ἁλίσκεται ψευδὲς [5] τὸ ἀφιλόκαλον τᾶ δόγματος, ἔν τε τοῖς πότοις οἱ ἀςεῖοι καὶ χαρίεντες εὐθὺς μετὰ τὸ δεῖπνον ἐπὶ τὰς λόγας, ὥσπερ δευτέρας τραπέζας, φερόμενοι, καὶ διὰ λόγων εὐφραίνοντες ἀλλήλας, ὧν σώματι μέτεςιν ἐδὲν, ἢ βραχὺ παντάπασιν, ἴδιόν τι τᾶτο τῇ ψυχῇ ταμιεῖον εὐπαθειῶν ἀποκεῖσθαι μαρτυρᾶσι, καὶ ταύ-



1 R. susp. ἐμοὶ μὲν ἄδ.

2 Iliad. I. 156. sq. Ald. Bas. ἐπεὶ ἢ μάλα.

3 Turn. & V. pro μὴ dant μοι.

4 Turn. & V. ὅλως εἶναι, vel ὑπάρχειν.

5 Ald. & Bas. Xyl. E. H. Palat. ψεῦδος. Steph. cum Anon. & Vatic. ψεύδεσι; Mez. ψεύδας; R. leg. susp. ψευδὲς ὂν; Salmas. correxit ψευδὲς τό; Idem e Turn. & V. notatur, dedique cum W.

ταύτας [1] ἡδονὰς μόνας εἶναι τῆς ψυχῆς, ἐκείνας δ' ἀλλοτρίας, προσαναχρωννυμένας τῷ σώματι. ὥσπερ ἂν [2] αἱ τὰ βρέφη ψωμίζουσαι τροφοὶ μικρὰ μετέχουσι τῆς ἡδονῆς· ὅταν δ' ἐκεῖνα κορέσωσι [3] καὶ κοιμίσωσι παυσάμενα κλαυθμυρισμῶν [4], τηνικαῦτα καθ' ἑαυτὰς γινόμεναι, τὰ πρόσφορα σιτία καὶ ποτὰ λαμβάνουσι καὶ ἀπολαύουσιν· οὕτως ἡ ψυχὴ τῶν περὶ πόσιν καὶ βρῶσιν ἡδονῶν μετέχει, ταῖς τοῦ σώματος ὀρέξεσι, δίκην τιτθῆς, ὑπηρετοῦσα, καὶ χαριζομένη δεομένῳ, καὶ πραΰνουσα τὰς ἐπιθυμίας· ὅταν δ' ἐκεῖνο μετρίως ἔχῃ, καὶ ἡσυχάσῃ, πραγμάτων ἀπαλλαγεῖσα καὶ λατρείας, ἤδη [5] τὸ λοιπὸν ἐπὶ τὰς αὑτῆς ἡδονὰς τρέπεται, λόγοις εὐωχουμένη καὶ μαθήμασι καὶ ἱστορίαις, καὶ τῷ ζητεῖν τι ἀκούειν τῶν περιττῶν. καὶ τί ἄν τις λέγοι περὶ τούτων, ὁρῶν, ὅτι καὶ οἱ φορτικοὶ καὶ αφιλόλογοι μετὰ τὸ δεῖπνον ἐφ' ἡδονὰς ἑτέρας τοῦ σώματος ἀπωτάτω τὴν διάνοιαν ἀπαίρουσιν, αἰνίγματα καὶ γρίφους καὶ θέσεις ὀνομάτων ἐν ἀριθμοῖς ὑποσύμβολα [6] προ-

1 Dedi ſic e W. mente pro vulg. τὰς ἡδ. Turn. & V. ταύτας τὰς ἡδονάς, quod R. probavit. Aſſertur quoque e Turn. τινας, nec non deinde μόνης.

2 Dedi ſic cum W. e Turn. & V. accedente Xyl. pro vulg. ὥσπερ νῦν.

3 Dedi ſic, R. probante, cum W. e Turn. & V. pro vulg. κορεσθῶσι. Ex iisdem notatur porro κοιμισθῶσι.

4 Dedi ſic, R. probante, cum W. e Turn. V. Bong. Accedunt Palat Leonic. Schott. Xyl. Mez. Vulgo κλαυθμυρισμόν.

5 R. mavult λατρείας, τότ' ἤδη.

6 Frſt. & R. duabus vocibus ὑπὸ σύμβολα. Hinc R. quærit, an ſit unum vocabulum ὑποσύμβολα, nonnihil ſymbolica vel obſcura & indiciis levibus adumbrata. Legi autem mavult ἐν ἀριθμοῖς καὶ ἄλλα ὑποσύμβολα προβ. Eodem docente, poſitiones nominum in numeris ſunt illae propoſitiones aenigmaticae, quando nomen aliquod, cujus literae certum aliquem numerum efficiunt, in medio ponitur eo fine, ut aliud nomen conjectura eliciatur, quod illi ſit ἰσόψηφον, cujus literae eundem numerum conficiant. De griphis cf. Athen. X. ſub fin. W. ſuſp. καὶ σύμβολα. Ald. Baſ. ἐναρίθμοις.

προβάλλοντες; ἐκ τέτε δὲ καὶ μίμοις καὶ ἠθολόγοις, καὶ Μενάνδρῳ καὶ τοῖς Μένανδρον ὑποκρινομένοις, τὰ συμπόσια χώραν ἔδωκεν, ὀδεμίαν ἀλγηδόνα τῦ σώματος [1] ὑπεξαιρεμένοις, ὀδὲ ποιῦσι λείαν ἐν σαρκὶ καὶ προσηνῆ κίνησιν, ἀλλ᾽ ὅτι τὸ Φύσει Φιλοθέαμον [2] ἐν ἑκάςῳ καὶ Φιλόσοφον τῆς ψυχῆς ἰδίαν τινὰ χάριν ζητεῖ καὶ τέρψιν, ὅταν τῆς περὶ τὸ σῶμα θεραπείας καὶ ἀσχολίας ἀπαλλαγῶμεν.

## QUAESTIO I.

Cur cum voluptate quadam audiamus eos, qui iratorum, vel moerentium, gestus repraesentant: iratos, aut dolentes, vere, moleste feramus [3]?

Περὶ ὧν [4] ἐγένοντο λόγοι, καὶ σῦ παρόντος ἐν Ἀθήναις ἡμῖν, ὅτε Στράτων, ὁ κωμῳδὸς, εὐημέρησεν, (ἦν γὰρ αὐτῦ πολὺς λόγος) ἑςιωμένων ἡμῶν παρὰ Βοηθῷ τῷ Ἐπικερείῳ· (συνεδείπνεν δ᾽ ὀκ ὀλίγοι τῶν ἀπὸ τῆς αἱρέσεως [5]) εἶτα οἱονεὶ Φιλολόγοις περιέςησεν ἡ τῆς κωμῳδίας μνήμη τὸν λόγον εἰς ζήτησιν αἰτίας, δι᾽ ἣν ὀργιζομένων, ἢ λυπεμένων, ἢ δεδιότων, Φωνὰς ἀκόοντες ἀχθόμεθα καὶ δυσκολαίνομεν, οἱ δὲ ὑποκρινόμενοι ταῦτα τὰ πάθη, καὶ μιμέμενοι τὰς Φωνὰς αὐτῶν καὶ τὰς διαθέσεις εὐΦραίνεσιν ἡμᾶς. ἐκείνων μὲν ὖν ἁπάντων σχεδὸν εἷς ἦν λόγος· ἔΦασαν γὰρ, ἐπειδὴ κρείττων ὁ μιμέμενός ἐςι τῦ πάσχοντος ἀλη-



1 Ita Xyl. legi voluit, & R. e Turn. probavit pro vulg. τῦ ὄμματος, dedique cum W. Accedunt Amiot. & Mez.

2 Ita Xyl. H. Steph. & R. legendum monuerunt, dedique cum W. accedentibus Amiot. Anon. Mez. Vulgo Φιλόθεσμον.

3 Personae colloquii sunt Plutarchus, Boethus.

4 R. nimis abruptum hoc, & nonnulla excidisse videntur.

5 Ald. Bas. οἱ ἀπὸ διαιρέσεως. Xyl. corrigendum monuit, deditque Steph.

ἀληθῶς, καὶ τῷ μὴ [1] πεπονθέναι διαφέρει, συνιέντας ἡμᾶς τέτε τέρπεσθαι καὶ χαίρειν.

II. Ἐγὼ δὲ, καίπερ ἐν ἀλλοτρίῳ χορῷ πόδα τιθεὶς, εἶπον, ὅτι φύσει λογικοὶ καὶ φιλότεχνοι γεγονότες, πρὸς τὸ λογικῶς καὶ τεχνικῶς πραττόμενοι οἰκείως διακείμεθα, καὶ θαυμάζομεν, ἂν ἐπιτυγχάνηται. καθάπερ γὰρ ἡ μέλιττα τῷ φιλόγλυκυς εἶναι, πᾶσαν ὕλην, ᾗ τι [2] μελιτῶδες ἐγκέκραται, περιέπει καὶ διώκει· ὅτως ὁ ἄνθρωπος, γεγονὼς φιλότεχνος καὶ φιλόκαλος, πᾶν ἀποτέλεσμα καὶ πρᾶγμα νᾶ καὶ λόγε μετέχον, ἀσπάζεσθαι [3] καὶ ἀγαπᾷν πέφυκεν. εἰ γᾶν παιδίῳ μικρῷ προσθείη τις ὁμᾶ μικρὸν [4] μὲν ἄρτον, ὁμᾶ δὲ πεπλασμένον ἐκ τῶν ἀλεύρων κυνίδιον, ἢ βοίδιον, ἐπὶ τᾶτ' ἂν ἴδοις φερόμενον· καὶ ὁμοίως εἴ τις [5] ἀργύριον ἄσημον, ἕτερος δὲ ζώδιον ἀργυρᾶν, ἢ ἔκπωμα, παραςαίη [6] διδὰς, τᾶτ' ἂν λάβοι μᾶλλον, ᾧ τὸ τεχνικὸν καὶ λογικὸν ἐνορᾷ [7] καταμεμιγμένον. ὅθεν καὶ τῶν λόγων τοῖς ἠνιγμένοις χαίρεσι μᾶλλον οἱ τηλικᾶτοι, καὶ τῶν παιδιῶν ταῖς περιπλοκήν τινα καὶ δυσκολίαν ἐχέσαις· ἕλκει γὰρ ὡς οἰκεῖον ἀδιδάκτως τὴν φύσιν τὸ

1 Ald. Bas. τῷ μὲν, & deinde ἡμᾶς τᾶ τέρπεσθαι. Hinc Xyl. legendum monet τῷ μὴ πεπ. & ἡμᾶς τᾶτο τ. Prius probavit & dedit Steph. pro τᾶτο autem τέτε reposuit.

2 Ald. Bas. ᾗ τινι, Xyl. correxit. Turn. V. ὕλην τι, vel ᾗ τινι, vel εἴ τινι.

3 Ald. Bas. ἀσπάζεται. Turn. ἀσπάζεσθαι.

4 R. μικρὸν delendum censuit. W. autem vult legi παιδίῳ προσθείη τις ὁμᾶ μὲν μικρὸν ἄρτον, ὁμᾶ δὲ μικρὸν ἐκ τῶν αὐτῶν ἀλεύρων πεπλασμένον κυνίδιον —. R. quoque voluit ἐκ τῶν αὐτῶν ἀλ.

5 Vulgo absunt εἴ τις. Ea inserenda duxit R. e Turn. & V. nec non W. ex iisdem & Anon.

6 E Frst. transiit in R. διαςαίη. Reposui priorem lectionem.

7 Ald. Bas. ἐν ἀγορᾷ. Xyl. correxit.

τὸ γλαφυρὸν καὶ πανοῦργον. ἐπεὶ τοίνυν ὁ μὲν [1] ἀληθῶς ὀργιζόμενος, ἢ λυπούμενος, ἔν τισι κοινοῖς πάθεσι καὶ κινήμασιν [2] ὁρᾶται, τῇ δὲ μιμήσει πανουργία τις ἐμφαίνεται καὶ πιθανότης, ἄν περ ἐπιτυγχάνηται, τούτοις μὲν ἥδεσθαι πεφύκαμεν, ἐκείνοις δ' ἀχθόμεθα. καὶ γὰρ ἐπὶ τῶν θεαμάτων ὅμοια πεπόνθαμεν· ἀνθρώπους μὲν γὰρ ἀποθνήσκοντας καὶ νοσοῦντας, ἀνιαρῶς ὁρῶμεν· τὸν δὲ γεγραμμένον Φιλοκτήτην, καὶ τὴν πεπλασμένην Ἰοκάστην, ἧς φασιν εἰς τὸ πρόσωπον ἀργύρου τι συμμῖξαι τὸν τεχνίτην, ὅπως ἐκλιπόντος ἀνθρώπου [3] καὶ μαραινομένου λάβῃ περιφάνειαν ὁ χαλκὸς, ἡδόμεθα ὁρῶντες [4] καὶ θαυμάζομεν. τοῦτο δ', εἶπον, ἄνδρες Ἐπικούρειοι, καὶ τεκμήριόν ἐστι μέγα τοῖς Κυρηναϊκοῖς πρὸς ὑμᾶς [5] τοῦ μὴ περὶ τὴν ὄψιν εἶναι, μηδὲ περὶ τὴν ἀκοὴν, ἀλλὰ περὶ τὴν διάνοιαν ἡμῶν, τὸ ἡδόμενον [6] ἐπὶ τοῖς ἀκούσμασι καὶ θεάμασιν. ἀλεκτορὶς γαρ βοῶσα συνεχῶς καὶ κορώνη, λυπηρὸν ἄκουσμα καὶ

1 Torn. V. Boug. ὁ μὴ ἀληθῶς. Eandem lectionem H. Steph. notat e vet. cod. at rejiciendam monet.

2 Ita R. cum Salmas. legendum monuit — *motibus animi* — dedique, W. probante, pro vulg. μιμήμασιν.

3 Ita R. ex Ald. & Bas. reponendum monuit, *ut hominis animo delinquentis speciem accipiat aes*, vel aenea statua — dedique cum W. accedentibus Xyl. Palat. Vatic. & per compendium ἀνου E. F. nec non vertendo exprimente Amiot. pro ἀργυρίου, quod Steph. receperat, statuens, ἀνθρώπου locum hic habere posse non videri, & pro ἀργύρου, quod paulo ante legitur, χαλκοῦ commendans.

4 Pro περιφάνειαν W. susp. ἐπιφάνειαν. Paulo post inserui ὁρῶντες e V. quod vulgo abest, & H. Steph. & R. desiderarunt, W. quidem non idem sentiente. Possit, si ita malis, e communi subintelligi.

5 Sic Xyl. legendum monuit, vertitque, & dedi, R. jubente, cum W. idem ex E. H. Schott. Mez. sumente, pro vulg. ἡμᾶς.

6 Ald. Bas. τὸν ἡδόμενον. In aliis edd. fuisse τὸν δεόμενον, H. Steph. notat, qui dedit τὸ ἡδόμ.

καὶ ἀηδές ἐςιν· ὁ δὲ μιμέμενος ἀλεκτορίδα βοῶσαν καὶ κορώνην, εὐφραίνει. καὶ Φθισικὲς μὲν ὁρῶντες, δυχεραίνομεν· ἀνδριάντας δὲ καὶ γραφὰς φθισικῶν ἡδέως θεώμεθα, τῷ τὴν διάνοιαν ὑπὸ τῶν μιμημάτων ἄγεσθαι κατὰ τὸ [1] οἰκεῖον. ἐπεὶ τί πάχοιτες, ἢ τίνος ἔξωθεν γενομένε πάθες, τὴν Παρμένοντος ὖν [2] ὕτως ἐθαύμασαν, ὥςε παροιμιώδη γενέσθαι; καίτοι φασὶ τῦ Παρμένοντος εὐδοκιμῦντος ἐπὶ τῇ μιμήσει, ζηλῦντας ἑτέρες ἀντεπιδείκνυσθαι· προκατειλημμένων δὲ τῶν ἀνθρώπων, καὶ λεγόντων· Εὖ μὲν, ἀλλ' ἐδὲν πρὸς τὴν Παρμένοντος ὖν· ἕνα λαβόντα δελφάκιον ὑπὸ μάλης, προσελθεῖν· ἐπεὶ δὲ καὶ τῆς ἀληθινῆς φωνῆς ἀκέοντες ὑπεφθέγγοντο· Τί ἒν αὕτη πρὸς τὴν Παρμένοντος; συναφεῖναι [3] τὸ δελφάκιον εἰς τὸ μέσον, ἐξελέγχοντα τῆς κρίσεως τὸ πρὸς δόξαν, ἐ πρὸς ἀλήθειαν· ᾧ μάλιςα δῆλόν ἐςιν, ὅτι τὸ αὐτὸ τῆς αἰσθήσεως πάθος ἐχ ὁμοίως διατίθησι τὴν ψυχὴν, ὅταν μὴ προσῇ δόξα τῦ λογικῶς ἢ φιλοτίμως περαίνεσθαι τὸ γενόμενον.

## QUAESTIO II.

### Poeticam concertationem antiquam fuiſſe [4].

Ἐν Πυθίοις ἐγίνοντο λόγοι περὶ τῶν ἐπιθέτων ἀγωνισμάτων, ὡς ἀναιρετέα. παραδεξάμενοι γὰρ ἐπὶ τρισὶ τοῖς καθεςῶσιν ἐξαρχῆς, αὐλητῇ Πυθικῷ [5], καὶ κιθαριςῇ, καὶ κιθαρῳδῷ, τὸν τραγῳδὸν, ὥσπερ πύλης ἀνοιχθείσης, ἐκ ἀντέχον ἀθρόοις συνεπιτιθεμένοις καὶ συν-

1 Vulgo καὶ κατὰ τὸ οἰ. Hinc R. voluit, aut ἄγεσθαι πρὸς τὸ οἰ. aut ἄγεσθαι καὶ ἀσπάζεσθαι, vel θαυμάζειν vel κατανοεῖν, τὸ οἰ. Delevi καὶ e W. mente.

2 Abeſt ὖν ab Ald. Eadem deinde καί τι φασι.

3 Baſ. τί ἒν αὐτὴ πρὸς τὴν Παρμένοντος (non Παρμένοντα, uti extat in ind. var.) ὖν, ἀφεῖναι

4 Perſonae colloquii ſunt Plutarchus, Petraeus.

5 Quem *Pythiaulen*, vel *Pythaulen*, vocant. Salm.

συνεισῆσθαι παντοδαποῖς ἀκροάμασιν· ὑφ' ὧν ποικιλίαν μὲν ἔσχεν οὐκ ἀηδῆ καὶ πανηγυρισμὸν ὁ ἀγὼν, τὸ δ' αὐστηρὸν καὶ μουσικὸν οὐ διεφύλαξεν, ἀλλὰ καὶ πράγματα τοῖς κρίνουσι παρέσχε, καὶ πολλὰς (ὡς εἰκὸς) ἡττωμένων πολλῶν ἀπεχθείας. οὐχ ἥκιστα δὲ τὸ τῶν λογογράφων καὶ ποιητῶν ἔθνος ᾤοντο δεῖν ἀποσκευάσασθαι τοῦ ἀγῶνος, οὐχ ὑπὸ μισολογίας, ἀλλὰ πολὺ πάντων τῶν ἀγωνιστῶν γνωριμωτάτους ὄντας, ἐδυσωποῦντο τούτους καὶ ἤχθοντο, πάντας ἡγούμενοι χαρίεντας, οὐ πάντων δὲ [1] νικᾶν δυναμένων. ἡμεῖς οὖν ἐν τῷ συνεδρίῳ παρεμυθούμεθα τοὺς καθεστῶτα [2] κινεῖν βουλομένους, καὶ τῷ ἀγῶνι, καθάπερ ὀργάνῳ, πολυχορδίαν καὶ πολυφωνίαν ἐπικαλοῦντας. καὶ παρὰ τὸ δεῖπνον, ἑστιῶντος ἡμᾶς Πετραίου τοῦ ἀγωνοθέτου, πάλιν ὁμοίων [3] λόγων προσπεσόντων, ἠμύνομεν τῇ μουσικῇ· τήν τε ποιητικὴν ἀπεφαίνομεν [4] οὐκ ὄψιμον, οὐδὲ νεαρὰν, ἐπὶ τοὺς ἱεροὺς ἀγῶνας ἀφιγμένην, ἀλλὰ πρόπαλαι στεφάνων ἐπινικίων τυγχάνουσαν. ἐνίοις μὲν οὖν ἐπίδοξος ἤμην ἕωλα παραθήσειν πράγματα [5], τὰς Οἰολύκου τοῦ Θετταλοῦ ταφὰς, καὶ τὰς Ἀμφιδάμαντος τοῦ Χαλκιδέως, ἐν αἷς Ὅμηρον καὶ Ἡσίοδον ἱστοροῦσιν ἔπεσι διαγωνίσασθαι. καταβαλὼν δὲ ταῦτα, τῷ διατεθρυλλῆσθαι πάντα ὑπὸ τῶν γραμματικῶν, καὶ τοὺς ἐπὶ ταῖς Πατρόκλου ταφαῖς ἀναγινωσκομένους ὑπό τινων οὐχ ἥμονυχας,

1 Abest δὲ a Turn. & V.

2 R. mavult τοὺς τὰ καθεστῶτα.

3 Dedi ὁμοίων e Turn. cum W. pro vulg. ὁμοίως.

4 Vulgo τῇ μουσικῇ. τὴν δὲ ποιητικὴν ἀποφαίνομεν. Necesse duxi, haec corrigere. W. quoque legit, quod dedi. R. ita susp. ἤμυνον μὲν τῇ μουσικῇ, τὴν δὲ ποιητικὴν ἀπεφαινόμην.

5 Turn παραδείγματα. Pro Οἰολύκου Turn. & V. Αὐτολύκου. Cf. deinde Fabr. B. Gr. T. I. p. 370. nec non Plut. Opp. Vol. VIII. p. 22. sq.

νας [1], ἀλλὰ ῥήμονας, ὡς δὴ καὶ λόγων ἄεθλα τοῦ Ἀχιλλέως προσθέντος, ἀφεὶς· εἶπον, ὅτι καὶ Πελίαν θάπτων Ἄκαστος ὁ υἱὸς ἀγῶνα ποιήματος παρέχοι, καὶ Σίβυλλα νικήσειεν. ἐπιφυομένων δὲ πολλῶν, καὶ τὸν [2] βεβαιωτὴν, ὡς ἀπίστου καὶ παραλόγου τῆς ἱστορίας, ἀπαιτούντων, ἐπιτυχῶς ἀναμνησθεὶς ἀπέφαινον Ἀκέσανδρον [3] ἐν τῷ περὶ Λιβύης ταῦτα ἱστοροῦντα. καὶ τοῦτο μὲν, ἔφην, τὸ ἀνάγνωσμα τῶν οὐκ ἐν μέσῳ ἐστί· τοῖς δὲ Πολέμωνος [4] τοῦ Ἀθηναίου περὶ τῶν ἐν Δελφοῖς θησαυρῶν οἶμαι ὅτι πολλοῖς ὑμῶν ἐντυγχάνειν ἐπιμελές ἐστι, καὶ χρὴ, πολυμαθοῦς καὶ οὐ νυστάζοντος ἐν τοῖς Ἑλληνικοῖς πράγμασιν ἀνδρός· ἐκεῖ τοίνυν εὑρήσετε γεγραμμένον, ὡς ἐν τῷ Σικυωνίῳ θησαυρῷ χρυσοῦν ἀνέκειτο βιβλίον Ἀριστομάχης ἀνάθημα τῆς Ἐρυθραίας ποιητρίας [5], Ἴσθμια νενικηκυίας. οὐ μὴν οὐδὲ

1 Vulgo ἀναγινωσκομένους ὑπόλκων οὐ χήμονας. Jam Xyl. notavit, se ὑπόλκων non assequi. Fuit quoque dubius de praemisso καταβαλὼν, & deinde ex Hom. Iliad. XXIII, 886. legendum monuit οὐχ ἥμονας. R. hanc correctionem probavit, simul legens ὑπό τινων, quod cum altero dedi, pro ὑπόλκων, ut sit loci sensus: *omittens etiam illos Homericos in Patrocli funere certantes ῥήμονας, seu oratores, juxta quorundam scilicet lectionem, illam vulgatam ἥμονες repudiantium, quos si sequereris, eloquentiae quoque praemia concertationi proposuisset Achilles.* Turn. & V. ὑπ' ὄχλων οὐχ ἥμονας; Turn. iterum ὑπ' ὀλίγων. W. dedit ὑπό τινων ex E. ut melius certe corrupto vulgato, notans, Venet. cum lacunula habere ὑπο * κων; nec non ex Hom. reposuit οὐχ ἥμονας loco vulgatae omnium librorum lectionis. V. deinde ἆθλα; Ald. Bas. Πελίην pro Πελίαν.

2 Ald. Bas. καὶ τινα β. Ab utraque abest καὶ post ἀπίστου.

3 E. Ἀλέξανδρον, W. teste, & vulgatam praeferente.

4 Est ille Polemo, qui πίνακας scripsit, de quo vid. Fabric. B. Gr. T. II. p. 602. Fuit στηλοκόπας appellatus a studio statuarum inscriptiones exscribendi. R.

5 Vulgo ἀναθήματα τῆς ἐρυ * ποιητρίας. Ald. & E. ποιηματίας. Xyl. τῆς Ἐρυθραίας conjecit. R. consensit, & ἀνάθημα

ἐδὲ τὴν ὀλυμπίαν (ἔφην) ἄξιόν ἐςιν, ὥσπερ εἱμαρμένην ἀμετάςατον καὶ ἀμετάθετον ἐν τοῖς ἀθλήμασιν, ἐκπεπλῆχθαι [1]. τὰ μέν γε Πύθια τῶν μεσικῶν ἔχε τρεῖς ἢ τέτταρας ἐπεισοδίες ἀγῶνας· ὁ δὲ γυμνικὸς ἀπ' ἀρχῆς, ὡς ἐπὶ τὸ πλεῖςον, ἕτως κατέςη. τοῖς δ' Ὀλυμπίοις πάντα προσθήκη, πλὴν τε δρόμε, γέγονε· πολλὰ δὲ καὶ θέντες, ἔπειτ' ἀνεῖλον, ὥσπερ τὸν τῆς κάλπης ἀγῶνα καὶ τὸν τῆς ἀπήνης· ἀνῃρέθη δὲ καὶ παισὶ πεντάθλοις ςέφανος τεθείς· καὶ ὅλως πολλὰ περὶ τὴν πανήγυριν νενεωτέριςαι. Δέδια δ' εἰπεῖν [2], ὅτι πάλαι καὶ μονομαχίας ἀγὼν περὶ Πίσαν ἤγετο μέχρι φόνε καὶ σφαγῆς τῶν ἡττωμένων καὶ ὑποπιπτόντων, μή με πάλιν ἀπαιτῆτε [3] τῆς ἱςορίας βεβαιωτήν, κἂν διαφύγῃ τὴν μνήμην ἐν οἴνῳ τὸ ὄνομα, καταγέλαςος γένωμαι.

QUAE-

θημα legendum monuit. Utrumque e Turn. & V. affertur, & dedi cum W. In ἀνάθημα consentiunt H. Mez. prope accedente ἀνάθεμα in Venet. Vatic. in Ἐρυθραίας Palat. Mez., & in ποιητρίας Baf. Xyl. Steph. Leonic. Schott. In H. Venet. Palat. Vatic. eft ποιημάτων; Plenius Palat. Ἐρυθραίας ἐπικῷ ποιημάτων. Cf. Petr. Faber Agoniftic. I. 3. & Olearius in diff. de poëtriis graecis p. 130. editionis a Wolfio curatae.

1 H. Steph. fufp. ἐμπεπλέχθαι. Ita notatur e Turn. & V. Deinde W. cum Mez. legi vult Τὰ μὲν γὰρ pro Τὰ μέν γε.

2 Vulgo διὰ δὲ τί εἶπεν ex Steph. confentientibus Leonic. & Schott. In Ald. fuit δὲ διὰ εἶπεν; in Baf. Xyl. E. H. Venet. Vatic. διὰ δ' εἶπεν. Inde R. efficiendum monuit, quod dedi — *metuo autem hoc quoque dicere*, addens, fi δέ τι εἰπεῖν in cod. mftis fuerint, effici ex eo oportere δέδια δ' ἔτι εἰπεῖν, vel δέδια δ' ἐπειπεῖν. Turn. & V. δέδοα δ' εἶπεν vel εἶπον. Idem recepit W. quandoquidem proxime acceflerit fcriptura Palat. & Anon. δέδια δ' εἶπεν,

3 Dedi fic cum W. e Xyl. mente. Ald. E. H. Venet. Pal. Vat. ἀπατᾶτε. Baf. ἀπαρτῆτε; Vulgo ἀπαιτεῖτε e Steph. confentientibus Leonic. & Schott.

## QUAESTIO III.

Quid caufae fit, quod pinus Neptuno et Baccho facra habetur: et quod initio e pinu corona victoribus Ifthmico certamine data eft, deinde ex apio, nunc rurfum pinea [1]?

Ἡ πίτυς ἐζητεῖτο καθ' ὃν λόγον ἐν Ἰσθμίοις στέμμα γέγονε· καὶ γὰρ ἦν τὸ δεῖπνον ἐν Κορίνθῳ, Ἰσθμίων ἀγομένων, ἑστιῶντος ἡμᾶς [2] Λουκανίου τοῦ ἀρχιερέως. Πραξιτέλης μὲν οὖν, ὁ περιηγητὴς, τὸ μυθῶδες ἐπῆρεν, ὡς λεγόμενον εὑρεθῆναι τὸ σῶμα τοῦ Μελικέρτου πίτυϊ προσβεβρασμένον ὑπὸ τῆς θαλάττης· καὶ γὰρ οὐ πρόσω Μεγάρων εἶναι τόπον, ὃς Καλῆς δρόμος ἐπονομάζεται, δι' οὗ φᾶναι Μεγαρεῖς τὴν Ἰνὼ τὸ παιδίον ἔχουσαν δραμεῖν ἐπὶ τὴν θάλασσαν. κοινῶς δὲ ὑπὸ πολλῶν λεγομένου [3], ὡς ἴδιόν ἐστι στέμμα Ποσειδῶνος ἡ πίτυς, Λουκανίου δὲ προστιθέντος, ὅτι καὶ τῷ Διονύσῳ καθωσιωμένον τὸ φυτὸν, οὐκ ἀπὸ τρόπου ταῖς περὶ τὸν Μελικέρτην συνῳκείωται τιμαῖς, αὐτὸ τοῦτο ζήτησιν παρεῖχεν, ᾧτινι λόγῳ Ποσειδῶνι καὶ Διονύσῳ τὴν πίτυν οἱ παλαιοὶ καθωσίωσαν. ἐδόκει δέ μοι [4] μηδὲν εἶναι παράλογον· ἀμφότεροι γὰρ οἱ θεοὶ τῆς ὑγρᾶς καὶ γονίμου κύριοι δοκοῦσιν ἀρχῆς εἶναι· καὶ Ποσειδῶνί γε φυταλμίῳ, Διονύσῳ δὲ δενδρίτῃ, πάντες (ὡς ἔπος εἰπεῖν) Ἕλληνες θύουσιν. οὐ μὴν ἀλλὰ κατ' ἰδίαν τῷ Ποσειδῶνι φαίη τις ἂν τὴν πίτυν προσήκειν· οὐχ ὡς Ἀπολ-

1 Perfonae colloquii funt Lucanius, Praxiteles.

2 Dedi ἡμᾶς, R. jubente, e Turn. & V. pro vulg. ἡμῖν. Idem legendum monet W. & notat fimul ex Anon. E Frft. deinde in R. tranfiit Λυκανίου. Hinc R. legi voluit Λυσανίου, cum *Lycanius* non fit graecum nomen. Reftitui Λουκανίου.

3 Sic R. dari voluit dedique pro vulg. λεγομένων. Ald. Baf. Xyl. λεγόμενον. W. probat correctionem, notans fcriptos libros tueri vulgatam.

4 Ald. Baf. pro μοι dant μιν.

Ἀπολλόδωρος οἴεται παράλιον φυτὸν εἶναι, οὐδὲ ὅτι φιλήνεμός ἐστιν, ὥσπερ ἡ θάλασσα, (καὶ γὰρ τοῦτό τινες λέγουσιν) ἀλλὰ διὰ τὰς ναυπηγίας μάλιστα. καὶ γὰρ αὐτὴ καὶ τὰ ἀδελφὰ δένδρα, πεῦκαι καὶ στρόβιλοι, τῶν τε ξύλων παρέχει τὰ πλοϊμώτατα, πίττης [1] τε καὶ ῥητίνης ἀλοιφὴν, ἧς ἄνευ τῶν συμπαγέντων ὄφελος οὐδὲν ἐν τῇ θαλάττῃ. τῷ δὲ Διονύσῳ τὴν πίτυν ἀνιέρωσαν, ὡς ἐφηδύνουσαν τὸν οἶνον· κατὰ γὰρ τὰ [2] πιτυώδη χωρία λέγουσιν ἡδὺν οἶνον τὴν ἄμπελον φέρειν· καὶ τὴν θερμότητα τῆς γῆς Θεόφραστος αἰτιᾶται· καθόλου γὰρ ἐν ἀργιλώδεσι τόποις φύεσθαι τὴν πίτυν· εἶναι δὲ τὴν ἄργιλον θερμὴν, διὸ καὶ συνεκπέττειν τὸν οἶνον, ὥσπερ καὶ τὸ ὕδωρ ἐλαφρότατον καὶ ἥδιστον ἡ ἄργιλος ἀναδίδωσιν· ἔτι δὲ καὶ καταμιγνυμένη πρὸς σῖτον ἐπίμετρον ποιεῖ δαψιλὲς, ἀδρύνουσα καὶ διογκοῦσα τῇ θερμότητι τὸν πυρόν. οὐ μὴν ἀλλὰ καὶ τῆς πίτυος αὐτῆς εἰκὸς ἀπολαύειν τὴν ἄμπελον, ἐχούσης ἐπιτηδειότητα πολλὴν πρὸς σωτηρίαν οἴνου καὶ διαμονήν. τῇ τε γὰρ πίττῃ [3] πάντες ἐξαλείφουσι τὰ ἀγγεῖα, καὶ τῆς ῥητίνης ὑπομιγνύουσι πολλοὶ τῷ οἴνῳ, καθάπερ Εὐβοεῖς τῶν Ἑλληνικῶν [4] καὶ τῶν Ἰταλικῶν

1 Recte sic in Baf. legi, R. monuit, dedique cum W. pro vulg. πίτυος. Favent lectioni Palat. Xyl. Amiot. Mez. & Turn. similiter πίσσης. E. H. Venet. Vatic. Leonic. πιτὺς; Steph. vulgatam ex Ald. sumsit.

2 Vulgo τὰ γὰρ absque κατὰ. Hinc R. aut pro τὰ legendum monuit κατὰ, aut delendum deinceps τὴν ἄμπελον. Plene dedi, quod e Turn. & V. affertur. Addit R. blandiri quidem Turnebi conjecturam ἡδύοινον τὴν ἄμπελον, sed insolentius esse dicere, regionem ferre ἄμπελον ἡδύοινον, quam οἶνον ἡδύν. Vitis vinum potius fert, quam solum vitem. W. tamen e Turn praetulit ἡδύοινον, eo ducente ἡδὺ οἶνον in Venet. & Vatic.

3 Iterum dedi πίττῃ pro vulg. πίτυϊ cum W. e Baf. Palat. Xyl. Amiot. Mez.

4 Ald. Ἑλλανοδικῶν; Baf. & rell. edd. Ἑλλαδικῶν. E Turn. V.

κῶν οἱ περὶ τὸν Πάδον οἰκῦντες· ἐκ δὲ τῆς περὶ Βίενναν Γαλατίας ὁ πισσίτης οἶνος κατακομίζεται, διαφερόντως τιμώμενος ὑπὸ Ῥωμαίων· ὐ γὰρ μόνον εὐωδίαν τινὰ τὰ τοιαῦτα προσδίδωσιν, ἀλλὰ καὶ τὸν οἶνον εὐφυῆ [1] παρίστησι ταχέως ἐξαίρων τῇ θερμότητι τῦ οἴνυ τὸ νεαρὸν καὶ ὑδατῶδες.

II. Ὡς δὲ ταῦτ' ἐῤῥήθη, τῶν ῥητόρων ὁ μάλιστα δοκῶν ἀναγνώσμασιν ἐντυγχάνειν ἐλευθερίοις [2]. Ὦ πρὸς θεῶν, (εἶπεν) ὐ γὰρ ἐχθὲς ἡ πίτυς ἐνταῦθα καὶ πρώην στέμμα γέγονε τῶν Ἰσθμίων, πρότερον δὲ τοῖς [3] σελίνοις ἐστέφοντο; καὶ τῦτό ἐστι μὲν ἐν τῇ κωμῳδίᾳ φιλαργύρυ τινὸς ἀκῦσαι λέγοντος·

Τὰ δ' Ἴσθμια ἀποδοίμην ἂν ἡδέως [4] ὅσυ
Ὁ τῶν σελίνων στέφανός ἐστιν ὤνιος·

ἱστορεῖ δὲ καὶ Τίμαιος ὁ συγγραφεὺς, ὅτι Κορίνθιοι, ὁπηνίκα μαχύμενοι πρὸς Καρχηδονίυς ἐβάδιζον ὑπὲρ τῆς Σικελίας, ἐνέβαλόν τινες σέλινα [5] κομίζοντες· οἰωνισαμένων [6] δὲ τῶν πολλῶν τὸ σύμβολον, ὡς ὐ χρηστὸν, ὅτι δοκεῖ τὸ σέλινον ἀνεπιτήδειον εἶναι, καὶ τὺς [7] ἐπισφαλῶς

V. Bong. notatur Ἑλλήνων vel Ἑλληνικῶν. Dedi posterius, W. probante, & consentientibus Anon. Leonic. Schott.

1 Sic Bas. Xyl. Steph. nec dissensus est notatus e Venet. attamen, W. judice, dubiae auctoritatis. Pal. ἐμποιεῖν. Forte hinc effingendum W. susp. εὔποτον.

2 R. legit Ἐλευθέριος, ut sit nomen proprium rhetoris. Sequitur eum Kaltw.

3 Pro δὲ τοῖς Ald. Bas. αὐτοῖς; V. αὐτοὶ; Turn. γὰρ τοῖς.

4 R. post ἡδέως punctum figendum monuit, ut ibi una persona loqui desinat, & altera deinde interrogare incipiat: ὅσυ, vel πόσυ, *quanti venit corona ex apio?* Sequitur eum Kaltw.

5 Vulgo τινες ὐ σέλινα. R. aut ὐ delendum monuit aut ejus loco legendum ὄνοι. Delevi auctoritate Bas. Abest quoque a W.

6 Turn. V. Bong. οἰωσαμένων. Bas. οἰωνωσαμένων.

7 Pro τὺς Ald. τό.

σφαλῶς νοσȣ̃ντας δεῖσθαι τȣ̃ σελίνȣ φαμὲν, ὡς [1] ὁ Τιμολέων ἐθάῤῥυνεν αὐτȣ̀ς, καὶ ἀνεμίμνησκε τῶν Ἰσθμοῖ [2] σελίνων, οἷς ἀναςέφȣσι Κορίνθιοι τȣ̀ς νικῶντας. ἔτι τοίνυν ἡ Ἀντιγόνȣ ναυαρχὶς ἀναφύσασα περὶ πρύμναν αὐτομάτως σέλινον, Ἰσθμία ἐπωνομάσθη. καὶ τȣ̃το δὴ τὸ σκολιὸν ἐπίγραμμα δῆλον κέραμέα νομίζει διαβεβυσμένην [3] σελίνῳ. σύγκειται δὲ ȣ̃τω·

Χθὼν ἡ Πελασγὴ [4], πυρὶ κατηθαλωμένη
Κεύθει κελαινὸν αἷμα, Διονύσȣ θοȣ̃ [5]
Ἔχȣσα κλῶνας Ἰσθμικȣ̀ς ἀνὰ ςόμα.

ἦ ταῦτα, εἶπεν, ἐκ ἀνέγνων τὴν πίτυν, ὡς ἐκ ἐπείσακτον, ȣ̓δὲ νέον, ἀλλὰ πάτριον, καὶ παλαιὸν δὲ ςεμμάτων Ἰσθμίων σεμνύνοντες. ἐκίνησεν ȣ̃ν νέȣς [6], ὡς ἂν πολυμαθὴς ἀνὴρ καὶ πολυγράμματος.

O 2 III.

1 R. aut deleri voluit ὡς, aut legi ὅμως, *nihilo minus*, vel σοφῶς, *scite*, *astute*.

2 Sic R. dari voluit, dedique e Turn. & V. pro vulg. Ἰσθμοῖς, cum W. accedente Anon. Adnotat R. porro: „hi sunt Dativi veteres. Vetusti homines ω non habebant, sed ejus loco scribebant ο. adscribebant jota, non subscribebant: hinc nata talia: Ἰσθμοῖ pro ἐν Ἰσθμῷ, οἴκοι pro ἐν οἴκῳ."

3 R. jam hanc vocem ita scriptam exhibet, quam W. sumsit ex E. H. Xyl. pro vulg. διαβεβισμένην. Reliqua corrupta R. ita sananda censet δῆλον, ὃ κεραμέαν ὁρίζει δ. σ. *notum est illud scolium epigramma, quod urnam fictilem describit perlusam, foliis apii*, seu cujus latera perreptant apii folia, arte figuli ipsi impressa. W. autem susp. δηλοῖ κεραμέαν οἰνηςηρίαν δ. σ. Turn. V. πῆλȣ κεράμια κομίζει διαβεβυσμένα σελίνῳ, vel πῆλον κεραμία νομίζει διαβεβυσμένον.

4 Ald. Bas. ἡ Παλλὰς γῆ; Turn. ἡ πυλὰς γῆ. Adr. Junius ad oram exempli sui & Animadv. 3, 7. p. 161. corrigit ἡ Παλλάδος γῆ: sed, W. docente, tum priora, ut Plutarchi verba mutanda sint in ȣ̃τως ἔχων.

5 Dedi sic cum W. ex Ald. Bas. Xyl. consentientibus H. Venet. Palat. Vatic. Vulgo θεȣ̃.

6 Pro ἦ ταῦτα Turn. & V. ἢ ταῦτα; Ald. porro ἐκ ἂν ἔγνω; Bas. ἐκ ἀνέγνω * τὴν π. Turn. & V. ἐκ ἀνέγνωσαν οἱ τὴν π. V. deinde παλαιὸν εἶμμα Ἰσθμίων, & cum Turn. ἐκίνησε

III. Ὁ μέντοι Λευκάνιος εἰς ἐμὲ βλέψας ἅμα καὶ μειδιῶν. Ὦ Πόσειδον (ἔφη) τοῦ πλήθους τῶν γραμμάτων; ἕτεροι δὲ ἡμῶν τῆς ἀμαθίας [1], ὡς ἔοικε, καὶ τῆς ἀνηκοΐας ἀπέλαυον [2] ἀναπείθοντες τοὐναντίον, ὡς ἡ μὲν πίτυς ἦν στέμμα τῶν ἀγώνων πάτριον, ἐκ δὲ Νεμέας κατὰ ζῆλον ὁ τοῦ σελίνου [3] ξένος ὢν ἐπεισῆλθε δι' Ἡρακλέα, καὶ κρατήσας, ἠμαύρωσεν ἐκεῖνον [4], ὡς ἱερὸν ἐπιτήδειον· εἶτα μέντοι χρόνῳ πάλιν ἀνακτησαμένη τὸ πάτριον γέρας ἡ πίτυς ἀνθεῖ τῇ τιμῇ. ἐγὼ γοῦν ἀνεπειθόμην [5] καὶ προσεῖχον, ὥστε καὶ τῶν μαρ-

νησε δ' αὐτόν, pro quo alind fimul e Turn. affertur ἐκίνησε ἐνίους. R. fufp. poſt εἶπεν nomen dicentis excidiſſe, & fic legendum: εἶτα, εἶπεν * οὐκ ἀνέγνως τοὺς τὴν πίτυν — καὶ παλαιὸν στέμμα τῶν Ἰσθμίων σεμνύνοντας — *itane vero, dicebat * tune illos non legiſti, qui pinum celebrant pro corona in Iſthmis non adventitia, ſed indigena & patriis moribus recepta*: & deinde ἐκίνησεν οὖν τοὺς νέους. W. ita corrigendum cenſet: Ταῦτα εἰπών, οὐκ ἀναγνοὺς τοὺς τὴν πίτυν ὡς οὐκ — καὶ παλαιὸν δὲ στέμμα τῶν Ἰσθμίων σεμνύνοντας, ἐκίνησε τοὺς νέους.

1 Se[c]utus fum W. ita ex Ald. Baf. Xyl. H. pro vulg. ἀμαθείας dantem.

2 Vulgo ἀπέλαβον. Pro eo, H. Steph. teſte, ex vet. exempl. annotatur ἀντέλαβον. Idem ipſe maluit ἀπέλαυον; Utraque lectio e Turn. V. Bong. affertur; R. probavit ἀπέλαυον, *indulgebant ſibi noſtram ſimplicitatem deridendo*, gaudioque ex ea re capiendo fe ſatiabant. Dedi fic cum W. accedentibus B. Xyl. Anon. Mez.

3 H. Steph. monente, aut defiderari, aut fubaudiendus relinqui videtur nominativus στέφανος.

4 W. ἐκείνην legendum monet. Pro ὡς ἱερὸν ἐπιτήδειον H. Steph. leg. mavult aut ὡς ἱεροῖς ἐπιτήδειος, aut ὡς ἱεροῖς οὐκ ἐπιτήδειον. Turn. & V. ὡς ἱεροῖς ἐπιτήδειον; R. mavult ὡς ἱεροῖς ἀνεπιτήδειον. W. fufp. ὡς ἥρωϊ ἀνεπιτήδειον.

5 Vulgo ἂν ἐπειθόμην. H. Steph. & R. uno verbo legendum monuerunt, & ita notatur e Turn. & Bong. dedique cum W.

μαρτυρίων ἐκμαθεῖν πολλὰ καὶ μνημονεύειν· Εὐφορίωνα μὲν ἔτω πως περὶ Μελικέρτε λέγοντα·

Κλαίοντες [1] δέ τε κῦρον ἐπ' αἰλίσι πιτύεσσι
Κάτθεσαν, ὁππότε δὴ σεφάνων ἄθλοις φορέονται.
Οὐ γάρ πω τρηχεῖα λάβη κατεμήσατο χειρῶν
Μήμης παῖδα Χάρωνα παρ' Ἀσωπε γενετείρῃ,
Ἐξότε πυκνὰ σέλινα κατὰ κροτάφων ἐβάλοντο.

Καλλίμαχον δὲ μᾶλλον διασαφεντα· λέγει δὲ ὁ Ἡρακλῆς αὐτῷ περὶ τε σελίνε·

Καί μιν Ἀλητίδαι πελὺ γεγειότερον [2]
Τεδε [3] παρ' Αἰγειῶνι θεῷ τελέοντες ἀγῶνα
Θήσεσι, νίκης σύμβολον Ἰσθμιάδος.

 Ζήλῳ

1 Euphorionis locus, W. monente, & re & verbis obſcurus. Etiam R. arduum eſſe monuit verſum hunc reſtituere ex ingenio in tanta rei vetuſtate & penuria veterum mythologorum. Addit, Aſopi, de quo dictus fuit fluvius apud Corinthum, matrem fuiſſe Cigluſam, auctore Pauſania, p. 138. ult. Vrs 1. Turn. V. ἐπ' αἰγιάλοισι ὑπ' αἰπῆσι (ſic). Turn. αἰγιλίπεσσι πιτίσσι. H. Steph. reponendum cenſet αἰγικλῖσι πίτυσσι. R. ſuſp. ἐπ' αἰνῆσι, apud pinus lugubres v. 2. R. mavult ὁππόθε δὴ σεφάνες, unde coronas pro certaminibus ſumunt. v. 3. Ald. Baſ. τρηχεῖαν λάβη; Turn. V. τρηχεῖα λαβὴ; v. 4. Turn. V. Μνήμης vel λίμνης παῖδα Χάρωνι; nec non Ἀσωπὸν γενετῆρα, vel παρ' Ἀσωπῷ γενετῆρι. V. 4. ἐξότε, R. decente, ſignificat *e quo tempore*.

2 Xyl. ſuſp. γεραιότερον. (Mendoſa haec in Frſt. edit. annotata eſſe, ob R. quaeſtionem monendum cenſui.) Ἀλητίδαι ſunt Corinthii, ab Aleta ſic dicti, qui unus e poſteritate Herculis cum Heraclidis in Peloponneſum rediit, ac Corinthum condidit. Vid. Pind. Schol. in Od. XIII. Olymp. nec non Vellej. Paterc. I. — Bentlei. Fragm. Callim. CIII. Ἀλητιάδαι. Idem Salmas. legit. R. dubius eſt, num pro γεγειότ. legendum ſit τελειότερον. Salmas. legit γεγειότεροι.

3 R. mavult τόνδε, cum redeat ad ἀγῶνα. Baſ. deinde παρὰ γεῶνι θεῷ. Hinc Xyl. corrigit παρ' Αἰγαιῶνι θεῷ τελέσαντες. Etiam R. ſcribi vult αἰγαιῶνι, ſicuti e Turn. notat u r Intelligitur Neptunus.

Ζήλῳ τῶν Νεμέηθε [1]. πίτυν δ' ἀποτιμήσουσιν,
Ἢ πρὶν [2] ἀγωνιςὰς ἔςεφε τὰς Ἐφύρῃ.

ἔτι δὲ οἶμαι Πατροκλέους [3] ἐντετυχηκέναι γραφῇ, περὶ τῶν Ἰσθμίων ἱςοροῦντος, ὅτι τὸν πρῶτον ἀγῶνα ἔθεσαν περὶ σεφάνου πιτυΐνου· ὕςερον δὲ τοῦ ἀγῶνος ἱεροῦ γενομένου, ἐκ τῆς Νεμεακῆς πανηγύρεως μετήνεγκαν ἐνταῦθα τὸν τοῦ σελίνου σέφανον. ὁ δὲ Πατροκλῆς οὗτος ἦν εἷς τῶν ἐν Ἀκαδημίᾳ Ξενοκράτει [4] συσχολασάντων.

## QUAESTIO IV.

### De eo, quod eſt apud Homerum [5], Ζωρότερον δὲ κέραιρε.

Γελοῖος ἐδόκει τισὶ τῶν συνδειπνούντων ὁ Ἀχιλλεὺς, ἀκρατώτερον ἐγχεῖν τὸν Πάτροκλον κελεύων, εἶτ' αἰτίαν τοιαύτην ἐπιλέγων·

Οἱ

1 Ald. Baſ. ζηλωτῶν ἐμέηθε. Steph. ζηλωτῶν νεμέηθεν; Frſt. R. νεμέηθε. Xyl. jam corrigendum monuit, nec non Salmaſ. & R. ζήλῳ τῶν Νεμέηθε, quod dedi cum W. accedentibus Pal. & H. Notatur eadem lectio e Turn. & V. cum altera ζηλωτὸν νεμέηθε.

2 Baſ. ἢ πρὶν. Steph. & rell. eam ſecutae edd. ἦ πρίν. R. dandum monuit ἢ in nomin. Sic Xyl. quoque legit, & dedi cum W. *Ephyra* vetuſtius fuit nomen Corinthi. Cum in Steph. & Frſt. legeretur Ἐφύρη absque jota ſubſcripto, R. voluit legi Ἐφύρης.

3 Vulgo hoc loco Περικλέους, & infra Προκλῆς. Hinc Xyl. & Salmas. legendum monuerant Προκλέους; ſic quoque e Turn. & V. notatur. R. dubius fuit, utra lectio ſit proba & ſervanda: alterutra tamen ſola, eo judice, eſt obtinenda. Equidem W. ſum ſecutus, ita ſamentem e Mez. & Palat. loco ſecundo, neutrumque vulgatae lectionis probantem.

4 Secutus ſum W. ita dantem ex E. H. Palat. pro vulg. Ξενοκράτου. R. voluit Ξενοκράτῃ.

5 Perſonae colloquii ſunt Niceratus, Soſicles, Antipater, Plutarchus. De voce ζωρότερον vide, R. monente, Caſaub.

ad

Οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ.

Νικήρατος μὲν ὖν, ὁ ἑταῖρος ἡμῶν, ὁ Μακεδὼν, ἄντικρυς ἐπισχυρίζετο [1], μὴ ἄκρατον, ἀλλὰ θερμὸν, εἰρῆσθαι τὸ ζωρὸν, ἀπὸ τῦ ζωτικῦ, καὶ τῆς ζέσεως, ὃ δὴ καὶ λόγον ἔχειν, ἀνδρῶν ἑταίρων παρόντων, νέον ἐξ ὑπαρχῆς κεράννυσθαι κρατῆρα· καὶ γὰρ ἡμᾶς, ὅταν τοῖς θεοῖς ἀποσπένδειν μέλλωμεν, νεόκρατα ποιεῖν. Σωσικλῆς δὲ, ὁ ποιητὴς, τῦ Ἐμπεδοκλέυς ἐπιμνησθεὶς εἰρηκότος ἐν τῇ καθόλυ μεταβολῇ, γίνεσθαι

Ζωρά τε τὰ πρὶν ἄκρητα, [2]

μᾶλλον ἔφη τὸ εὔκρατον ἢ τὸ ἄκρατον ὑπὸ τῦ ἀνδρὸς ζωρὸν λέγεσθαι, καὶ μηδέν γε κωλύειν ἐπικελεύεσθαι τῷ Πατρόκλῳ τὸν Ἀχιλλέα παρασκευάζειν εὔκρατον εἰς πίσιν τὸν οἶνον· εἰ δ' ἀντὶ τῦ ζωρῦ ζωρότερον εἶπεν, ὥσπερ δεξιτερὸν ἀντὶ τῦ δεξιῦ, καὶ θηλύτερον ἀντὶ τῦ θήλεος, ὐκ ἄτοπον εἶναι· χρῆσθαι γὰρ ἐπιεικῶς ἀντὶ τῶν ἁπλῶν τοῖς συγκριτικοῖς. Ἀντίπατρος δὲ, ὁ ἑταῖρος, ἔφη, τὺς μὲν ἐνιαυτὺς ἀρχαϊκῶς ὥρυς λέγεσθαι· τὸ δὲ [3] ζᾶ μέγεθος εἴωθεν σημαίνειν· ὅθεν τὸν πολυε-



ad Theoph. Charact. 5. nec non, Kaltw. monente, Athenaeum L. 10. p. 423. Adde, si placet, Hesych. in v. ζωρότερον. Leges simul in nota subjuncta, quae de duplici scriptione vocis ἀκρατώτερον per ω & ο hic loci obvia videntur monenda. Ald. Bas. κέρερε pro κέραιρε. Locus Homeri est Iliad. IX, 201.

1 Dedi sic cum W. e Turn. V. Mez. Vulgo ἐπισχυρίζεται. R. voluit ἀπισχυρίζετο.

2 Secutus sum W. ita dantem e Palat. & Athen. X, p. 424. In Ζωρά τε consentiunt Turn. V. nec non Leonic. & Schott.; in ἄκρητα Vatic. Vulgo ζωρότερον τὰ πρὶν ἄκρατα. Salmas. ζωρότερα. Addidi deinde, W. duce, ἢ τὸ ἄκρατον, quae vulgo absunt. Habet ea Palat. item in Vatic. Venet. E. H. leguntur ἢ ἄκρατον. Cf. de voce ζωρὸν Suidam & Hesych. In illo ζωρὸν — εὔκρατον οἶνον; in hoc ζωρὸν — ἄκρατον.

3 Ita R. dari voluit pro vulg. τὸ ζᾶ, & est in Turn. & V. dedique cum W. Pro εἴωθεν R. simul legendum monuit εἰωθέναι.

λυετῆ [1] καὶ παλαιὸν οἶνον ὑπὸ τοῦ Ἀχιλλέως ζωρὸν ὠνομάσθαι.

II. Ἐγὼ δ' ἀνεμίμνησκον αὐτοὺς, ὅτι τῷ ζωρότερον τὸ θερμὸν ἔνιοι σημαίνεσθαι λέγουσι, τῷ δὲ θερμοτέρῳ τὸ τάχιον· ὥσπερ ἡμεῖς ἐγκελευόμεθα πολλάκις τοῖς διακονοῦσι, θερμότερον ἅπτεσθαι τῆς διακονίας· ἀλλὰ μειρακιώδη τὴν φιλοτιμίαν αὐτῶν ἀπέφαινον, δεδιότων ὁμολογεῖν ἀκρατότερον εἰρῆσθαι τὸ ζωρότερον, ὡς ἐν ἀτόπῳ τινὶ τοῦ Ἀχιλλέως ἐσομένου· καθάπερ ὁ Ἀμφιπολίτης Ζώϊλος [2] ὑπελάμβανεν, ἀγνοῶν, ὅτι πρῶτον μὲν ὁ Ἀχιλλεὺς τὸν Φοίνικα καὶ τὸν Ὀδυσσέα πρεσβυτέρους ὄντας εἰδὼς, οὐχ ὑδαρεῖ χαίροντας, ἀλλ' ἀκρατοτέρῳ, καθάπερ οἱ ἄλλοι γέροντες, ἐπιτεῖναι κελεύει τὴν κρᾶσιν· ἔπειτα Χείρωνος ὢν μαθητὴς, καὶ τῆς περὶ τὸ σῶμα διαίτης οὐκ ἄπειρος, ἐλογίζετο δήπουθεν, ὅτι τοῖς ἀργοῦσι καὶ σχολάζουσι παρὰ τὸ εἰωθὸς σώμασιν ἀνειμένη καὶ μαλακωτέρα κρᾶσις ἁρμόζει. καὶ γὰρ τοῖς ἵπποις ἐμβάλλει μετὰ τῶν ἄλλων χορτασμάτων τὸ σέλινον οὐκ ἀλόγως, ἀλλ' ὅτι βλάπτονται μὲν οἱ σχολάζοντες ἀσυνήθως ἵπποι τοὺς πόδας· ἔστι δὲ τούτου μάλιστα ἴαμα τὸ σέλινον. ἄλλοις [3] γοῦν οὐκ ἂν εὕροις παραβαλλόμενον ἵπποις ἐν Ἰλιάδι σέλινον, ἤ τινα τοιοῦτον χιλόν [4]. ἀλλ' ἰατρὸς ὢν Ἀχιλλεὺς, τῶν θ' ἵππων πρὸς τὸν καιρὸν οἰκείως ἐπεμελεῖτο, καὶ τῷ σώματι τὴν ἐλαφροτάτην δίαιταν, ὡς ὑγιεινοτάτην ἐν τῷ σχολάζειν, παρεσκεύαζεν· ἄνδρας δ' ἐν μάχῃ καὶ ἀγῶνι δι' ἡμέρας γεγενημένους οὐχ ὁμοίως ἀξιῶν διαιτᾶν τοῖς ἀργοῦσιν, ἐπι-

1 Ald. Bas. πολυτελῆ.

2 Ald. ζῆλος.

3 Id est, R monente, ὑπ' ἄλλων, *vix invenies in Iliade praeter Achillem alium quemquam, qui suis equis pabulum ejusmodi objecerit.*

4 Dedi vocem hanc sic scriptam e R. mente, simul ita exhibitam e Turn. & V. Vulgo χυλόν.

ἐπιτεῖναι τὴν κρᾶσιν ἐκέλευσε. καὶ μὴν ὐδὲ Φύσει Φαίνεται Φίλοινος, ἀλλ' ἀπηνὴς ὁ Ἀχιλλεύς·

Οὐ γάρ τι [1] γλυκύθυμος ἀνὴρ ἦν, ὐδ' ἀγανόΦρων,
Ἀλλὰ μάλ' ἐμμεμαώς —.

καί πυ παῤῥησιαζόμενος ὑπὲρ αὐτῦ, πολλάς Φησιν ἀύπνυς νύκτας ἰαῦσαι [2]. βραχὺς δὲ ὕπνος ὐκ ἐξαρκεῖ τοῖς χρωμένοις ἀκράτῳ [3]. λοιδορύμενος δὲ τῷ Ἀγαμέμνονι, πρῶτον αὐτὸν οἰνοβαρῆ προσείρηκεν, ὡς μάλιςα τῶν νοσημάτων τὴν οἰνοΦλυγίαν προβαλλόμενος. διὰ ταῦτα δὴ πάντα, λόγον εἶχεν, αὐτὸν ἐννοῆσαι, τῶν ἀνδρῶν ἐπιΦανέντων, μή ποτε ἡ συνήθης κρᾶσις αὐτῷ τῦ οἴνυ πρὸς ἐκείνυς ἀνειμένη καὶ ἀνάρμοςός ἐςιν.

## QUAESTIO V.

### De his, qui multos ad coenam vocant [4].

Τὸ περὶ τὰς κατακλίσεις Φαινόμενον ἄτοπον πλείονα λόγον παρέσχεν ἐν ταῖς ὑποδοχαῖς, ἃς ἐποιεῖτο τῶν Φίλων ἕκαςος ἑςιῶν ἡμᾶς ἥκοντας ἀπὸ τῆς Ἀλεξανδρείας [5]. ἐκαλῦντο γὰρ [6] αἰεὶ πολλοὶ τῶν ὁπωσῦν προσήκειν δοκύντων, καὶ τὰ συμπόσια θορυβώδεις



1 Hom. Iliad. XX, 467. Cf. Vol. VII. p. 215. lin. 17.

2 Iliad. IX, 325. & deinde I, 225.

3 Ald. Baf. τῦς χρωμένυς ἀκηράτῳ.

4 Perfonae colloquii funt Plutarchus, Onesicrates, Lamprias avus.

5 Plutarchus juvenis ftudiorum literariorum caufae Romam conceſſerat. ibique peractis aliquot annis domum revertebatur, eoque in reditu Aegyptum & Alexandriam luftrabat. Ex eo itinere factum in patriam reducem, ut ibi jam fortunarum fedem figeret, amici ejus adventu exhilarati, eum frequentibus conviviis excipiebant. R. De Plutarcho Romae commorante cf. Demofth. vit. Vol. V, p. 259.

6 Operarum errore in W. τῷ pro γάρ.

εἶχε τὰς συμπεριφορὰς, καὶ τὰς διαλύσεις ταχείας. ἐπειδὴ δ' Ὀνησικράτης, ὁ ἰατρὸς, ᾽ȣ πολλὰς, ἀλλὰ τȣ̀ς σφόδρα συνήθεις καὶ οἰκειοτάτȣς παρέλαβεν ἐπὶ τὸ δεῖπνον, ἐφάνη μοι τὸ λεγόμενον ὑπὸ Πλάτωνος αὐξομένῃ πόλει, ȣ̓ πόλιν συμπόσια δεδόσθαι [1]. καὶ γὰρ συμποσίȣ μέγεθος ἱκανόν ἐςιν, ἄχρι ȣ̃ συμπόσιον [2] ἐθέλει μένειν· ἐὰν δὲ ὑπερβάλλῃ διὰ πλῆθος, ὡς μηκέτι προσήγορον ἑαυτῷ, μηδὲ συμπαθὲς εἶναι ταῖς φιλοφροσύναις, μηδὲ γνώριμον, ȣ̓δὲ συμπόσιόν ἐςι. δεῖ γὰρ, ȣ̓χ ὥσπερ ἐν ςρατοπέδῳ, διαγγέλοις, ȣ̓δὲ ὥσπερ ἐν τριήρει, χρῆσθαι κελευςαῖς· αὐτȣ̀ς δὲ δι' ἑαυτῶν ἐντυγχάνειν ἀλλήλοις, ὥσπερ χορȣ̃, τȣ̃ συμποσίȣ, τὸν κρασπεδίτην τῷ κορυφαίῳ συνήκοον ἔχοντος.

II. Ἐμȣ̃ δὲ ταῦτ' εἰπόντος, εἰς μέσον ἤδη φθεγξάμενος ὁ πάππος ἡμῶν, Λαμπρίας. Ἆρα ȣ̃ν (εἶπεν [3]) ȣ̓ περὶ τὰ δεῖπνα μόνον, ἀλλὰ καὶ περὶ τὰς κλήσεις [4], δεόμεθα τῆς ἐγκρατείας. ἔςι γάρ τις (οἶμαι) καὶ φιλανθρωπίας ἀκρασία, μηδένα παρερχομένης τῶν συμποτῶν, ἀλλὰ πάντας ἑλκούσης ὡς ἐπὶ θέαν ἢ ἀκρόασιν. ἔμοιγ' ȣ̃ν ȣ̓τ' ἄρτος, ȣ̓τ' οἶνος ἐπιλείπων τοῖς κεκλημένοις,

1 Corrupta esse haec verba Platonis, Xyl. monuit. Turn. & V. αὐξανομένην πόλιν τελευτῶσαν ȣ̓δὲ πόλιν εἶναι καὶ μέγεθός τι δεδόσθαι, vel αὐξομένη πόλις ȣ̓δὲ τέλος πόλις. W. notante, iidem cum Anon. & Mez. αὐξανομένην πόλιν τελευτῶσαν ȣ̓δὲ πόλιν εἶναι, καὶ τέλος τι συμποσίῳ δεδόσθαι. R. susp. αὐξομένην πόλιν, ȣ̓ πόλιν, συμπόσια δὲ δοκεῖν εἶναι ὀρθῶς λέγεσθαι, vel εἰρῆσθαι. Kaltw. e Plat. de Rep. IV. (pag. 333. ed. Bip. Vol. VI.) locum ita refingendum putat: ὑπὸ Πλάτωνος, μέχρις ȣ̃ ἂν ἐθέλοι αὐξανομένη πόλις εἶναι μία, μέχρι τȣ́τȣ αὔξειν, εἰς συμπόσια λέγεσθαι. W. susp. ἐπ' αὐξομένῃ πόλει, ȣ̓κ ἐπὶ πόλει μᾶλλον ἢ συμποσίῳ λελέχθαι vel δεδέχθαι. Palat. habet συμποσίῳ.

2 Kaltw. desiderat ἓν post hanc vocem.

3 Sic Xyl. correxit, quod in Ald. & Bas. extat ἆρα συνεῖπεν.

4 Bas. κλίσεις. Xyl. correxit. De vocandis agitur convivis, non locandis.

νοις, ὅυτω δοκεῖ τὸν κεκληκότα ποιεῖν γελοῖον, ὡς χώρα καὶ τόπος· ὧν καὶ μὴ κεκλημένοις, ἀλλ' ἐπελθοῦσιν αὐτομάτως ξένοις καὶ ἀλλοτρίοις αἰεὶ παρεσκευασμένην ἀφθονίαν ὑπάρχειν δεῖ. ἔτι δ' ἄρτου μὲν καὶ οἴνου ἐπιλιπόντων, ἔστι καὶ τοὺς οἰκέτας ὡς κλέπτοντας αἰτιᾶσθαι· τόπου δὲ πενία καὶ κατανάλωσις εἰς πλῆθος ὀλιγωρία τις ἐστὶ τοῦ καλοῦντος. εὐδοκιμεῖ δὲ θαυμαστῶς καὶ Ἡσίοδος, εἰπών·

Ἤτοι μὲν πρώτιστα χάος γένετ' [1].

χώραν γὰρ ἔδει καὶ τόπον προϋποκεῖσθαι τοῖς γινομένοις, οὐχ ὡς χθὲς ἐμὸς υἱὸς, ἔφη, τὸ Ἀναξαγόρειον [2], ἦν ὁμοῦ πάντα χρήματα, τὸ σύνδειπνον ἐποίησεν. οὐ μὴν ἀλλὰ κἂν τόπος ὑπάρχῃ καὶ παρασκευὴ, τὸ πλῆθος αὐτὸ φυλακτέον, ὡς ἄμικτον τὴν συνουσίαν ποιοῦν καὶ ἀπροσήγορον· οἴνου [3] γὰρ ἀνελεῖν ἧττόν ἐστι κακὸν, ἢ λόγου κοινωνίαν, ἐκ δείπνου. διὸ καὶ Θεόφραστος ἄοινα συμπόσια παίζων ἐκάλει τὰ κουρεῖα, διὰ τὴν λαλιὰν τῶν προσκαθιζόντων. λόγων δὲ κοινωνίαν ἀναιροῦσιν οἱ πολλοὺς εἰς ταὐτὸ συμφοροῦντες, μᾶλλον δ' ὀλίγους ποιοῦσιν ἀλλήλοις συνεῖναι· καὶ κατὰ δύο γὰρ ἢ τρεῖς ἀπολαμβάνοντες ἐντυγχάνουσι καὶ προσδιαλέγονται, τοὺς δὲ πόῤῥω κατακειμένους οὐδ' ἴσασιν οὐδὲ προσορῶσιν, ἵππου δρόμον ἀπέχοντας·

Ἡ μὲν [4] ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο,
Ἡ δ' ἐπ' Ἀχιλλῆος. —

ὅθεν οὐκ ὀρθῶς οἱ πλούσιοι νεανιεύονται κατασκευάζοντες οἴκους τριακοντακλίνους, καὶ μείζους· ἀμίκτων γὰρ αὕτη καὶ

1 Hesiod. Theogon. v. 116.

2 W. mavult υἱὸς κατὰ τὸ Ἀναξ. Certe subintelligendum κατά.

3 Sic cum W. reposui ex Ald. Bas. accedentibus Xyl. E. H. Palat. Vatic. pro vulg. οἶνον, quod Steph. dederat ex Turn. Leonic. Schott. Anon. Dubius fuit R. utra lectio sit praeferenda.

4 Iliad. XI, 7. sq.

καὶ ἀφίλων δείπνων ἡ παρασκευὴ, καὶ πανηγυριάρχου μᾶλλον ἢ συμποσιάρχου δεομένων. ἀλλ᾽ ἐκείνοις μὲν ταῦτα συγγνώμη ποιεῖν· ἄπλουτον γὰρ οἴονται τὸν πλοῦτον καὶ τυφλὸν ἀληθῶς, καὶ ἀδιέξοδον [1], ἂν μὴ μάρτυρας ἔχῃ, καθάπερ τραγῳδία [2], θεατάς· ἡμῖν δ᾽ ἂν ἴαμα γένοιτο τοῦ πολλοὺς ὁμοῦ συνάγειν, τὸ πολλάκις κατ᾽ ὀλίγους παραλαμβάνειν. οἱ γὰρ σπανίως καὶ δι᾽ ἅρματος [3] (ὥς φασιν) ἑστιῶντες ἀναγκάζονται τὸν ὁπωσοῦν ἐπιτήδειον ἢ γνώριμον καταγράφειν· οἱ δὲ συνεχέστερον κατὰ τρεῖς ἢ τέτταρας ἀναλαμβάνοντες, ὥσπερ πορθμεῖα τὰ συμπόσια, κοῦφά τε ποιοῦσι [4]. ποιεῖ δέ τινα τοῦ πολλοῦ τῶν φίλων πλήθους διάκρισιν καὶ ὁ τῆς αἰτίας διηνεκὴς ἐπιλογισμός· ὡς γὰρ ἐπὶ τὰς χρείας οὐ πάντας, ἀλλὰ τοὺς ἁρμόττοντας ἑκάστῃ παρακαλοῦμεν, βουλευόμενοι μὲν, τοὺς φρονίμους, δικαζόμενοι δὲ, τοὺς λέγοντας, ἀποδημοῦντες δὲ, τοὺς ἐλαφροὺς μάλιστα τοῖς βιωτικοῖς, καὶ σχολὴν ἄγοντας· οὕτως ἐν ταῖς ὑποδοχαῖς

1 V. ἄδοξον.

2 Sic dedi cum W. & legitur in Ald. Baſ. Steph. nec diſſentiunt E. H. Venet. Vulgo in Gr. latinis tribus & R. τραγῳδίαι, nec ab iis diſſenſus notatur ex Palat. Vatic.

3 H. Steph. ſuſp. καὶ ἐκ διάρματος. Probat R. hanc conjecturam, addens: „Similitudo ſumta eſt de illis, qui ſublato in altum, quanta vi poſſunt, e. c. gladio ambabus manibus apprehenſo, feriunt, contra quam illi, qui martello, minutis, ſed eo crebrioribus, ictibus feriunt. Hoc cito fit; ad illud magno molimine totius corporis & multo tempore opus eſt.“ W. notat, vulgatam eſſe in omnibus libris: recte nec ne, & quo ſenſu, jam quidem non docet, plura repoſiturus in animadverſionibus. Conſulat Lector interim Heſychium dictionem δι᾽ ἅρματος plurimis locis proferentem, nec non Suidam in v. ἅρμα; apud quem haec extant: ἅρμα. τόπος τῆς Ἀττικῆς. καὶ παροιμία· ὅταν δι᾽ ἅρματος ἀστράψῃ. ἐπὶ τῶν χρονίως γινομένων — *quod dicitur de iis, quae tarde fiunt.* Originem hujus proverbii exponit Strabo IX. p. 404.

4 R. deeſſe ſuſp. καὶ εὐμεταχείριστα; W. καὶ εὐσταλῆ. A Turn. & V. abeſt τε poſt κοῦφα.

χαῖς ἑκάστοτε τὰς ἐπιτηδείας [1] παραληπτέον. ἐπιτήδειοι δὲ, τῷ μὲν ἡγεμόνι δειπνίζοντι συνδειπνεῖν, οἵ τ' ἄρχοντες, ἐὰν ὦσι φίλοι, καὶ οἱ πρῶτοι τῆς πόλεως· ἐν δὲ γάμοις, ἢ καὶ γενεθλίοις, οἱ κατὰ γένος προσήκοντες, καὶ Διὸς ὁμογνίου κοινωνοῦντες· ἐν δὲ ταῖς τοιαύταις [2] ὑποδοχαῖς, ἢ προπομπαῖς, τοὺς ἐκείνων [3] μάλιστα κεχαρισμένους εἰς ταυτὸ συναντέον. οὐδὲ γὰρ θεῷ θύοντες, πᾶσι τοῖς ἄλλοις θεοῖς, μάλιστα συννάοις καὶ συμβώμοις [4] κατευχόμεθα, ἀλλὰ τριῶν κρατήρων κιρναμένων, τοῖς μὲν ἀπὸ τοῦ πρώτου σπένδομεν, τοῖς δ' ἀπὸ τοῦ δευτέρου, τοῖς δ' ἀπὸ τοῦ τελευταίου· φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται· θεῖος δέ που καὶ ὁ τῶν φίλων χορὸς εὐγνωμόνως διανεμόμενος ἐν ταῖς συμπεριφοραῖς.

## QUAESTIO VI.

### Quid causae sit, quod initio coenae anguste, postmodo laxe sedetur [5]?

Ρηθέντων δὲ τούτων, εὐθὺς ἐζητεῖτο περὶ τῆς ἐν ἀρχῇ στενοχωρίας τῶν κατακειμένων, εἶτα ἀνέσεως·

1 Sic cum Salmas. legi voluit R. dedique cum W. ex Bas. Xyl. Mez. Vulgo ἐπιτηδείως.

2 Qualis sc. est praesens vocatio, vel convivium, similemque ob causam institutum R.

3 R. susp. ἑκάστῳ, aut saltim ἐκείνῳ, quod Salmasio placuit: *illi* pota, cujus in honorem istiusmodi convivia redeuntium ex itinere, aut peregre proficiscentium amicorum instituuntur. Turn. habet ἐκείνῳ; V. ἐκείνους.

4 Vulgo μάλιστα καὶ σὺν ναοῖς καὶ σὺν βωμοῖς. Xyl. H. Steph. & R. cum Salmas. reponendum monuerunt συννάοις καὶ συμβώμοις. E Turn. & V. notatur συμβώμοις. Dedi cum W. idem sumente e Pal. & Mez. Eodem cum R. monente sumsi δὲ pro καὶ post μάλιστα. Legi vult porro R. καὶ ἅμα τριῶν κρατήρων κιρναμένων, τῷ μὲν — scilicet *primo* & *praecipuo* deo, cui prae reliquis sacrificium offertur.

5 Personae colloquii sunt Lamprias avus, alii.

οὖν τοὐναντίον εἰκὸς ἦν συμβαίνειν διὰ τὴν ἐπὶ τοῦ δείπνου [1] πλήρωσιν. ἔνιοι μὲν οὖν ἡμῶν τὸ σχῆμα τῆς κατακλίσεως ᾐτιῶντο· πλατεῖς γὰρ ὡς ἐπίπαν κατακειμένους δειπνεῖν, ἅτε δὴ τὴν δεξιὰν προτείνοντας ἐπὶ τὰς τραπέζας· δειπνήσαντας δ' ἀναστρέφειν αὐτοὺς [2] μᾶλλον ἐπὶ πλευρὰν, ὀξὺ τὸ σχῆμα ποιοῦντας τοῦ σώματος καὶ οὐκ ἔθ' ὡς εἰπεῖν κατ' ἐπίπεδον, ἀλλὰ κατὰ γραμμὴν τῆς χώρας ἁπτομένους. ὥσπερ οὖν οἱ ἀστράγαλοι τόπον ἐλάττω κατέχουσιν ὀρθοὶ πίπτοντες, ἢ πρηνεῖς, οὕτως ἡμῶν ἕκαστον ἐν ἀρχῇ μὲν ἐπὶ στόμα προνεύειν ἀποβλέποντα πρὸς τὴν τράπεζαν, ὕστερον δὲ μετασχηματίζειν ἐπὶ βάθος ἐκ πλάτους τὴν κατάκλισιν. οἱ δὲ πολλοὶ τὴν συνένδοσιν τῆς στρωμνῆς προεφέροντο· θλιβομένην γὰρ ἐν τῇ κατακλίσει πλατύνεσθαι καὶ διαχωρεῖν [3], ὥσπερ τῶν ὑποδημάτων τὰ τριβόμενα, κατὰ μικρὸν ἐπιδιδόντα καὶ χαλῶντα τοῖς πόροις [4], εὐρυχωρίαν τῷ ποδὶ καὶ ἀναστροφὴν παρέχει. ὁ δὲ πρεσβύτης [5] ἅμα παίζων, δύο, ἔφη, τὸ αὐτὸ συμπόσιον ἀνομοίους ἔχειν ἐπιστάτας τε καὶ ἡγεμόνας, ἐν ἀρχῇ μὲν τὸν λιμὸν, ᾧ τῶν τακτικῶν οὐδὲν μέτεστιν, ὕστερον δὲ τὸν Διόνυσον, ὃν πάντες ἄριστον γεγονέναι στρατηγὸν ὁμολογοῦσιν· ὥσπερ οὖν ὁ Ἐπαμεινώνδας, εἴς τινα δυσχωρίαν τῶν στρατηγῶν ὑπ' ἀπειρίας εἰσβαλλόντων [6] τὴν φάλαγγα περιπίπτουσαν ἑαυτῇ καὶ ταρασσομένην [7] ὑπο-

1 Mez. corrigit ἀπὸ τοῦ δείπνου, quod probat W.

2 V. αὐτοῖς. Paulo post Ald. Bas. οὐκ ἐσθ' pro οὐκ ἔθ'.

3 W. susp. διαχαλᾶν.

4 V. τοὺς πόρους.

5 Significatur hoc titulo Lamprias, avus.

6 Turn. V. ἐσβαλόντων.

7 Ita e V. notatur, dedique cum W. accedentibus Mez. & Palat. Vulgo καταρασσομένην. Dedi porro ἐξέλυσε, e mente H. Steph. & R. cum W. assentiente Anon. Vulgo ἐξέλευσε, pro quo Xyl. conjecerat ἐξείλισσε.

ὑπολαβὼν, ἐξέλυσε καὶ κατέστησεν εἰς τάξιν· οὕτως ἡμᾶς ἐν ἀρχῇ συμπεφορημένους ὑπὸ τοῦ λιμοῦ κυνηδὸν ἄρτι παραλαμβάνων ὁ Λυαῖος θεὸς καὶ Χορεῖος εἰς τάξιν ἱλαρὰν καὶ φιλάνθρωπον καθίστησιν.

## QUAESTIO VII.

### De his, qui fascinare dicuntur [1].

Περὶ τῶν καταβασκαίνειν λεγομένων, καὶ βάσκανον ἔχειν ὀφθαλμὸν, ἐμπεσόντος λόγου παρὰ δεῖπνον, οἱ μὲν ἄλλοι παντάπασιν ἐξεφλαύριζον [2] τὸ πρᾶγμα, καὶ κατεγέλων· ὁ δὲ ἑστιῶν ἡμᾶς Μέτριος Φλῶρος [3] ἔφη, τὰ μὲν γινόμενα τῇ φήμῃ θαυμαστῶς βοηθεῖν· τῷ δ' αἰτίας ἀπορεῖν ἀπιστεῖσθαι τὴν ἱστορίαν οὐ δικαίως, ὅπου, μυρίων ἐμφανῆ τὴν οὐσίαν ἐχόντων, ὁ τῆς αἰτίας λόγος ἡμᾶς διαπέφευγεν· ὅλως δὲ (εἶπεν) ὁ ζητῶν ἐν ἑκάστῳ τὸ εὔλογον, ἐκ πάντων ἀναιρεῖ τὸ θαυμάσιον. ὅπου γὰρ ὁ τῆς αἰτίας ἐπιλείπει λόγος, ἐκεῖθεν ἄρχεται τὸ ἀπορεῖν, τουτέστι τὸ φιλοσοφεῖν. ὥστε τρόπον τινὰ φιλοσοφίαν ἀναιροῦσιν οἱ τοῖς θαυμασίοις ἀπιστοῦντες. δεῖ δ', ἔφη, τὸ μὲν διὰ τί γίνεται, τῷ λόγῳ μετεῖναι [4]· τὸ δὲ ὅτι γίνεται, παρὰ τῆς ἱστορίας λαμβάνειν. ἱστορεῖται δὲ πολλὰ τοιαῦτα· γινώσκομεν γὰρ ἀνθρώπους τῷ καταβλέπειν τὰ παιδία μάλιστα βλάπτοντας, ὑγρότητι τῆς ἕξεως καὶ ἀσθενείᾳ τρεπομένης ὑπ' αὐτῶν καὶ κινουμένης ἐπὶ τὸ χεῖρον, ἧττον δὲ τῶν στερεῶν καὶ πεπηγότων ἤδη τοῦτο πασχόντων. καίτοι

1 Personae colloquii sunt Metrius Florus, Plutarchus, Soclarus, Patrocles, Caius.

2 Ita H. Steph. & Salmas. legendum monuerunt, & notatur e Turn. & V. dedique pro vulg. ἐξεφλυάριζον. Mavult idem W. simul Anon. consensu probatum.

3 Cf. de hoc nomine Sympos. I. quaest. IX. pag. 46. h. v. not. 2. E V. notatur ad h. l. Μέστριος Φλόρος.

4 Id est, R. docente, μετιέναι. Turn. V. μεθιέναι.

τοι τὰς γε περὶ τὸν Πόντον οἰκοῦντας πάλαι Θηβεῖς [1] προσαγορευομένους ἱστορεῖ Φύλαρχος, οὐ παιδίοις μόνον, ἀλλὰ καὶ τελείοις, ὀλεθρίους εἶναι· καὶ γὰρ τὸ βλέμμα καὶ τὴν ἀναπνοὴν καὶ τὴν διάλεκτον αὐτῶν παραδεχομένους τήκεσθαι καὶ νοσεῖν· ᾔσθοντο δὲ (ὡς ἔοικε) τὸ γινόμενον οἱ μιγάδες [2], οἰκέτας ἐκεῖθεν ὠνίους ἐξάγοντες. ἀλλὰ τούτων τὸ μὲν [3] ἴσως ἧττόν ἐστι θαυμαστόν· ἡ γὰρ ἐπαφὴ καὶ συνανάχρωσις ἔχει τινὰ φαινομένην πάθους ἀρχήν· καὶ καθάπερ τὰ τῶν ἄλλων ὀρνέων πτερὰ τοῖς τοῦ ἀετοῦ συντεθέντα διόλλυται ψιλούμενα καὶ ἀπανθεῖ [4] τῶν πτίλων μυδώντων, οὕτως οὐδὲν ἀπέχει [5] καὶ ἀνθρώπου ψαῦσιν, τὴν μὲν ὠφέλιμον εἶναι, τὴν δ' ἀπηνῆ καὶ βλαβεράν· τὸ δὲ καὶ προσβλεφθέντας ἀδικεῖσθαι, συμβαίνει μέν, ὥσπερ εἴρηκα· τῷ δὲ τὴν αἰτίαν ἔχειν δυσθήρατον, ἀπιστεῖται.

II. Καὶ μὴν (ἔφην ἐγὼ) τρόπον τινὰ τῆς αἰτίας αὐτὸς [6] ἴχνος τι καὶ τρίβον ἀνεύρηκας, ἐπὶ τὰς ἀποῤῥοίας τῶν σωμάτων ἀφικόμενος· καὶ γὰρ ἡ ὀσμὴ καὶ ἡ φωνὴ καὶ τὸ ῥεῦμα τῆς ἀναπνοῆς ἀποφοραί τινές εἰσι τῶν ζώων καὶ μέρη κινοῦντα τὰς αἰσθήσεις, ὅταν ὑπ' αὐτῶν

1 Ita, W. teste, libri fere omnes; excepto V. Θηβίας; Bas. Xyl. Θυβεῖς. Salmas. Exerc. Plin. p. 34. & Vales. Emend V. 18. Θιβιεῖς.

2 Salmas. corrigit μαγγάδες; Vales. l. c. suadet οἱ μιγάδας οἰκέτας. Neutrum R. probat. W. posterius praefert — inde emtos qui advenas servos eduxerunt.

3 W. mavult ἀλλὰ τὸ μὲν τούτων.

4 Dedi sic, R. jubente, e Turn. & V. pro vulg. ψυχόμενα καὶ ἀπαθεῖ. Jam Xyl. legi voluit ἀπανθεῖ. Steph. consentit. deditque etiam W. accedentibus Anon. Mez. & Palat. monens, ψυχόμ. forte mutandum in ψιλούμενα. Cf. Plin. H. N 10, 4.

5 De sensu hujus vocis ἀπέχει, quae idem valet ac ἀπέοικε, *improbabile est*, vel plene dicta ἀπέχει ἀπὸ τοῦ λόγου, remotum est a sana ratione, cf. Vol. IX. pag. 368. lin. 2. not. 2. H. Steph. suspectum fuit ἀπέχει. Turn. V. dant ἀπεικός.

6 Sic Xyl. & R. legi voluerunt, dedique cum W. accedente Mez. pro vulg. αὐτοῖς. Turn. V. Anon. αὐτοῖς.

αὐτῶν προσπεσόντων [1] πάθωσι. πολὺ δὲ μᾶλλον εἰκός ἐςι τῶν ζώων ἀποφέρεθαι τὰ τοιαῦτα διὰ τὴν θερμότητα, καὶ τὴν κίνησιν, οἱονεί τινα σφυγμὸν καὶ κλόνον ἔχοντος τοῦ πνεύματος, ὑφ' οὗ τὸ σῶμα κρουόμενον ἐνδελεχῶς ἐκπέμπει τινὰς ἀποῤῥοίας. μάλιςα δὲ τοῦτο γίνεθαι διὰ τῶν ὀφθαλμῶν, εἰκός ἐςι· πολυκίνητος γὰρ ἡ ὄψις οὖσα, μετὰ πνεύματος, αὐγὴν [2] ἀφιέντος πυρώδη, θαυμαςήν τινα διασπείρει δύναμιν, ὥςε πολλὰ καὶ πάσχειν καὶ ποιεῖν δι' αὐτῆς τὸν ἄνθρωπον. ἡδοναῖς τε γὰρ συμμέτροις [3] καὶ ἀηδίαις ὑπὸ τῶν ὁρατῶν τρεπόμενος συνέχεται· καὶ τῶν ἐρωτικῶν, ἃ δὴ μέγιςα καὶ σφοδρότατα παθήματα τῆς ψυχῆς ἐςιν, ἀρχὴν ἡ ὄψις ἐνδίδωσιν· ὥςε ῥεῖν καὶ λείβεθαι τὸν ἐρωτικὸν, ὅταν ἐμβλέπῃ τοῖς καλοῖς, οἷον ἐρχόμενον [4] εἰς αὐτούς. διὸ καὶ θαυμάσειεν ἄν τις (οἶμαι) μάλιςα τῶν πάσχειν [5] μὲν καὶ κακοῦθαι τὸν ἄνθρωπον διὰ τῆς ὄψεως οἰομένων, οὐκέτι δὲ δρᾷν καὶ βλάπτειν. αἱ γὰρ ἀντιβλέψεις τῶν ἐν ὥρᾳ, καὶ τὸ διὰ τῶν ὀμμάτων ἐκπίπτον, εἴτ' ἄρα φῶς, εἴτε ῥεῦμα, τοὺς ἐρῶντας ἐκτήκει [6] καὶ ἀπόλλυσι μεθ' ἡδονῆς ἀλγηδόνι μεμιγμένης, ἣν αὐτοὶ γλυκύπικρον ὀνομάζουσιν· οὔτε γὰρ ἁπτομένοις, οὔτ' ἀκούουσιν, οὕτω τιτρώσκεθαι συμβαίνει καὶ πάσχειν, ὡς προσβλεπομένοις καὶ προσβλέπουσι. τοιαύτη γὰρ γίνεται διάδοσις καὶ ἀνά-

1 Ald. Bas. προπεσόντων.

2 Dedi sic cum W. e Turn. & V. Vulgo αὐτήν.

3 Suspectum omnino συμμέτροις. Mez. οὐ μετρίοις. W. mavult ἀναριθμήτοις, nisi nimium a vulgatæ vestigiis recederet.

4 Suspectum ἐρχόμενον R. Susp. W. ἐκχεόμενον vel ἑλκόμενον.

5 Ald. Bas. ςοίχειν, quod nihil hic facere, Xyl. monet, addens, constructionem verbi θαυμάζω ostendere, aliquid extritum esse.

6 Vulgo ἐντήκει. R. voluit ἐκτήκει aut συντήκει. In priori, quod dedi, consentit W.

ἀνάφλεξις ἀπὸ τῆς ὄψεως, ὥστε παντελῶς ἀπειράτους ἔρωτος ἡγεῖσθαι τοὺς τὸν Μηδικὸν νάφθαν θαυμάζοντας ἐκ διαστήματος ὑπὸ τοῦ πυρὸς ἀναφλεγόμενον. αἱ γὰρ τῶν καλῶν ὄψεις, κἂν πάνυ πόῤῥωθεν ἀντιβλέψωσι, πῦρ ἐν ταῖς [1] τῶν ἐρωτικῶν ψυχαῖς ἀνάπτουσι. καὶ μὴν τό γε τῶν ἰκτερικῶν βοήθημα πολλάκις ἱστοροῦμεν· ἐμβλέποντες γὰρ τῷ χαραδρίῳ [2] θεραπεύονται· τοιαύτην ἔοικε τὸ ζῶον φύσιν καὶ κρᾶσιν ἔχειν, ὥστε ἕλκειν καὶ δέχεσθαι τὸ πάθος ἐκπῖπτον [3], ὥσπερ ῥεῦμα, διὰ τῆς ὄψεως· ὅθεν οὐ προσβλέπουσιν οἱ χαράδριοι τοὺς [4] ἴκτερον ἔχοντας, οὐδὲ καρτεροῦσιν, ἀλλ' ἀποστρέφονται, καὶ τὰ ὄμματα συγκλείσαντες ἔχουσιν· οὐ φθονοῦντες (ὡς ἔνιοι νομίζουσι) τῆς ἀπ' αὐτῶν ἰάσεως, ἀλλ' ὥσπερ ὑπὸ πληγῆς τιτρωσκόμενοι. τῶν δ' ἄλλων νοσημάτων μάλιστα καὶ τάχιστα τὰς ὀφθαλμίας ἀναλαμβάνουσιν οἱ συνόντες· οὕτω δύναμιν ἔχει ὀξεῖαν ἡ ὄψις ἐνδοῦναι καὶ προσβαλεῖν ἑτέρῳ πάθους ἀρχήν.

III. Καὶ μάλ' (ἔφη) λέγεις ὀρθῶς, ὁ Πατροκλέας, ἐπί γε [5] τῶν σωματικῶν. τὰ δὲ τῆς ψυχῆς, ὧν ἐστι καὶ τὸ βασκαίνειν, τίνα τρόπον, καὶ πῶς διὰ τῆς ὄψεως τὴν βλάβην εἰς τοὺς ὁρωμένους διαδίδωσιν;

1 Vulgo ἐντός. R. voluit ἀντιβλέπωσι, πῦρ ἐν ταῖς. Notatur ἐν ταῖς in ind. var. absque nota codicis. Dedi cum W. idem e Palat. Turn. Anon. Mez. fomente.

2 Cf. Aelian. H. anim. XVII, 13. Plin. H. N. 30, 28.

3 Ald. Baf. ἔκλιπτον. Xyl. correxit.

4 Ita R. legendum monuit, dedique cum W. idem e Palat. & Mez. fomente pro vulg. τόν.

5 Ita Xyl. H. Steph. & R. dandum monuerunt, dedique e Turn. & V. cum W. confentientibus Palat. & Vatic. Vulgo ἐπεί γε. Perperam diftincta haec fuiffe, Xyl. jam notavit. Secutus fum hac ex parte R. mentem, diftinguendo poft σωματικῶν, & βασκαίνειν, & addendo interrogandi notam poft διαδίδωσιν. Dedi porro eodem jubente τὰ δὲ pro vulg. τάδε, & τίνα τρόπον pro vulg. τινὰ τρόπον, Turn. & V. utrumque firmantibus, & denique καὶ πῶς pro vulg. καί πως. Eft in W. τίνα τρ. & in Baf. καὶ πῶς.

σιν; Οὐκ οἶδα, (ἔφην) ὅτι πάσχουσα ἡ ψυχὴ τὸ σῶμα διατίθησιν; ἐπίνοιαι γὰρ ἀφροδισίαν ἐγείρουσιν αἰδοῖα, καὶ θυμοὶ κυνῶν ἐν ταῖς πρὸς τὰ θηρία γινομέναις ἁμίλλαις ἀποσβεννύουσι τὰς ὁράσεις πολλάκις καὶ τυφλοῦσι· λῦπαι [1] καὶ φιλαργυρίαι καὶ ζηλοτυπίαι τὰ χρώματα τρέπουσι, καὶ καταξαίνουσι τὰς ἕξεις· ὧν οὐδενὸς ὁ φθόνος ἧττον ἐνδύεσθαι τῇ ψυχῇ πεφυκὼς, ἀναπίμπλησι καὶ τὸ σῶμα πονηρίας, ἣν οἱ ζωγράφοι καλῶς [2] ἐπιχειροῦσιν ἀπομιμεῖσθαι, τὸ τοῦ [3] φθόνου πρόσωπον ὑπογράφοντες. ὅταν οὖν οὕτως ὑπὸ τοῦ φθονεῖν διατεθέντες [4] ἀπερείδωσι τὰς ὄψεις, αἱ δ' ἔγγιστα τεταγμέναι τῆς ψυχῆς σπάσωσι τὴν κακίαν, ὥσπερ πεφαρμαγμένα βέλη προπίπτωσιν, οὐδὲν (οἶμαι) συμβαίνει παράλογον, οὐδ' ἄπιστον ἐκείνους ὁ τοὺς προσορωμένους [5]. καὶ γὰρ τὰ δήγματα τῶν κυνῶν χαλεπώτερα γίνεται μετ'



1 R. mavult λῦπαι δὲ καί.

2 Ita R. cum Salmas. dandum monuit, & e Turn. & V. notatur, dedique cum W. idem ex E. H. Anon. Xyl. sumente. Vulgo καλῶν.

3 W. secutus sum, τὸ inserentem e Palat. Mez. Vulgo abest.

4 Ita H. Steph. scribendum monuit, reposuique, W. probante, pro vulg. διατιθέντες. In ind. var. notatur διατεθέντες ex Ald. & Bas. At haec habet vulgatam, quam Xyl. in διατεθ. corrigendam monuit. Salmas. deinde suadet ἐπερείδωσι.

5 Manca haec esse, Xyl. jam notavit. R. legi vult σπάσασαι pro σπάσωσι. H. Steph. ante ὥσπερ desiderat καί. Est καὶ post ὥσπερ apud Turn. & V. Pro προπίπτωσιν H. Steph. & R. legi volunt προσπίπτωσιν, & est ita in Turn. & V. — ὁ quod post ἐκείνους legitur, in Bas. non extat. H. Steph. desiderat infinitivum, participio προσορωμένους jungendum, e. c. βλάπτεσθαι, aut alium hujusmodi, cujus prima sit fortassis litera ο. R. susp. ἐκείνοις πάσχειν ταὐτὸ τοὺς προσορωμένους. E Turn. notatur ἢ ἐκείνους βλάπτεσθαι, ἢ βασκαίνεσθαι, vel ἐκείνοις τοῖς προσορωμένοις. W. susp. οὐδὲν, οἶμαι, συμβαίνει παράλογον οὐδὲ ἄπιστον, ἂν ὥσπερ πεφαρμαγμένα βέλη προσπίπτωσιν ἐκείνοις τοῖς προσορωμένοις: nec repudiandum esse, addit, Mez. acumen σπάσασαι τὴν κακίαν, ὥσπερ πεφ. βέλη προσπίπτωσιν — ἄπιστον εἰ κινοῦσι τοὺς προσορωμένους.

μετ' ὀργῆς δακνόντων· καὶ τὰ σπέρματα τῶν ἀνθρώπων μᾶλλον ἅπτεσθαί φασιν, ὅταν ἐρῶντες πλησιάζωσι· καὶ ὅλως τὰ πάθη τὰ τῆς ψυχῆς ἐπιῤῥώννυσι, καὶ ποιεῖ σφοδροτέρας τὰς τοῦ σώματος δυνάμεις. διὸ καὶ τὸ τῶν λεγομένων προβασκανίων [1] γένος οἴονται πρὸς τὸν φθόνον ὠφελεῖν, ἑλκομένης διὰ τὴν ἀτοπίαν τῆς ὄψεως, ὥστε ἧττον ἐπερείδειν τοῖς πάσχουσιν. Αὗταί σοι, (εἶπον) ὦ Φλῶρε, συμβολαὶ τῆς εὐωχίας ἀπηριθμήσθωσαν [2].

IV. Καὶ ὁ Σώκλαρος· Ἄν γε (ἔφη) πρότερον ἡμεῖς αὐτὰ [3] δοκιμάσωμεν· ἔστι γὰρ ὅ τι τοῦ λόγου καταφαίνεται κίβδηλον. εἰ γάρ, ἃ λέγουσι πολλοὶ περὶ τῶν βασκαινομένων, ὡς ἀληθῆ τίθεμεν, οὐκ ἀγνοεῖς δήπουθεν, ὅτι καὶ φίλους καὶ οἰκείους, ἔνιοι δὲ καὶ πατέρας ἔχειν ὀφθαλμὸν βάσκανον ὑπολαμβάνουσιν, ὥστε μὴ δεικνύναι τὰς γυναῖκας αὐτοῖς τὰ παιδία, μηδὲ πολὺν ἐᾷν χρόνον ὑπὸ τῶν τοιούτων καταβλέπεσθαι· πῶς οὖν ἔτι δόξει φθόνου τὸ πάθος εἶναι; τί δέ, ὦ πρὸς τοῦ Διός, ἐρεῖς περὶ τῶν ἑαυτοὺς καταβασκαίνειν λεγομένων; καὶ γὰρ τοῦτο ἀκήκοας. εἰ δὲ μή, πάντως ταῦτ' ἀνέγνωκας·

Καλαί μέν ποτ' ἔσαν καὶ αἱ φόβαι Εὐτελίδαο [4].

Ἀλλ'

1 Mavult Xyl. προσβασκανίων. R. consentit, & ita notatur e Turn. & V. Quid ἑλκομένης valeat, Xyl. se non intelligere fatetur.

2 Reposui hanc vocis formam ex Ald. Bas. Xyl. pro vulg. ἀπηριθμείσθωσαν. Probavit eandem W. aut ἀπηριθμηθήτωσαν. (Rectius foret ἀπαριθμηθήτωσαν,) addens, nil varietatis (a vulgata nimirum) e scriptis allatum esse.

3 R. mavult αὐτάς, ut redeat ad συμβολάς.

4 Quis hic sit Eutelidas, aut unde haec desumta sint, haud constat. Vulgo καὶ φόβαι Εὐτελίδᾳ. Hinc Xyl. versum pentametrum esse statuens, legit Εὐτελίδα. Quod nunc extat, legendum conjecit H. Steph. dedique cum W. Εὐτελίδαο sumente ex E. Venet. Palat. Vatic. Turn. V. & αἱ inferente ex Turn. V. Anon. E Turn. & Bong. notatur quoque Εὐτελίδῃ.

Ἀλλ' αὐτὸν βάσκαινεν [1] ἰδὼν ὀλοφώϊος ἀνὴρ
Δινήεντι ποταμῷ [2]. τὸν δ' αὐτίκα νοῦσος ἀεικής·

ὁ γὰρ Εὐτελίδας λέγεται, καλὸς ἑαυτῷ φανεὶς, καὶ παθών τι πρὸς τὴν ὄψιν, ἐκ τούτου [3] νοσῆσαι, καὶ τὴν εὐεξίαν μετὰ τῆς ὥρας ἀποβαλεῖν [4]. ἀλλ' ὅρα, πῶς ἔχεις εὑρεσιλογίας πρὸς τὰς τοιαύτας ἀτοπίας.

V. Ἄλλως μὲν (ἔφην [5]) οὐ μάλα ἱκανῶς· πίνων δὲ (ὡς ὁρᾷς) ἐκ τῆς τηλικαύτης κύλικος οὐκ ἀτόλμως· λέγω δὲ ὅτι τὰ μὲν πάθη πάντα, ταῖς ψυχαῖς [6] ἐμμείναντα πολὺν χρόνον, ἕξεις ἐνεργάζεται πονηράς· αὗται

P 3

1 Ald. Baf. & tres edd. gr. latinae, nec non Vatic. βασκαίνειν. Vulgo etiam αὐτόν. Utrumque Xyl. correxit, & eſt βάσκαινεν in Steph. & R. Conſentiunt Leonic. Schott. & rell. ſcripti. Recepit quoque W. αὐτὸν ſumens ex Salmas. In ind. var. notatur e Turn. & V. βάσκηνεν, ut e Turn. & Bong. βάσκαινε.

2 In δινήεντι Xyl. monet eſſe contractionem, ut in τιμῆντι pro τιμήεντι, niſi forte legendum ſit δίνῃ ἐν ποταμοῦ. Steph. judice conveniret quidem haec lectio ἐν δίνῃ ποταμοῦ, quam Turn. & V. exhibent, at verba illa δινή. ποτ. aliam quandam mutationem poſcere videntur. R. ſuſp. metrum flagitare ῥόῳ, *fluvio verticoſo.* Salmas. correxerat ποτῷ. W. conjicit leg. Δίνῃ ἐν ποταμοῦ. In reliquis hujus verſus ſententia eſt imperfecta.

3 Pro ἐκ τούτου Turn. V. Bong. ἐκ τοῦ.

4 Baf. ἀπολαβεῖν. Xyl. correxit.

5 Vulgo ἔφη καὶ μ. ἱ. Prius Xyl. in ἔφην mutandum monuit. Habet id V. dedique R. probante cum W. conſentientibus Amiot. & Mez. De κ. μ. ἱ. R. judicavit, ſententiam flagitare μετὰ φόβου vel μετ' εὐλαβείας, quaerens, num pro ἱκανῶς legendum εὐλαβῶς — *alias quidem, dicebam, hac de re admodum caute & circumſpecte loquerer.* Quod dedi, debetur W. — *alias, inquam, non admodum hoc fecero commode.*

6 Vulgo ἀτόλμως λέγω· διότι τὰ μὲν πάθη πάντα τῆς ψυχῆς. Secutus ſum W. δὲ ὅτι de ſuo dantem, & ταῖς ψυχαῖς e Palat. ſumentem.

αὗται δὲ, ὅταν ἰσχὺν [1] φύσεως λάβωσιν, ὑπὸ τῆς τυχέσης κινέμεναι προφάσεως, πολλάκις καὶ ἄκοντας ἐπὶ τὰ οἰκεῖα καὶ συνήθη καταφέρεσι πάθη. σκόπει δὲ τὰς δειλὰς, ὅτι καὶ τὰ σώζοντα φοβῦνται· καὶ τὰς ὀργίλας, ὅτι καὶ τοῖς φιλτάτοις δυσκολαίνεσι· καὶ τὰς ἐρωτικὰς καὶ ἀκολάςας, ὅτι τελευτῶντες ἐδὲ τῶν ἁγιωτάτων ἀπέχεσθαι δύνανται σωμάτων. ἡ γὰρ συνήθεια δεινὴ πρὸς τὸ οἰκεῖον ἐξάγειν τὴν διάθεσιν· καὶ τὸν ἀκροσφαλῶς ἔχοντα, πᾶσι προσπταίειν ἀνάγκη τοῖς ὑποπίπτεσιν. ὥστ᾽ ἐκ ἄξιον θαυμάζειν τὰς τὴν φθονητικὴν καὶ βασκαντικὴν [2] ἀπειργασμένας ἐν ἑαυτοῖς ἕξιν, εἰ καὶ πρὸς τὰ οἰκεῖα κατὰ τὴν τῦ πάθες ἰδιότητα κινῦνται· κινέμενοι δὲ ὕτως, ὃ πεφύκασιν, ἐχ ὃ βέλονται, ποιῦσιν. ὡς γὰρ ἡ σφαῖρα κινεῖσθαι σφαιρικῶς, καὶ κυλινδρικῶς ὁ κύλινδρος [3] αναγκάζεται κατὰ τὴν τῦ σχήματος διαφοράν· ὕτως τὸν ὕτω [4] φθονερὸν ἡ διάθεσις φθονητικῶς πρὸς ἅπαντα κινεῖ. ὐ μὴν ἀλλὰ καὶ καταβλάπτειν εἰκος ἐςιν αὐτὰς τὰ οἰκεῖα καὶ ποθέμενα μᾶλλον. ὁ δὲ [5] βέλτιςος Εὐτελίδας, καὶ ὅσοι [6] λέγονται καταβασκαίνειν ἑαυτὰς, ὐκ ἀλόγως μοι δοκῦσι τῦτο πάσχειν. σφαλερὸν γὰρ ἡ ἐπ᾽ ἄκρον εὐεξία, κατὰ τὸν Ἱπποκράτην,

1 R. susp. ἰσχὺν παρὰ τῆς φύσ.

2 Dedi sic, W. probante, pro βασκανητικὴν, forma deteriori, haud dubie e vocabulo antecedenti orta.

3 Ita recte in R. extat. Vulgo ὡς γὰρ ὁ σφαῖρα — ἡ κύλινδρος, articulis perperam permutatis. Priori loco W. reposuit ἡ ex Ald. Bas. Xyl. Pal. Vat. In posteriore cum libri nil varient, reliquit.

4 R. judice, ὕτω delendum.

5 W. e Palat. hanc affert lectionem μᾶλλον· διὸ καὶ βλάπτεσι μᾶλλον. Ὁ δὲ — & addit, si germanum sit, ut videatur, hoc auctarium, paulo ante legendum καταβλέπειν.

6 Vulgo ὃ καὶ ὅσοι. R. ὃ delendum censuit, & delevi cum W. auctoritatem Mez. sequente.

την [1], καὶ τὰ σώματα, προελθόντα μέχρι τῆς ἄκρας ἀκμῆς, ἐχ ἕστηκεν, ἀλλὰ ῥέπει [2] καὶ ταλαντεύεται πρὸς τὐναντίον· ὅταν ἐν ἐπίδοσιν ἀθρόαν λάβωσι, καὶ [3] βέλτιον, ἢ προσεδόκων, ἔχοντας ἑαυτὲς ἐπιβλέπωσιν, ὥστε θαυμάζειν καὶ κατασκοπεῖν, τὸ σῶμα τῆς μεταβολῆς ἐγγύς ἐστι, καὶ Φερόμενοι ταῖς ἕξεσι πρὸς τὸ χεῖρον, ἑαυτὲς καταβασκαίνειν λέγονται [4]. τἒτο δὲ γίνεται μᾶλλον ἀπὸ τῶν πρὸς ὕδασιν, ἢ τισιν ἄλλοις ἐσόπτροις, ὑφισαμένων ῥευμάτων· ἀναπνεῖ [5] γὰρ ἐπ᾽ αὐτὲς τὲς ὁρῶντας, ὥστε οἷς ἑτέρες ἔβλαπτον, αὐτὲς κακὔσθαι. τἒτο δ᾽ ἴσως καὶ περὶ τὰ παιδία γινόμενον καταψεύδεται πολλάκις τὴν αἰτίαν τῶν ἐνορώντων.

VI. Ἐμῦ δὲ παυσαμένυ, Γάϊος, ὁ Φλώρυ γαμβρός· Τῶν δὲ Δημοκριτείων (ἔφη) εἰδώλων, ὥσπερ Αἰγιέων [6], ἢ Μεγαρέων, ἀριθμὸς ὐδεὶς, ὐδὲ λόγος· ἃ φησιν ἐκεῖνος ἐξιέναι τὲς φθονῦντας [7], ὔτ᾽ αἰσθήσεως ἄμοιρα παντάπασιν, ὔτε ὁρμῆς, ἀνάπλεά τε τῆς ἀπὸ τῶν



1 Ald. κατὰ τὸν Ἱππότην.

2 Vulgo πίπτει. Ald. Baſ. ῥίπτει. Turn. V. ῥέπει, quod dedi cum W. idem ſumente e Palat.

3 Vulgo abeſt καὶ. Dedi e Turn. & V. cum W. Maluit R. λαβόντες pro λάβωσι. Turn. deinde ἔχοντες.

4 Vulgo abeſt λέγονται, quod e V. addidi. R. voluit δοκῦσι. Turn. dat καταβασκαίνυσι. W. aut δοκῦσι, aut λέγονται e V. addendum monuit.

5 Ita R. dari voluit, dedique cum W. idem ex E. H. Palat. Vatic. ſumente pro vulg. ἀναπνεῖν.

6 R. legi voluit Αἰγινητῶν, Baſ. in qua eſt Αἰγινέων, eo ducente, his additis: „de bellis Athenienſium cum Aeginetis, & illorum in hos odio & contemtu vid. Herodot. & Aelian. V. H. 2, 9. Quam contemti ab Athenienſibus Megarenſes fuerint, conſtat ex Ariſtophane.“ Vertit quoque Xyl. *de Aeginetis*, Megarenſibus plane omiſſis. Alluditur autem ad oraculum, Aegienſibus (Aegium, urbs Achaiae) ſeu, ut alii volunt, Megarenſibus datum, quo Apollo eos in nullo eſſe numero teſtatur.

7 Turn. V. τῶν φθονύντων.

τῶν προϊεμένων μοχθηρίας καὶ βασκανίας· μεθ' ἧς ἐμπλασσόμενα, καὶ παραμένοντα, καὶ συνοικοῦντα τοῖς βασκαινομένοις, ἐπιταράττειν καὶ κακοῦν αὐτῶν τό τε σῶμα καὶ τὴν διάνοιαν. οὕτως γὰρ (οἶμαι) πως τὸν ἄνδρα τῇ δόξῃ, τῇ δὲ λέξει [1] δαιμονίως λέγειν καὶ μεγαλοπρεπῶς. Πάνυ μὲν οὖν, (ἔφην [2]) ἀλλὰ θαυμάζω, πῶς ἔλαθον ὑμᾶς [3] οὐδὲν ἄλλο τῶν ῥευμάτων τούτων, ἢ τὸ ἔμψυχον ἀφελὼν καὶ προαιρετικόν [4]. ἵνα μή με δόξητε πόῤῥω νυκτῶν οὖσιν [5] ὑμῖν ἐπάγοντα φάσματα καὶ εἴδωλα πεπνυμένα καὶ φρονοῦντα μορμολύττεσθαι καὶ διαταράττειν. αὖθεν οὖν, ἐὰν δοκῇ, περὶ τούτων σκεψώμεθα [6].

## QUAESTIO VIII.

### Cur malum Homerus aglaocarpum, id est insignem fructu: Empedocles, mala hyperphloea, dixerit [7]?

Ἑστιωμένων ἡμῶν ποτὲ ἐν Χαιρωνείᾳ, καὶ παρατεθείσης παντοδαπῆς ὀπώρας, ἐπῆλθέ τινι τῶν κατακειμένων ἀναφθέγξασθαι τὸν στίχον ἐκεῖνον·

Σῦκαί τε γλυκεραὶ καὶ μηλέαι ἀγλαόκαρποι [8],

καὶ

1 R. susp. τῇ μὲν ἐπινοίᾳ δεξιῶς, τῇ δὲ λέξει —.

2 E Frft. in R. transiit ἔφη. Restitui ἔφην.

3 Secutus sum W. ita dantem ex H. Amiot. Xyl. Mez. in ἔλαθον consentientibus Ald. Bas. E. & in ὑμᾶς Turn. & V. Pro priori R. voluit ἔλαθεν.

4 R. deesse susp. post h. v. ἀλλ' ἐῶ ταῦτα.

5 R. mavult πόῤῥω νυκτὸς οὖσιν, agentibus vobis in nocte jam multum profecta.

6 V. καὶ σκεψόμεθα.

7 Personae colloquii sunt Plutarchus, Tryphon, Grammatici, Lamprias avus.

8 Odyss. VII, 115. Sequentia καὶ ἐλ. τηλεθ. Xyl. lubens expunxerit. R. monente, versus ita sunt ordinandi καὶ μηλεα

καὶ ἐλαῖαι τηλεθόωσαι. ζήτησις ὖν ἦν, διὰ τί τὰς μηλέας ὁ ποιητὴς ἀγλαοκάρπυς ἐξαιρέτως προσεῖπεν. καὶ Τρύφων μὲν, ὁ ἰατρὸς, ἔλεγε, κατὰ τὴν πρὸς τὸ δένδρον εἰρῆσθαι σύγκρισιν, ὅτι, μικρὸν ὂν κομιδῆ καὶ τὴν ὄψιν εὐτελὲς, καλὸν καὶ μέγαν ἐκφέρει τὸν καρπόν. ἄλλος δέ τις ἔφη, τὸ καλὸν ἐκ πάντων συντεθὲν [1], μόνῳ τύτῳ τῶν ἀκροδρύων ὁρᾶν ὑπαρχον· καὶ γὰρ τὴν ψαῦσιν ἔχει καθάπερ ἴον [2], ὥςε μὴ μολύνειν, ἀλλ' ευωδίας ἀναπιμπλάναι τὸν ἁπτόμενον· καὶ τὴν γεῦσιν ἡδεῖαν, ὀσφραίνεσθαί τε καὶ ἰδεῖν ἐπιτερπέςατόν ἐςι· διὸ καὶ πάσας ὁμῦ τι τὰς αἰσθήσεις προσαγόμενον, εἰκότως ἐπαινεῖσθαι.

II. Ταῦτα μὲν ὖν ἔφαμεν ἡμεῖς μετρίως λέγεσθαι· τῦ δ' Ἐμπεδοκλέυς εἰρηκότος·

Οὕνεκεν ὀψίγονοί τε σίδαι καὶ ὑπέρφλοια μῆλα·

το μὲν τῶν σιδῶν ἐπίθετον [3] νοεῖν, ὅτι, τῦ φθινοπώρυ λήγοντος ἤδη, καὶ τῶν καυμάτων μαραινομένων, ἐκπέπτυσι [4] τὸν καρπόν· ἀσθενῆ γὰρ αὐτῶν τὴν ὑγρότητα καὶ γλίσχρὰν ὖσαν ὐκ ἐᾷ λαβεῖν σύςασιν ὁ ἥλιος, ἂν μὴ μεταβάλλειν ὁ ἀὴρ ἐπὶ τὸ ψυχρότερον ἄρχηται· διὸ καὶ μόνον τῦτό φησι Θεόφραςος τὸ δένδρον ἐν τῇ



λεαι ἀγλαόκαρποι, σῦκαί τε γλυκεραί, καὶ ἐλαῖαι τηλεθόωσαι, & forte quoque prioris initium recitatum fuit: ὄχναι τε ῥοιαί τε. Turn. & V. dant ὄχναι, καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι, σῦκαί τε γλυκεραί.

1 Vulgo συντιθέντα. R. defendi quidem posse monet, si ἑαυτὸν subaudiatur. Mavult tamen συντεθέντων aut συντεθέν. Posterius, quod e Turn. & V. affertur, dedi cum W. e Palat. notante συντεθέντων.

2 Pro καθάπερ ἴον R. legi vult uno vocabulo καθάριον, *habet attactum mundum & purum.* W. probat.

3 R. susp. ἐπίθετον ῥᾴδιον, ἔφην, νοεῖν.

4 W. notat, variare libros veteres in hujus verbi forma, aliis ἐκπέττυσι ferentibus (sic h. l. Bas.) & unam & constantem formam retinendam ducit. Eum sequi haud dubitavi, dando similiter infra ἐκπέπτειν.

σκιᾷ βέλτιον ἐκπέττειν τὸν καρπὸν καὶ τάχιον· τὰ δὲ μῆλα καθ' ἥντινα διάνοιαν ὁ σοφὸς ὑπέρφλοια προσειρήκει, διαπορεῖν [1], καὶ μάλιστα τοῦ ἀνδρὸς οὐ καλλιγραφίας ἕνεκα τοῖς εὐπροσωποτάτοις τῶν ἐπιθέτων, ὥσπερ ἀνθηροῖς χρώμασι, τὰ πράγματα γανοῦν εἰωθότος, ἀλλ' ἕκαστον οὐσίας τινὸς ἢ δυνάμεως δήλωμα ποιοῦντος· οἷον, ἀμφιβρότην [2] χθόνα, τὸ τὴν ψυχὴν [3] περικείμενον σῶμα· καὶ νεφεληγερέτην τὸν ἀέρα, καὶ πολυαίματον τὸ ἧπαρ.

III. Εἰπόντος οὖν ἐμοῦ ταῦτα, γραμματικοί τινες ἔφασαν, ὑπέρφλοια λελέχθαι τὰ μῆλα διὰ τὴν ἀκμήν· τὸ γὰρ ἄγαν ἀκμάζειν καὶ τεθηλέναι φλοίειν [4] ὑπὸ τῶν ποιητῶν λέγεσθαι· καὶ τὸν Ἀντίμαχον οὕτω πως φλοίουσαν ὀπώραις εἰρηκέναι τὴν τῶν Καδμείων πόλιν· ὁμοίως τὸν Ἄρατον ἐπὶ τοῦ Σειρίου λέγοντα·

Καὶ τὰ μὲν [5] ἔῤῥωσεν, τὸν δὲ φλόον ὤλεσε πάντα·

τὴν χλωρότητα καὶ τὸ ἄνθος τῶν καρπῶν, φλόον προσαγορεύειν [6]. εἶναι δὲ καὶ τῶν Ἑλλήνων τινὰς, οἳ Φλοίῳ Διονύσῳ θύουσιν. ἐπεὶ τοίνυν μάλιστα τῶν καρπῶν ἡ χλωρότης καὶ τὸ τεθηλέναι τῷ μήλῳ παραμένει, ὑπέρφλοιον αὐτὸ τὸν φιλόσοφον προσαγορεῦσαι. Λαμπρίας δὲ, ὁ πάππος ἡμῶν, ἔφη, τὴν Ὑπὲρ φωνὴν οὐ μόνον τὸ ἄγαν καὶ τὸ σφοδρὸν δηλοῦν, ἀλλὰ καὶ τὸ ἔξωθεν, καὶ τὸ ἄνωθεν· οὕτω γὰρ ὑπέρθυρον

καὶ

1 R. susp. προσείρηκε, δεῖ διαπορεῖν.

2 Bas. ἀμφιβρόντην. Xyl. correxit.

3 Turn. V. τῇ ψυχῇ.

4 Ald. φλοιὴν.

5 Post τὰ μὲν Turn. & V. inserunt οὖν. Pro seq. τὸν δὲ φλ. R. susp. τὰ δὲ τοι φλόον ὤ. quaedam vero florem perdiderunt omnem. Salmas. corrigit τῶν δὲ. Atque ita, W. teste, legitur ap. Arat. Phaen. 335.

6 Sic restituendum censui e Bas. pro vulg. προσαγορεύων, quod etiam in W. legitur. Ratio facile patet.

καὶ ὑπερῷον καλεῖν ἡμᾶς, τὸν δὲ ποιητὴν καὶ κρέα ὑπέρτερα [1] τὰ ἔξω τῆ ἱερεία, ὥσπερ ἔγκατα, τὰ ἐντός. ὅρα τοίνυν, (ἔφη) μὴ πρὸς τῦτο μᾶλλον ὁ Ἐμπεδοκλῆς πεποίηκε τὸ ἐπίθετον, ὅτι, τῶν ἄλλων καρπῶν [2] τὸ ἔξωθεν ὑπὸ τῦ φλοιῦ περιεχομένων, καὶ τὰ καλέμενα λεπύχανα [3] καὶ κελύφη, καὶ ὑμένας, καὶ λοβὰς ἐπιπολῆς ἐχόντων, ὁ τῦ μήλε φλοιὸς ἐντός ἐςι κολλώδης χιτὼν καὶ λιπαρὸς, ᾧ προσίσχεται τὸ σπέρμα· τὸ δ' ἐδώδιμον, ἔξωθεν αὐτῷ περικείμενον, εἰκότως ὑπέρφλοιον ὠνόμαςαι [4].

## QUAESTIO IX.

### Quid sit causae, quod ficus, amarissimi saporis arbor, dulcissimum producit fructum [5]?

Μετὰ δὲ ταῦτα περὶ τῶν συκῶν διηπορήθη, τί δή ποτε πίων καὶ γλυκὺς ἕτως καρπὸς ἀπὸ δένδρε φύεται πικροτάτε· τῆς γὰρ συκῆς καὶ τὸ φύλλον διὰ τὴν τραχύτητα θρῖον ὠνόμαςαι, καὶ τὸ ξύλον ὀπῶδές ἐςιν· ὥςε καιόμενον μὲν ἐκδιδόναι δριμύτατον καπνὸν, κατακαυθὲν [6] δὲ τὴν ἐκ τῆς τέφρας κονίαν ῥυπτικωτάτην παρέχειν ὑπὸ δριμύτητος· ὃ δέ ἐςι θαυμασιώτατον, ἀνθῦν-

1 Odyss. III, 65.

2 R. monente, τὸ abundat, & τὸ ἔξωθεν idem est atque simplex ἔξωθεν, vel κατὰ τὸ ἔξωθεν, *ab externa parte.* Mez. ἔξωθεν mutat in ἐδώδιμον: quo assumto περιεχομένων W. mutandum monet in περιεχόμενον. Voluit hoc jam Steph. at R. vulgatam defendit, ut bene habentem.

3 Ita H. Steph. reposuit pro λεπτύχανα, quod antea legebatur.

4 Dedi sic e R. mente pro vulg. ὠνομάσθαι. E Turn. & V. affertur: ὥςε vel εἰκός ἐςιν ὑπέρφλοιον ὠνόμαςαι vel ὠνόμασε.

5 Personae colloquii sunt Lamprias avus, alii.

6 Ita R. dandum monuit, dedique e Turn. & V. cum W. pro vulg. κατακαυθεῖσαν. Redit ad ξύλον.

ἀνθέντων ἁπάντων, ὅσα βεβλάστηκε καὶ καρποφορεῖ, μόνον ἀνανθές ἐστι [1] τὸ τῆς συκῆς φυτόν· εἰ δὲ (ὥς φασιν) οὐ κεραυνοῦται, καὶ τοῦτο ἄν τις ἀναθείη τῇ πικρότητι καὶ κακεξίᾳ τοῦ στελέχους· τῶν γὰρ τοιούτων οὐ δοκοῦσιν ἐπιθιγγάνειν οἱ κεραυνοί, καθάπερ οὐδὲ τῆς φώκης τοῦ δέρματος, οὐδὲ τῆς ὑαίνης. ὑπολαβὼν οὖν ὁ πρεσβύτης, ἔφη, τῷ καρπῷ γλυκύτητος ἅπαν τοῦτο [2] συνθλιβόμενον, εἰκότως δριμὺ ποιεῖν καὶ ἄκρατον τὸ λειπόμενον· ὥσπερ γὰρ τὸ ἧπαρ, εἰς ἕνα τόπον τοῦ χολώδους ἀποκριθέντος, αὐτὸ γίνεται γλυκύτατον· οὕτως τὴν συκῆν εἰς τὸ σῦκον ἅπαν τὸ λιπαρὸν καὶ νόστιμον ἀφιεῖσαν, αὐτὴν ἄμοιρον εἶναι γλυκύτητος. ἐπεὶ ὅτι γε μετέχει τινὸς εὐχυμίας τὸ ξύλον, ἐκεῖνο, (ἔφη) ποιοῦμαι σημεῖον, ὃ λέγουσι οἱ κηπωροί· λέγουσι δὲ περὶ τοῦ πηγάνου [3], τὸ φυόμενον ὑπ' αὐτῇ, καὶ παραφυόμενον ἥδιον εἶναι, καὶ τῷ χυμῷ μαλακώτερον, ὡς ἂν ἀπολαῦον [4] τινὸς γλυκύτητος, ἢ [5] κατασβέννυται

1 Sic H. Steph. scribendum monuit, dedique e Turn. & V. pro vulg. ἀνάνθεόν ἐστι. Probat idem W. ex iisd. & Anon.

2 R. susp. ἐπιῤῥεούσης τῷ καρπῷ τῆς γλυκύτητος, ἅπαν τοῦτο εἰς ἕνα τόπον συνθλ. W. ita legendum monet: ἐν τῷ καρπῷ τούτῳ γλυκύτητος ἅπαν συνθλ. Pro τῷ καρπῷ Ald. Bas. τῷ φυτῷ; Pro τοῦτο V. & Turn. εἰς ταυτό. Recepi deinde ποιεῖν e Turn. & V. probantibus R. & W. pro vulg. ποιεῖ.

3 Vulgo ἐκεῖνο, ἔφην, ποιοῦμαι σημεῖον, ὃ λέγουσι, τοῦ πηγάνου. Xyl. pro ἔφην maluit ἔφη; probavit R. & dat V. In eo ipso & rell. secutus sum W. lacunae vestigia, quae Ald. & Vatic. habent, e Palat. supplentem. Eodem teste Amiot. quoque ἔφη vertendo expressit. E Turn. & V. notatur ὃ λέγουσι περὶ τοῦ πηγάνου.

4 Ald. Bas. quibuscum faciunt Venet. Palat. Vatic. ἀναπαῦον. Hinc Xyl. Jun. fecerunt ἀπολαῦον; Leonic. Schott. ἐναπολαῦον, quod Steph. dedit; quod R. idem esse voluit, atque συναπολαῦον. Pro eo cum W. dedi e V. ἂν ἀπολαῦον.

5 Sic R. & Steph. dandum monuerunt pro vulg. ᾗ, dedique cum W. idem e Leonic. Schott. Anon. sumente.

νυται τὸ ἄγαν βαρὺ καὶ κατάκορον, εἰ μὴ νὴ Δία τὐναντίον ἡ συνὴ περισπῶσα τὴν τροφὴν ἐξαίρει τὸ τῆς [1] δριμύτητος.

## QUAESTIO X.

### Quinam sint, qui circa salem et cuminum dicuntur, ibidemque cur salem Homerus divinum dixerit [2]?

Ἐζήτει Φλῶρος, ἑστιωμένων ἡμῶν παρ' αὐτῷ, τίνες ἂν εἶεν οἱ περὶ ἅλα καὶ κύμινον [3] ἐν τῇ παροιμίᾳ λεγόμενοι. καὶ τοῦτο μὲν ἐκ προχείρου διέλυσεν Ἀπολλοφάνης, ὁ γραμματικός. οἱ γὰρ οὕτω συνήθεις (ἔφη) τῶν φίλων, ὥστε καὶ πρὸς ἅλα δειπνεῖν [4] καὶ κύμινον, ὑπὸ τῆς παροιμίας προβάλλονται. τὴν δὲ τῶν ἁλῶν τιμὴν ἀφ' ὅτου γένοιτο διηπορῦμεν, Ὁμήρου [5] μὲν ἄντικρυς λέγοντος·

Πάσσε δ' ἁλὸς θείοιο·

Πλάτωνος [6] δὲ τῶν ἁλῶν σῶμα κατὰ νόμον ἀνθρώπων θεοφιλέστατον εἶναι φάσκοντος. ἐπέτεινε δὲ τὴν ἀπορίαν τὸ τοὺς Αἰγυπτίους ἱερέας ἁγνοὺς ὄντας [7] ἀπέχεσθαι τὸ πάμπαν ἁλῶν, ὥστε καὶ τὸν ἄρτον ἄναλον προσφέρεσθαι. πῶς γὰρ, εἰ θεοφιλὲς καὶ θεῖον, ἀφωσίωσαν [8].

II.

1 Mez. corrigit τί τῆς.

2 Personae colloquii sunt Florus, Apollophanes, Plutarchus, Philinus.

3 V. fort. τὸ κύαμον, & ita Salmas. corrigi vult, & est ap. Diog. I, 50. ac Zenob. II, 25. Tuetur vulgatam W. e consensu omnium librorum. Cf. Sympos. IV. quaest. I. p. 169. not. 2.

4 R. mavult συνδειπνεῖν.

5 Iliad. IX. 214.

6 In Timaeo, Opp. V. IX. ed. Bip. p. 367. R. deinde voluit τὸ τῶν ἁλῶν. Consentit Mez. nec non W.

7 Pro ἁγνοὺς ὄντας W. susp. ἁγνεύοντας.

8 R. mavult ἀφωσιώσαντο.

II. Φλῶρος μὲν οὖν ἐᾷν ἐκέλευσε τὰς Αἰγυπτίους, Ἑλληνιστὶ δ' αὐτοὺς εἰπεῖν τι πρὸς τὸ ὑποκείμενον. ἐγὼ δ' ἔφην, οὐδὲ τοὺς Αἰγυπτίους μάχεσθαι τοῖς Ἕλλησιν. αἱ γὰρ ἁγνεῖαι καὶ παιδοποιΐαν καὶ γέλωτα καὶ οἶνον, καὶ πολλὰ τῶν ἄλλως [1] ἀξίων σπουδῆς ἀφαιροῦσι· τοὺς δὲ ἅλας τάχα μὲν ὡς ἐπὶ συνουσίαν ἄγοντας ὑπὸ θερμότητος, ὡς ἔνιοι λέγουσι, φυλάττονται καθαρεύοντες· εἰκὸς δὲ καὶ ὡς ὄψον ἥδιστον παραιτεῖσθαι. κινδυνεύουσι γὰρ οἱ ἅλες τῶν ἄλλων ὄψων ὄψον εἶναι καὶ ἥδυσμα· διὸ καὶ χάριτας ἔνιοι προσαγορεύουσιν αὐτοὺς, ὅτι τῆς τροφῆς τὸ ἀναγκαῖον ἡδὺ ποιοῦσιν.

III. Ἆρ' οὖν (ὁ Φλῶρος ἔφη) διὰ τοῦτο θεῖον εἰρῆσθαι τὸν ἅλα φῶμεν; ἔστι μὲν δὴ, εἶπον [2], οὐδὲ τοῦτο ἐλάχιστον. οἱ γὰρ ἄνθρωποι τὰ κοινὰ, καὶ διήκοντα ταῖς χρείαις ἐπὶ τὸ πλεῖστον, ἐκθειάζουσιν, ὡς τὸ ὕδωρ, ὡς τὸ φῶς, τὰς ὥρας· τὴν δὲ γῆν οὐ μόνον θεῖον, ἀλλὰ καὶ θεὸν, ὑπολαμβάνουσιν· ὧν οὐδενὸς λείπεται χρείᾳ τὸ τῶν ἁλῶν, θρίγκωμα τῆς τροφῆς γινόμενον εἰς τὸ σῶμα, καὶ παρέχον εὐαρμοστίαν αὐτῇ πρὸς τὴν ὄρεξιν. οὐ μὴν ἀλλὰ καὶ σκόπει, μὴ κἀκεῖνο θεῖον αὐτῷ συμβέβηκεν, ὅτι τῶν σωμάτων τὰ νεκρὰ διατηροῦν ἄσηπτα καὶ μόνιμα πολὺν χρόνον, ἀντιτάττεται τῷ θανάτῳ, καὶ οὐκ ἐᾷ παντελῶς ἐξολέσθαι καὶ ἀφανισθῆναι τὸ θνητόν· ἀλλ' ὥσπερ ἡ ψυχὴ, θειότατον οὖσα τῶν ἡμετέρων, τὰ ζῶα συνέχει, καὶ ῥεῖν οὐκ ἐᾷ τὸν ὄγκον, οὕτως ἡ τῶν ἁλῶν φύσις τὰ νεκρὰ παραλαμβά-

1 Vulgo τῶν ἄλλων ἀξίων ex Schotto. Bas. ἄλλως ἀξίως. Xyl. ἄλλων ἀξίως. Dedi ἄλλως, R. jubente, cum W. ex Ald. & H.

2 Dedi sic e Xyl. mente, cum W. & Amiot. pro vulg. δεῖγμα, quod Steph. e Leonic. Schott. Anon. dedit loco vocabuli δεῖπνον, quod habent Ald. Bas. E. H. Venet. Vatic. Palat. E V. notatur ἔστι μὲν αἴτιον. Post ἐλάχιστον R. deesse notat ἔφην. Deinde Ald. & Bas. vitiose ἐπεὶ pro ἐπί. Hinc e Turn. notatur ἐπιτοπλεῖστον.

λαμβάνουσα, καὶ μιμουμένη τὸ τῆς ψυχῆς ἔργον, ἀντιλαμβάνεται φερομένων ἐπὶ τὴν φθορὰν, καὶ κρατεῖ, καὶ ἵστησιν, ἁρμονίαν παρέχουσα καὶ φιλίαν πρὸς ἄλληλα τοῖς μέρεσι. διὸ καὶ τῶν Στωϊκῶν ἔνιοι τὴν ὗν σάρκα κρέα [1] γεγονέναι λέγουσι, τῆς ψυχῆς, ὥσπερ ἁλῶν, παρεσπαρμένης ὑπὲρ τοῦ διαμένειν. ὁρᾷς δὲ, ὅτι καὶ τὸ κεραύνιον πῦρ ἱερὸν ἡγούμεθα καὶ θεῖον, ὅτι τὰ σώματα τῶν διοβλήτων ἄσηπτα πρὸς πολὺν ἀντέχοντα χρόνον ὁρῶμεν. τί οὖν θαυμαστὸν, εἰ καὶ τὸν ἅλα, τὴν αὐτὴν ἔχοντα τῷ θείῳ δύναμιν πυρὶ, θεῖον ὑπέλαβον οἱ παλαιοί.

IV. Σιωπήσαντος δέ μου [2], Φιλῖνος ὑπολαβών· Τὸ δὲ γόνιμον οὐ δοκεῖ σοι (ἔφη) θεῖον εἶναι, εἴπερ ἀρχεῖ [3] ὁ θεὸς πάντων; ὁμολογήσαντος δέ μου· Καὶ μὴν (ἔφη) τὸν ἅλα οὐκ ὀλίγον πρὸς γένεσιν συνεργεῖν οἴονται, καθάπερ αὐτὸς ἐμνήσθης τῶν [4] Αἰγυπτίων. οἱ γοῦν τὰς κύνας φιλοτροφοῦντες, ὅταν ἀργότεραι πρὸς συνουσίαν ὦσιν, ἄλλοις τε βρώμασιν ἁλμυροῖς καὶ ταριχευτοῖς

1 Ald. Baf. τὴν νῦν σάρκα κρέα. Xyl. legit τὴν ὗν σάρκα καὶ κρέα γ. λ. *Stoicorum nonnulli suem nihil aliud, quam carnes, esse ajunt, quandoquidem anima salis instar per eas diffusa, facit, ut consistat & permaneat.* H. Steph. qui ὗν pro νῦν veteris codicis auctoritate firmari notat, aut idem legendum conjecerat, aut τὴν ὑὸς σάρκα, κρέα; id quod e Turn. & V. notatur. R. susp. τὴν ὗν σαπρὸν κρέας γεγ. λ. W. e Mez. τὴν ὗν σαρκὸς ἕνεκα notat, & praeferendum ducit rationi Leopardi Em. 18, 3. τὴν ὑεινὴν σάρκα, κρέας. Cf. Plin. H. N. VIII, 77. Cic. de fin. bon. & mal. V, 38. Clemens Alexandr. Strom. VII. ex quo H. Steph. haec Cleanthis verba citat: Διὸ καὶ Κλεάνθης φησὶν, ἀνθ' ἁλῶν αὐτὰς ἔχειν τὴν ψυχὴν, ἵνα μὴ σαπῇ τὰ κρέα.

2 Pro δέ μου V. δ' αὐτοῦ.

3 R. susp. εἴπερ ἄρχει, καθάπερ ὁ θεὸς, πάντων, *si semen, pariter atque deus, rerum omnium principium est.* W. susp. ἀρχὴ cum Amiot. & Mez.

4 R. legi vult ἐμνήσθης ἐπὶ τ. Αἰ. *de Aegyptiis, vel cum de Aegyptiis diceres.*

χευτοῖς κρέασι κινῦσι καὶ παροξύνυσι τὸ σπερματικὸν αὐτῶν ἡσυχάζον. τὰ δὲ ἁληγὰ πλοῖα πλῆθος ἐκφύει μυῶν ἄπλετον, ὡς μὲν ἔνιοι λέγυσι, τῶν θηλειῶν καὶ δίχα συνυσίας κυυσῶν, ὅταν τὸν ἅλα λείχωσιν· εἰκὸς δὲ μᾶλλον ἐμποιεῖν τὴν ἁλμυρίδα τοῖς μορίοις [1] ὀδαξισμὺς, καὶ συνεξορμᾶν τὰ ζῶα πρὸς τὺς συνδυασμύς. διὰ τῦτο δὲ ἴσως καὶ κάλλος γυναικὸς, τὸ μήτ' ἀργὸν, μήτ' ἀπίθανον, ἀλλὰ μεμιγμένον χάριτι καὶ κινητικὸν, ἁλμυρὸν καὶ δριμυ καλῦσιν. οἶμαι δὲ, καὶ την Ἀφροδίτην ἁλιγενῆ τὺς ποιητὰς προσαγορεύειν, καὶ μῦθον ἐπ' αὐτῇ πεπλασμένον ἐξενεγκεῖν, ὡς ἀπὸ θαλάττης ἐχύσης τὴν γένεσιν, εἰς τὸ τῶν ἁλῶν γόνιμον αἰνιττομένυς. Καὶ γὰρ αὐτὸν τὸν Ποσειδῶνα, καὶ [2] ὅλως τὺς πελαγικὺς [3] θεὺς πολυτέκνυς καὶ πολυγόνυς ἀποφαίνυσιν. αὐτῶν δὲ τῶν ζώων ὐδὲν ἂν χερσαῖον ἢ πτηνὸν εἰπεῖν ἔχοις ὕτω γόνιμον, ὡς πάντα θαλάττια· πρὸς ὃ καὶ πεποίηκεν ὁ Ἐμπεδοκλῆς·

Φῦλον ἄμυσον [4] ἄγυσα πολυσπερέων καμασηνῶν.

ΠΛΟΥ-

1 Sic legendum probavit R. dedique e Turn. & V. pro vulg. θηρίοις, quod Steph. repoſuit e vet. exempl. licet ipſe de μορίοις cogitarit. Eſt nimirum in Ald. Baſ. μυρίοις. W. quoque dedit μορίοις, accedentibus Palat. Pol Leonic. Anon. Amiot. Mez. Num Xyl. & codd. E. H. Vatic. cum Ald. & Baſ. conſentiant, an cum Coll. Mur. unde μυσίοις affertur, ex ipſius nota haud plane liquet. Pro ὀδαξισμὺς cum eodem n alim ὀδαξησμὺς. Ald. deinde & Baſ. συνεξορμᾶ.

2 Vulgo ἀλλὰ καὶ ὅλως. Secutus ſum W. ita dantem e Palat. omiſſo ἀλλὰ, quod cum vulgata commune habet, nec ſatis ſanum videbatur.

3 Vulgo πελασγικὺς. R. voluit πελαγίυς. Repoſui πελαγικὺς e Baſ. cum W. accedentibus Amiot. & Xyl.

4 R. monente, ἄμυσον φῦλον Empedocles dixit piſces, non ſolummodo quia ſunt ſtupidi, ſed etiam, quia muti & cantu carent.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ

## ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

---

### PROOEMIUM.

Τιμόθεον τὸν Κόνωνος, ὦ Σόσσιε Σενεκίων, ὡς [1] ἐκ τῶν πολυτελῶν καὶ στρατηγικῶν [2] δείπνων ἀναλαβὼν, ὁ Πλάτων ἐδείπνισεν ἐν Ἀκαδημίᾳ, μουσικῶς καὶ ἀφελῶς ταῖς ἀφλεγμάντοις (ὥς φησιν ὁ Ἴων) τραπέζαις, αἷς ὕπνοι τε καθαροὶ καὶ βραχυόνειροι φαντασίαι, τοῦ σώματος εὐδίαν καὶ γαλήνην ἔχοντος, ἕπονται. μεθ' ἡμέραν οὖν ὁ Τιμόθεος αἰσθόμενος τῆς διαφορᾶς, ἔφη, τοὺς παρὰ Πλάτωνι δειπνήσαντας [3] καὶ τῇ ὑστεραίᾳ καλῶς γίνεσθαι. μέγα γὰρ ὡς ἀληθῶς εὐημερίας ἐφόδιον εὐκρασία [4] σώματος ἀβαπτίστου καὶ ἐλαφροῦ, καὶ παρεστῶτος ἀνυπόπτως ἐπὶ πᾶσαν ἐνέργειαν. ἀλλ' ἕτερον οὐκ ἔλαττον ὑπῆρχε τοῦτο [5] τοῖς παρὰ Πλάτωνι δειπνήσασιν, ἡ τῶν λαληθέντων παρὰ πότον ἀνα-

1 R. ὡς aut deleri vult, aut deesse aliquid monet, e. c. ἀκήκοας δήπου, vel ἀναγινώσκομεν.

2 Sic R. e Turn. legendum censuit, dedique pro vulg. στρατιωτικῶν. Probavit idem W. ex Amiot.

3 Turn. V. τοῖς παρὰ Πλάτωνι δειπνήσασι. E Turn. haec quoque afferuntur: οἱ παρὰ Πλάτωνι δειπνήσαντες, καὶ εἰς αὔριον καλῶς, vel ἡδέως γίνονται ἐν τοῖς ὑγιεινοῖς.

4 Secutus sum W. ita dantem e Palat. & Xyl. pro vulg. εὐκρασίαν.

5 W. susp. τοῦτο cum Amiot.

ἀναθεώρησις· αἱ μὲν γὰρ τῶν ποθέντων [1] ἡδοναὶ τὴν ἀνάμνησιν ἀνελεύθερον ἔχουσι, καὶ ἄλλως ἐξίτηλον, ὥσπερ ὀσμὴν ἕωλον, ἢ κνίσσαν ἐναπολειπομένην· προβλημάτων δὲ καὶ λόγων φιλοσόφων ὑποθέσεις αὐτάς τε [2] μεμνημένους εὐφραίνουσιν, ἀεὶ πρόσφατοι παροῦσαι· καὶ τοὺς ἀπολειφθέντας οὐχ ἧττον εἰς αἰτίαν παρέχουσι τοῖς αὐτοῖς ἀκούοντας καὶ μεταλαμβάνοντας [3]. ὅπου καὶ νῦν τῶν Σωκρατικῶν συμποσίων μετουσία καὶ ἀπόλαυσίς ἐστι τοῖς φιλολόγοις, ὥσπερ αὐτοῖς ἐκείνοις τοῖς τότε δειπνοῦσι. καίτοι, εἰ τὰ σωματικὰ τὰς ἡδονὰς παρεῖχον, ἔδει καὶ Ξενοφῶντα καὶ Πλάτωνα μὴ τῶν λαληθέντων, ἀλλὰ τῶν παρατεθέντων ἐν Καλλίου καὶ Ἀγάθωνος ὄψων καὶ πεμμάτων καὶ τραγημάτων ἀπογραφὴν ἀπολιπεῖν· νῦν δ' ἐκεῖνα μὲν οὐδέποτε, καίπερ, ὡς εἰκὸς, ἐκ παρασκευῆς γινόμενα [4] καὶ δαπάνης, λόγου τινὸς ἠξιώθη· τὰ δὲ φιλοσοφηθέντα μετὰ παιδιᾶς [5] σπουδάζοντες, εἰς γραφὴν ἀπετίθεντο, καὶ κατέλιπον παραδείγματα τοῦ μὴ μόνον συνεῖναι διὰ λόγων ἀλλήλοις παρὰ πότον, ἀλλὰ καὶ μεμνῆσθαι τῶν λαληθέντων.

QUAE-

1 R. fufp. *καταποθέντων*, epularum devoratarum, aut *ἀπολαυθέντων*. W. quoque notat, ineffe quidem vulgatam omnibus libris, at fe quodvis aliud probare, *ποθέντων*, *προσενεχθέντων*, *παρατεθέντων*, aut fimile.

2 R. mavult *αὐτούς τε τοὺς μ.*

3 R. judice, fententia flagitat: *καὶ τοὺς ἀπολειφθέντας οὐχ ἧττον εὐφραίνουσι τῶν αὐτοὺς ἀκουόντων καὶ μεταλαμβανόντων.* Xyl. jam notavit, fe non intelligere *ἀπολειφθέντας*, nec excogitare poffe, quid fibi velint haec *εἰς αἰτίαν παρέχουσι.* Turn. & V. *εἰς αἰτίαν ἐπιχειρεῖν παρέχουσι.* Iterum Turn. *εἰς αἰτίαν παρέλκουσι*, vel *τοὺς αὐτῶν εἰς αἰτίαν παρέρχουσι* (fic) & deinde *τοὺς αὐτῶν ἥδεις ἀκούοντας.* W. *εἰς αἰτίαν* corrigendum cenfet in *ἑστιᾶν*, & *τοῖς αὐτοῖς* accipit de hominibus, qui praefentes adfuerunt.

4 R. mavult *γενόμενα.*

5 Ita R. legendum cenfuit — *joco & hilaritate* — dedique, W. ex Amiot. & Mez. probante, pro vulg. *παιδείας.*

# QUAESTIO I.

## Cur jejuni magis ſitiunt, quam eſuriunt [1]?

Ἕκτον οὖν τοῦτό σοι πέμπω τῶν συμποσιακῶν, ἐν ᾧ πρῶτόν ἐστι τὸ περὶ τοῦ διψῆν μᾶλλον ἢ πεινῆν τοὺς νηστεύοντας. ἄλογον γὰρ ἐφαίνετο διψῆν μᾶλλον ἢ πεινῆν, τοὺς ἐκνηστεύσαντας [2]. ἡ γὰρ ἔνδεια τῆς ξηρᾶς τροφῆς ἀναπλήρωσιν οἰκείαν ἐδόκει κατὰ φύσιν ἐπιζητεῖν. ἔλεγον οὖν ἐγὼ τοῖς παροῦσιν, ὅτι τῶν ἐν ἡμῖν ἢ μόνον ἢ μάλιστα δεῖται τροφῆς τὸ θερμόν· ὥσπερ ἀμέλει βλέπομεν, ἔξω [3] μήτε ἀέρα, μήτε ὕδωρ, μήτε γῆν, ἐφιέμενα τοῦ τρέφεσθαι, μήτ᾽ ἀναλίσκοντα τὸ πλησιάζον· ἀλλὰ μόνον τὸ πῦρ. ᾗ καὶ τὰ νέα βρωτικώτερα τῶν πρεσβυτέρων ὑπὸ θερμότητος· καὶ τοὐναντίον οἱ γέροντες ῥᾷστα νηστείαν φέρουσιν· ἀμβλὺ γὰρ ἐν αὐτοῖς καὶ μικρὸν ἤδη τὸ θερμόν ἐστιν, ὥσπερ ἐν τοῖς ἀναίμοις τῶν ζώων, ἃ δὴ καὶ τροφῆς ἥκιστα προσδεῖται δι᾽ ἔνδειαν θερμότητος. αὐτόν τε ἕκαστον αὐτοῦ [4] γυμνάσια, καὶ κραυγαὶ, καὶ ὅσα τῷ κινεῖν αὔξει τὸ θερμὸν, ἥδιον φαγεῖν ποιεῖ καὶ προθυμότερον. τροφὴ δὲ τῷ θερμῷ, καθάπερ νομίζω,



1 Perſonae colloquii ſunt Plutarchus, Alii.

2 R. monente, ἐκ in compoſitione ἐκνηστεύειν videtur *penitus, ad extremum usque terminum*, ſignificare, ultra quem ſuſtineri ſalva vita jejunium nequit. Mavult tamen ἐκ abeſſe, cum illa ſignificationis intenſio hic quidem inutilis videatur.

3 Vulgo ἐξ ὧν. R. has voculas aut delendas cenſuit, aut leg. βλέπομεν τῶν ἔξω μ. ἀ. Recepi ἔξω cum W. e Turn. V. Amiot.

4 H. Steph. genitivus αὐτοῦ ſuſpectus fuit. R. docente, bene habet, & cohaeret cum ἥδιον & προθυμότερον — *facit ut unusquisque majore voluptatis ſenſu & majore cum appetitu comedat, quam alias facturus eſſet, corpore non moto.*

ὃ πρῶτον [1] κατὰ φύσιν, μάλιστα τὸ ὑγρόν ἐστιν, ὡς αἵ τε φλόγες αὐξανόμεναι τῷ ἐλαίῳ δηλοῦσι, καὶ τὸ [2] πάντων ξηρότατον εἶναι τέφραν· ἐκκέκαυται γὰρ τὸ νοτερὸν, τὸ δὲ γεῶδες ἔρημον ἰκμάδος λέλειπται· καὶ ὁμοίως διίστησι [3] καὶ διαιρεῖ τὰ σώματα τὸ πῦρ, τῷ ἐξαίρειν τὴν κολλῶσαν ὑγρότητα καὶ συνδέουσαν. ὅταν οὖν νηστεύσωμεν, ἐκ τῶν ὑπολειμμάτων τῆς ἐν τῷ σώματι τροφῆς ἀποσπᾶται βίᾳ τὸ ὑγρὸν ὑπὸ τοῦ θερμοῦ τὸ πρῶτον, εἶτ' ἐπ' αὐτὴν βαδίζει τὴν σύμφυτον λιβάδα τῆς σαρκὸς ἡ πύρωσις διώκουσα τὸ νοτερὸν [4]. γενομένης οὖν, ὥσπερ ἐν πηλῷ, ξηρότητος, ποτοῦ μᾶλλον τὸ σῶμα δεῖσθαι πέφυκεν, ἄχρις οὗ πινόντων ἀναῤῥωσθὲν [5] καὶ ἰσχύσαν τὸ θερμὸν ἐμβριθοῦς τροφῆς ὄρεξιν ἐργάσηται.

QUAE-

1 R. mavult ὃ πρῶτον τῶν κατὰ φ. Minus id probat W. qui, Mez. delere ὃ, id autem forte retinendum notat.

2 Turn. V. καὶ τῷ π. R. deinde mavult cum art. τὴν τέφραν.

3 Ald. Bas. καὶ ὅμως δὲ ἵστησι. E vet. exempl. H. Steph. notavit καὶ ὁμοίως δὲ διίστησι, quod omissa partic. δὲ dedit. Idem Xyl. voluisse videtur, notans: „ubi δὲ ἵστησι est, διίστη scribo." Sic vitiose impressum pro διίστησι puto.

4 Vulgo ex Steph. τὸν ἕτερον. Notat autem ipse Steph. scribendum τὸ νοτερὸν, & irrepsisse ex Ald. istam scripturam. R. idem e Bas. cum Salmas. dudum monuit, dedique cum W. consentientibus Xyl. Leonic. Schott. Amiot. Turn. V.

5 Ita jam in R. fuit impressum, quod W. dedit e Palat. Vatic. Turn. V. Anon. pro vulg. ἀναῤῥωθὲν. Pro πινόντων eodem teste Palat. Vat. πιόντων.

## QUAESTIO II.

### Indigentiane famem et sitim efficiat, an vero meatuum figurae mutatio [1]?

Λεχθέντων δὲ τούτων, οἱ περὶ Φίλωνα ἰατροὶ τὴν πρώτην θέσιν ἐκίνουν· ἐνδείᾳ γὰρ οὐ γίνεσθαι το δίψος, ἀλλὰ πόρων τινῶν μεταχηματισμῷ. τοῦτο [2] μὲν γὰρ, οἱ νύκτωρ διψῶντες, ἂν ἐπικαταδαρθῶσι [3] παύονται τοῦ διψῆν μὴ πιόντες· τοῦτο δὲ, οἱ πυρέττοντες, ἐνδόσεως γενομένης, ἢ παντάπασι τοῦ πυρετοῦ λωφήσαντος, καὶ ἅμα [4] τοῦ διψῆν ἀπαλλάττονται. πολλοῖς δὲ λουσαμένοις, καὶ νὴ Δία ἐμέσασιν ἑτέροις, λήγει τὸ δίψος· ὧν ὑπ' οὐδενὸς αὔξεται τὸ ὑγρὸν, ἀλλὰ μόνον οἱ πόροι παρέχουσι, πάσχοντές τι [5] τῷ μεταχηματίζεσθαι, τάξιν ἑτέραν καὶ διάθεσιν. ἐκδηλότερον δὲ τοῦτο γίνεται περὶ τὴν πεῖναν· ἐνδεεῖς γὰρ ἅμα πολλοὶ γίνονται καὶ ἀνόρεκτοι τῶν νοσούντων· ἐνίοις δ' ἐμπιπλαμένοις οὐδὲ ἓν [6] αἱ ὀρέξεις χαλῶσιν, ἀλλὰ καὶ κατατείνουσι καὶ παραμένουσιν· ἤδη δὲ πολλοὶ τῶν ἀπο-



1 Personae colloquii sunt Philo, Plutarchus.

2 Turn. V. διὰ τοῦτο,

3 Vulgo e Steph. διακαταδαρθῶσι. R. monuit accipiendum hoc esse pro καταδαρθῶσι μεταξὺ διψῶντες, praetulit tamen lect. Bas. ἐπικαταδαρθῶσι, sc. τῷ διψῆν, quam restitui cum W. adsentientibus Ald. Xyl. Venet. Palat. Vatic.

4 W. καὶ delendum monet cum Mez. — Ald. deinde & Bas. ἀπάλλουται.

5 Vulgo οἱ πόροι παρασχόντες τι τ. μ. H. Steph. quaerit, annon pro παρασχόντες scribendum sit πάσχοντες, praesertim cum superiores edd. habeant non παρασχόντες, sed παράσχοντες: qui accentus ex illo πάσχοντες remansisse credi possit. E Turn. & V. haec afferuntur: πάσχοντές τι, vel οἱ πόροι πάσχουσί τι, vel παρέχουσί τι. Ex his composui, quod necessario dandum videbatur. R. susp. οἱ πόροι ἀπαλλάττουσι (sc. τοῦ δίψους) παρασχόντες τῷ μετ. W. ita corrigendum censet παρέσχον, πάσχοντές τι τ. μ.

6 Turn. pro οὐδὲ ἓν dat οὐδὲν ἂν.

ἀποσίτων, ἐλαίαν ἁλμάδα λαμβάνοντες, ἢ κάππαριν [1] γευσάμενοι, ταχέως ἀνέλαβον καὶ παρεστήσαντο τὴν ὄρεξιν. ᾧ καὶ μάλιστα δῆλόν ἐστιν, ὅτι πάθει τινὶ πόρων, οὐχ ὑπ' ἐνδείας, ἐγγίνεται τὸ πεινῆν ἡμῖν· τὰ γὰρ τοιαῦτα βρώματα τὴν μὲν ἔνδειαν ἐλαττοῖ προστιθεμένης τροφῆς, τὸ δὲ πεινῆν ποιοῦσιν [2]. οὕτως αἱ τῶν ἐφάλμων βρωμάτων εὐστομίαι καὶ δριμύτητες ἐπιστρέψουσαι [3] καὶ πυκνοῦσαι τὸν στόμαχον, ἢ πάλιν ἀνοίγουσαι καὶ χαλῶσαι, δεκτικήν [4] τινα τροφῆς εὐαρμοστίαν περιειργάσαντο [5] περὶ αὐτὸν, ἣν ὄρεξιν καλοῦμεν.

II. Ἐδόκει δή μοι ταῦτα πιθανῶς μὲν ἐγκεχειρῆσθαι, πρὸς δὲ τὸ μέγιστον ἐναντιοῦσθαι τῆς φύσεως τέλος, ἐφ' ὃ πᾶν ἄγει ζῶον ὄρεξις ἀναπλήρωσιν τοῦ ἐνδεοῦς ποθοῦσα, καὶ τὸ [6] ἐκλεῖπον ἀεὶ τοῦ οἰκείου διώκουσα· τὸ γὰρ, ᾧ διαφέρει μάλιστα τὸ ζῶον τοῦ ἀψύχου, τοῦτο μὴ φάναι πρὸς σωτηρίαν καὶ διαμονὴν ὑπάρχειν ἡμῖν, ὥσπερ ὀμμάτων οἰκείων τῷ σώματι, καὶ δεη-

1 R. post κάππαριν comma ponendum monet, ut cohaereat cum λαμβάνοντες — *oliva muria condita, aut cappari in os sumta, statim, postquam eam gustarunt* —.

2 Absunt ab Ald. & Baſ. τὸ δὲ πεινῆν; Hinc Xyl. pro antecedenti ἐλαττοῖ legit ἐλάττω. Iſta Steph. e vet. cod. addidit. E Turn. & V. notatur: προστιθεμένης δὲ τροφῆς πεινῆν ποιοῦσι, vel ποιεῖ, & e Turn. praeterea φάγουσι. R. aut ἐλαττοῦσιν, aut ποιεῖ exarandum monuit, ut ſibi ſimilis ſit oratio; aut forte leg. τὸ δὲ πεινῆν ἐμποιοῦσιν, aut τὸ πεινῆν μεῖζον ποιοῦσιν. W. teſte τὸ δὲ πεινῆν abſunt ab aliis libris, exceptis Amiot. Turn. V. Leonic. & Schott. unde Steph. ſumſit: praeterea & ποιοῦσιν abeſt in Palat. Vatic.

3 Junius corrigit ἐπιστύφουσαι; probat W.

4 Ald. Baſ. δεικτικήν. Steph. pro eo reponendum cenſuit aut δακτικήν, aut δηκτικήν, prius tamen praeferens. Idem R. commendavit — *aptam quandam rationem recipiendo cibo* — & e Turn. & V. notatur, dedique cum W. id e Palat. Mez. & Anon. ſumente.

5 R. mavult ἀπειργάσαντο.

6 Ald. Baſ. pro καὶ τὸ dant αὐτό. Xyl. correxit.

δεητῶν ἐγγεγενημένων [1], ἀλλὰ πάθος εἶναι, καὶ τροπήν τινα πόρων οἴεσθαι μεγέθεσι καὶ μικρότησι συμβαίνουσαν, εἰς οὐδένα ἦν [2] λόγον ἁπλῶς τιθεμένων τὴν φύσιν. ἔπειτα ῥιγοῦν [3] ἐνδείᾳ θερμότητος οἰκείας τὸ σῶμα, μηκέτι δὲ [4] διψῆν μηδὲ πεινῆν, ὑγρότητος ἐνδείᾳ τῆς [5] κατὰ φύσιν, καὶ τροφῆς, ἄλογόν ἐστι· τούτου δ' ἀλογώτερον, εἰ κενώσεως μὲν ἐφίεται διὰ πλήρωσιν ἡ φύσις, πληρώσεως δ' οὐ διὰ κένωσιν, ἀλλ' ἑτέρου τινὸς πάθους ἐγγενομένου. καὶ μὴν αἵ γε τοιαῦται περὶ τὰ ζῶα χρεῖαι καὶ ἀναπληρώσεις οὐθέν τι τῶν περὶ τὰς γεωργίας γινομένων διαφέρουσι· πολλὰ γὰρ ὅμοια πάσχει [6] καὶ βοηθεῖται· πρὸς μὲν γὰρ [7] τὰς ξηρότητας,



1 Corrupta haec esse, Xyl. & Steph. monent. Priori docente, sensus videtur esse, non minus famem & sitim, quam sensuum instrumenta, nobis ad nostri conservationem largitam esse naturam, & futiliter tantas res meatuum immutationibus adscribi. R. pro ὀμμάτων dari voluit ὄμμα τῶν; idem δεητῶν (ita in R. extat: in rell. edd. δίη τῶν) tuetur contra Steph. qui suspicabatur δεκτῶν, & deinde mavult ἐγγενόμενον, ut hic prodeat sensus: *affirmare, illud ad nostri conservationem non inesse nobis, velut oculum & judicem rerum corpori convenientium & necessariarum in eo collocatum.* Deinde e vet. cod. notat Steph. τροφὴν pro τροπήν. W. ita legit: ὡς πληρωμάτων οἰκείων τῷ σώματι ἐνδεκτὴν ἐγγενόμενον, & vertit: *tanquam supplementorum consentaneorum cum natura corporis nostri receptorem.*

2 Recipiendo ἦν secutus sum W. id sumentem ex E. H. Palat. Monuit jam R. subaudiendum esse ἐστιν post συμβαίνουσαν. Datur id etiam a V. — *illud est hominum nullam prorsus rationem naturae habentium.*

3 R. mavult ῥιγοῦν μὲν φάναι ἐνδείᾳ. Turn. & V. τῆς θερμότητος.

4 Inserui δὲ e Xyl. & R. mente. Vulgo abest. Turn. V. καὶ μηκέτι τὸ δ. W. aut δὲ aut καὶ probandum prae vulgata monuit.

5 Sic R. legi voluit pro vulg. τῇ — *naturalis tam humoris quam crassi cibi indigentia* — dedique cum W. idem e Mez. & Anon. sumente.

6 W. judice deesse quid videtur. Mez. explet, πάσχει τοῖς ζώοις τὰ φυτὰ καὶ.

7 Salmas. delet γάρ.

τας, ἀρδείαις ποτιζόμενα· καὶ ψυχόμενα μετρίως, ὅταν Φλέγηται· ῥιγοῦντα δ' αὐτὰ [1] θάλπειν πειρώμεθα, καὶ σκέπειν, πολλοςὰ [2] περιβάλλοντες. καὶ ὅσα μὴ παρ' ἡμᾶς [3] ἐστιν, εὐχόμεθα τὸν θεὸν διδόναι, δρόσους μαλακὰς καὶ εἱλήσεις [4] ἐν πνεύμασι μετρίως, ὡς ἀεὶ τοῦ ἀπολείποντος ἀναπλήρωσιν ἡ Φύσις ἔχοι, διατηροῦσα τὴν κρᾶσιν. οὕτω γὰρ οἶμαι καὶ τροφὴν ὠνομάσθαι τὸ τηρεῖν τὴν Φύσιν· τηρεῖται δὲ, τοῖς μὲν Φυτοῖς ἀναισθήτως ἐκ τοῦ περιέχοντος (ὥς Φησιν Ἐμπεδοκλῆς) ὑδρευομένοις τὸ πρόσφορον· ἡμᾶς δὲ ἡ ὄρεξις ζητεῖν διδάσκει καὶ διώκειν τὸ ἐκλεῖπον τῆς κράσεως. οὐ μὴν ἀλλὰ καὶ τῶν εἰρημένων ἕκαστον ἴδωμεν ὡς οὐκ ἀληθές ἐστι. τὰ μὲν γὰρ εὐστομίαν ἔχοντα καὶ δριμύτητα, τάχα μὲν οὐκ ὄρεξιν, ἀλλὰ δηγμὸν ἐμποιεῖ τοῖς δεκτικοῖς μέρεσι τῆς τροφῆς, οἷον κνησμοὶ κατὰ θίξιν [5] ἐνίων ἀμυσσόντων· εἰ δὲ καὶ τοῦτο τὸ πάθος ὀρεκτικόν ἐστιν, εἰκός ἐστιν ὑπὸ τῶν τοιούτων βρωμάτων λεπτυνόμενα διακρίνεσθαι τὰ πρέποντα [6], καὶ ποιεῖν μὲν ἔνδειαν οὐ μεταρρυθμιζομένων τῶν [7] πόρων, ἀλλὰ κενουμένων καὶ καθαιρομένων· τὰ γὰρ ὀξέα καὶ δριμέα καὶ

1 R. pro αὐτὰ legi vult αὖ.

2 R. legi vult aut πολλὰ, aut στρώματα. Turn. „fort. πολλά ἄττα. Melius hoc esse, notat W. & eodem aliquantum accedere Venet. πολλαστά.

3 R. defendi posse monet — *ob nos*, vel *per nos*; mavult tamen παρ' ἡμῖν, *nostra in potestate*.

4 Vulgo εἰλήσεις. Secutus sum W. εἱλήσεις ex Anon. dantem. Voluit idem porro σὺν πνεύμασι μετρίοις. R. susp. μετρίας.

5 Sic e Turn. notatur, & a W. ex eod. & Mez. probatur, dedique pro vulg. κατάθιξιν. R. voluit κνησμὸν καὶ θίξιν ἔνια τῶν ἀμυσσόντων.

6 R. judice, sententia flagitat τὰ βαρύνοντα, vel ἐμφράττοντα, vel τὰ γλίσχρα, vel τὰ ἄπεπτα. Turn. dat τὰ τρέποντα. W. legendum putat aliud quodvis περιττεύοντα, περιόντα, προειόντα, vel simile.

7 Ante τῶν inseri vult R. δέ.

καὶ ἁλμυρὰ θρύπτοντα τὴν ὕλην διαφορεῖ καὶ σκίδνησιν, ὥστε νεαρὰν ποιεῖν τὴν ὄρεξιν εἰσθλιβομένων· οὐ [1] μετασχηματιζόμενοι παύουσιν οἱ πόροι τὸ δίψος, ἀλλ' ἰκμάδα τῆς σαρκὸς ἀναλαμβάνοντες καὶ ἀναπιμπλάμενοι νοτερᾶς ἀτμίδος. οἱ δ' ἔμετοι τὸ ἀλλότριον ἐκβάλλοντες, ἀπόλαυσιν τῇ φύσει τοῦ οἰκείου παρέχουσιν. οὐ γὰρ ἀπλήστου [2] ὑγροῦ τὸ δίψος, ἀλλὰ τοῦ κατὰ φύσιν καὶ οἰκείου· διὸ, κἂν πολὺ παρῇ τὸ ἀλλόφυλον, ἐνδεὴς ὁ ἄνθρωπός ἐστιν· ἐφίσταται [3] γὰρ τοῖς κατὰ φύσιν ὑγροῖς, ὧν ἡ ὄρεξίς ἐστι, καὶ οὐ δίδωσιν ἀνάμιξιν, οὐδὲ κατάκρασιν [4], ἄχρις ἂν ἐκστῇ καὶ ἀποχωρήσῃ· τότε δὲ οἱ πόροι τὸ σύμφυλον ἀναλαμβάνουσιν. οἱ δὲ πυρετοὶ τὸ ὑγρὸν εἰς βάθος ἀπωθοῦσι· καὶ τῶν μέσων φλεγομένων ἐκεῖ πᾶν ἀποκεχώρηκε, καὶ κρατεῖται πεπιεσμένον· ὅθεν ἐμεῖν τε πολλοὺς ἅμα συμβαίνει πυκνότητι τῶν ἐντὸς ἀναθλιβόντων [5] τὰ ὑγρὰ, καὶ διψῆν δι' ἔνδειαν καὶ ξηρότητα τοῦ λοιποῦ σώματος. ὅταν οὖν ἄνεσις γένηται, καὶ τὸ θερμὸν ἐκ τῶν μέσων ἀπίῃ, σκιδνάμενον αὖθις ὑπονοστεῖ, καὶ ἔνδυον, ὡς πέφυκε, πάντῃ τὰ



1 R. judice sententia flagitat *ὥστε νεαρὰν ποιοῦσι τὴν ὄρεξιν ἐκθλιβομένων τῶν στενοχωρούντων, ἀλλ' οὐ μετασχ.* W. monet intercidisse quaedam relata ad locum de lavacro, quae vertendo suppleverit Xyl. probante Mez. Forte etiam legendum, *ἔρεξιν.* Καὶ *μὴν λουομένων* — E Turn. & V. notantur: *δήει δὲ θλιβομένων.*

2 W. probat, quod Mez. & R. voluerunt *οὐ γὰρ ἁπλῶς τοῦ ὑ.* — *non enim, dum sitimus, quidquid humectet, id omne absque discrimine appetimus, sed tantummodo illud humidum, quod naturae nostrae congruit.*

3 R. mavult *ἐνίσταται*, i. e. *ἐμποδὼν ἵσταται.*

4 Sic cum Salmas. dari voluit R. uno vocabulo pro vulg. *κατὰ κρᾶσιν*, dedique cum W. idem ex H. Anon. sumente, proxime accedente E. *κατακρᾶσιν.*

5 Sic R. dari voluit pro vulg. *ἀναθλιβέντων*, dedique cum W. idem ex Palat. & Mez. sumente.

τὸ νοτερὸν, ἅμα τοῖς τε [1] μέσοις ῥᾳςώνην παρέχε, καὶ τὴν σάρκα λείαν καὶ ἁπαλὴν, ἀντὶ τραχείας καὶ αὐχμώδες γενομένην, ἐμάλαξε, πολλάκις δὲ καὶ ἱδρῶτας ἐπήγαγεν· ὅθεν ἡ ποιἕσα δίψην ἔνδεια λήγει καὶ παύεται, τῆς ὑγρότητος ἀπὸ τἕ βαρυνομένε καὶ δυσαναβλαςἕντος [2] ἐπὶ τὸν δεόμενον καὶ ποθἕντα μεθιςαμένης τόπον. ὡς γὰρ ἐν κήπῳ, Φρέατος ἄφθονον ὕδωρ ἔχοντος, εἰ μή τις ἐπαντλοῖ, καὶ ἄρδοι τὰ φυτὰ [3], δίψην καὶ ἀτροφεῖν ἀναγκαῖόν ἐςιν· ὅτως ἐν σώματι, τῶν ὑγρῶν εἰς ἕνα κατασπωμένων [4] τόπον, ἐ θαυμαςὸν, ἔνδειαν εἶναι περὶ τὰ λοιπὰ καὶ ξηρότητα, μέχρις ἐ πάλιν ἐπιῤῥοὴ καὶ διάχυσις γένηται. καθάπερ καὶ ἐπὶ τῶν πυρεττόντων, ὅταν ἀνεθῶσι, συμβαίνει, καὶ τῶν ἐγκαταδαρθανόντων τῷ δίψῃ· καὶ γὰρ τέτοις ὁ ὕπνος ἐκ μέσων ἐπανάγων τὰ ὑγρὰ καὶ διανέμων πάντῃ τοῖς μέρεσιν, ὁμαλισμὸν ἐμποιεῖ καὶ αναπλήρωσιν. ὁ γὰρ δὴ λεγόμενος τῶν πόρων μετασχηματισμὸς ὅτος, ᾧ τὸ πεινῆν ἢ τὸ διψῆν ἐγγένηται [5], ποῖός τις ἐςίν; ἐγὼ μὲν γὰρ ἐχ ὁρῶ τῶν πόρων διαφορὰς

Φορὰς

1 Vulgo ὑπονοςεῖν, καὶ ἴδιον, ὡς πέφυκε, πάντῃ τὸν ἕτερον ἅμα, τοῖς τε μ. Frst. & R. praeterea τοῖς δὲ. Optimum censui, restituere Bas. ed. lectionem, quacum Xyl. & Mez. consentiunt; quam alia inde sumere, alia intacta relinquere. R. legi voluit ὑπονοςεῖ, καὶ δίιον (sic e Turn. notatur) ὡς πέφυκε, πάντῃ τὸ νοτερὸν, ἅμα τοῖς τε μ. Non improbat ἔνδον Bas., & secum consentire Salmas. notat. W. conjecit — ὑπονοςἕν εἰς ἴδιον, ὡς πέφυκε, πάντῃ τόπον τὸ νοτερὸν, ἅμα.

2 Salmas. δυσαναβαςἕντος. Turn. in ind. var. βαςίζοντος, In W. nota δυσαναβαςίζοντος. W. susp. δυσανασχετἕντος ἀναβλυζέσης, καὶ ἐπὶ τὸν δεόμενον —.

3 Vulgo ἄρδοι αὐτά. Xyl. & Steph. legendum monuerunt τὰ φυτὰ pro αὐτά. R. voluit aut αὐτὸν, ad κῆπον, aut πάντα, aut τὰ φυτά. Dedi hoc, W. probante simul e Mez.

4 Ald. Bas. κατασπώμενον. Steph. correxit, consentientibus Interpp. lat.

5 R. mavult ἐγγίνεται.

φορὰς ἄλλας, ἢ κατὰ [1] πλῆθος, ἢ τὸ συμπίπτειν καὶ τὸ διΐςαθαι· καὶ συμπίπτοντες [2] μὲν, ὅτε ποτὸν ὅτε τροφὴν δέχεσθαι δύνανται· διϊςάμενοι δὲ, κενότητα καὶ χώραν ποιοῦσιν, ἔνδειαν οὖσαν τοῦ κατὰ φύσιν καὶ οἰκείου. καὶ γὰρ αἱ ςύψεις [3], ὦ βέλτιςε, τῶν βαπτομένων (ἔφην) τόπων ἔχουσι τὸ δριμὺ καὶ ῥυπτικὸν, ὧν τῶν περισσῶν ἐκκρινομένων καὶ ἀποτηκομένων, οἱ πόροι δέχονται μᾶλλον καὶ ςέργουσι [4] δεξάμενοι τὴν βαφὴν ὑπ' ἐνδείας καὶ κενότητος.

## QUAESTIO III.

### Cur fames potu sedatur, sitis, cibo sumto, fit vehementior [5]?

Ρηθέντων δὲ τούτων [6], ὁ ἑςιῶν ἡμᾶς καὶ ταῦτα ἔφη μετρίως λέγεσθαι, καὶ πρὸς ἄλλην ἀπορίαν, τὰς τῶν

1 Ald. ἐκ ὁρῶ, περὶ πόρου ἢ πόρων διαφορὰς ἀλλὰ κατὰ πλ. Turn. παρὰ πόρου, διαφοράς.

2 Ita recte in R. legitur, quod W. e Palat. Bas. Xyl. sumsit, pro συμπίπτοντας, quod est in Steph. & Frft.

3 Mez. legit ῥύψεις; & deinde ὑφασμάτων pro τόπων. Loco hujus W. mavult vulgatum, aut cum Anon. & Turn. πόρων. R. susp. τῶν βεβαπτισμένων ἔφην πόρων σφοδρὸν ἔχουσι τὸ δριμύ. Pro τόπων Ald. & Bas. τόπον; praeter πόρων e Turn. quoque affertur τρόπων.

4 Mez. ςέγουσι, quod W. probat.

5 Personae colloquii sunt Convivator, Plutarchus, alii.

6 Mancum esse hujus capitis initium, Xyl. monuit. W. locum ita refingendum putat: Κατὰ ταῦτα, ἔφη, μετρίως λέγεσθαι, καὶ πρὸς τὴν ἄλλην ἀπορίαν, τὰς — τοῖς δὲ διψῶσιν ἐναντίον συμβαίνειν, οἷς ἐὰν ἐμφάγωσιν, ἐπιτείνειν τὸ δίψος. Τοῦτο δὴ τὸ πάθος οἱ διαφόρους τοὺς πόρους ὑποτιθέμενοι ῥᾷςα καὶ ἱκανώτατά μοι δοκοῦσι λύειν, καὶ δὴ καὶ τ' ἄλλα μόνοι πιθανῶς αἰτιολογεῖν. — *Satis bene, inquit, haec ita subito, & accommodate disputata sunt ad reliquam quaestionem, de meatuum vacuationibus & repletionibus: sed contrarium sitientibus accidit; quippe quibus edendo sitis augetur. Atque hanc*

τῶν πόρων κενώσεις καὶ ἀναπληρώσεις ἐν τῷ παραυτίκα· τοῖς δὲ διψῶσιν ἐναντίον, ἐὰν ἐμφάγωσιν, ἐπιτείνειν συμβαίνει τὸ δίψος. τοῦτο δὲ τὸ πάθος οἱ τοὺς πόρους ὑποτιθέμενοι, ῥᾷστα καὶ πιθανώτατά μοι δοκοῦσιν, εἰ καὶ μὴ πολλὰ μόνον πιθανῶς αἰτιολογεῖν. πᾶσι [1] γὰρ ὄντων πόρων, ἄλλος πόρος ἄλλας συμμετρίας ἔχει [2]. οἱ μὲν εὐρύτεροι τὴν ξηρὰν ἅμα καὶ τὴν ὑγρὰν τροφὴν ἀναλαμβάνουσιν, οἱ δ' ἰσχνότεροι [3] τὸ μὲν ποτὸν παραδέχονται· ποιεῖ δὲ τὴν μὲν δίψαν ἡ τούτων κένωσις, ἡ δ' ἐκείνων, τὴν πεῖναν. ὅθεν, ἐὰν μὲν φάγωσιν οἱ διψῶντες, οἱ μὲν [4] οὐ βοηθοῦνται, τῶν πόρων διὰ λεπτότητα τὴν ξηρὰν τροφὴν μὴ δεχομένων, ἀλλ' ἐπιδεῶν τοῦ οἰκείου διαμενόντων· οἱ δὲ πεινῶντες ἐὰν πίωσιν, ἐνδυόμενα τὰ ὑγρὰ τοῖς μείζοσι πόροις, καὶ ἀναπληροῦντα τὰς κενότητας αὐτῶν, ἀνίησι τὸ σφοδρὸν ἄγαν τῆς πείνης.

II. Ἐμοὶ δὲ τὸ μὲν συμβαῖνον ἀληθὲς ἐφαίνετο, τῇ δὲ ὑποθέσει τῆς αἰτίας οὐ προσεῖχον [5]. καὶ γὰρ εἰ τοῖς πόροις τούτοις, (ἔφην) ὧν ἔνιοι περιέχονται καὶ ἀγαπῶσι, κατατρήσειέ τις τὴν σάρκα, πλαδαρὰν

καὶ

*hanc mihi affectionem optime interpretari, & de reliquo etiam hoc loco caussas verisimillime reddere videntur ii, qui statuunt esse varietatem meatuum.* Dedi cum eodem ὑποτιθέμενοι pro vulg. ἐπιτιθέμενοι, Salmas. & R. jubentibus, e Turn. V. Mez. Notatur praeterea e Turn. ἐὰν ὁτιοῦν ἐμφάγ. R. partic. καὶ ante ταῦτα deleri voluit, & pro λέγεσθαι legi λελέχθαι; post ἀναπληρώσεις susp. aliquid deesse, & deinde legendum εἰ δὲ μὴ, ἀλλὰ γοῦν πιθανῶς.

1 R. susp. πολλῶν pro πᾶσι. Deinde post πόρος Turn. inserit καὶ.

2 Ald. ἐχόντων; Bas. ἄλλων πόρων ἄλλας συμμετρίας ἐχόντων.; H. Steph. e vet. codd. correxit.

3 Aptius, R. judice, vocabulo εὐρύτεροι opponatur οἱ δὲ στενώτεροι. W. pro τὸ μὲν ποτὸν susp. μόνον τὸ ποτόν; post παραδέχ. R. excidisse videtur τὸν δὲ σῖτον οὔ.

4 W. cum Mez. delendum censet οἱ μέν.

5 Turn. προσῆκον.

καὶ τρομώδη καὶ σαθρὰν ποιήσει [1]· τό γε μὴ ταῦτα τοῦ σώματος μόρια τὸ ποτὸν προσδέχεσθαι, καὶ τὸ σιτίον, ἀλλ' ὥσπερ ἠθμοῖς καταῤῥεῖσθαι καὶ ἀποκρίνεσθαι [2], κομιδῇ πλασματῶδες καὶ ἀλλόκοτον· αὕτη γαρ ἡ πρὸς τὸ ὑγρὸν ἀνάμιξις, θρύπτουσα τὰ σιτία, καὶ συνεργοῦ λαμβάνουσα τὸ θερμὸν τὸ ἐντὸς, καὶ τὸ πνεῦμα, πάντων ὀργάνων ἀκριβέστατα πάσαις τομαῖς καὶ διαιρέσεσι λεπτύνει τὴν τροφήν· ὥστε πᾶν μόριον αὐτῆς παντὶ μορίῳ γίνεσθαι φίλον καὶ οἰκεῖον, οὐκ ἐναρμόττον ὥσπερ ἀγγείοις [3] καὶ τρήμασιν, ἀλλ' ἑνούμενον καὶ προσφυόμενον. ἄνευ δὲ τούτων, οὐδὲ λέλυται τῆς ἀπορίας τὸ μέγιστον· οἱ γὰρ ἐμφαγόντες, ἂν μὴ πίωσιν, οὐ μόνον οὐ λύουσιν, ἀλλὰ καὶ προσεπιτείνουσι τὸ δίψος· πρὸς τοῦτο δ' οὐδὲν εἴρηται. σκόπει δὲ καὶ παρ' ἡμῶν [4], (ἔφην) εἰ φαινομένας ὑποθέσεις λαμβάνομεν· πρῶτον μὲν, λαμβάνοντες τὸ ὑγρὸν ὑπὸ τοῦ ξηροῦ διαφθείρεσθαι δαπανώμενον, τῷ δὲ ὑγρῷ τὸ ξηρὸν βρεχόμενον καὶ μαλασσό-

1 Vulgo ποιῆσαι, τό γε μὴν ταῦτα. Reposui ποιήσει pro ποιῆσαι e Baf. & Turn. dato puncto pro commate. R. voluit ποιήσαι in optat. non tamen spernens ποιήσει. In reli. secutus sum Xyl. qui ita legit vertitque pro τῷ γε μὴ ταῦτα, quod in Baf. extat. R. voluit τό γε μὴν μὴ πάντα τὰ τοῦ σώματος μόρια. W. quoque legendum censuit τὰ αὐτὰ pro ταῦτα. In Xyl. versione per plures, quas inspexi, editiones mendum typographicum propagatur, nec ipsa in W. corrigitur, sensum, me quidem judice, haud parum turbans, dum legi solet: *non ab iisdem autem corporis partibus potum cibumque* r e c i p i t, *sed illum quasi percolari &c.* Legendum est sane *recipi*. Plerumque etiam Xyl. nota ad h. l. ita profertur, ut ταῦτα retinere voluisse videatur, quamvis ejus versio contradicat: at in aliis editt. perspicue legitur ταὐτά.

2 Turn. κλύζεσθαι καὶ τὸ ἀποκρίνεσθαι ἀρέσκειν.

3 Ald. Baf. ἀστείοις. Mendosam esse hanc vocem, Xyl. notavit.

4 R. maluit aut ὑμῶν, aut ὑμῖν — *a vobis* medicis, & forsitan Epicureis, *assumere placeat*; sed si παρ' ὑμῖν probetur, pro φαινομένας aliud participium excogitandum censet, e. c. εὐδοκιμούμενας. W. susp. σκόπει δὲ τὰ παρ' ἡμῶν.

λασσόμενον διαχύσεις ἴσχειν καὶ ἀναθυμιάσεις· δεύτερον δὲ, μὴ νομίζοντες, ἔκλειψιν [1] εἶναι παντάπασι μήτε τῆς ξηρᾶς τροφῆς τὴν πεῖναν [2], μήτε τῆς ὑγρᾶς τὴν δίψαν, ἀλλὰ τοῦ μετρίου καὶ ἀρκοῦντος ἔνδειαν· οἷς γὰρ ὅλως ἂν ἐλλίπῃ θάτερον, οὔτε πεινῶσιν οὔτε διψῶσιν, ἀλλ' εὐθὺς ἀποθνήσκουσιν. ὑποκειμένων δὲ τούτων, οὐ χαλεπὸν ἤδη τὴν [3] αἰτίαν συνιδεῖν. ἡ μὲν γὰρ δίψα τοῖς φαγοῦσιν ἐπιτείνεται, τῶν σιτίων τῇ ξηρότητι διεσπαρμένον ὑγρὸν καὶ ἀπολειπόμενον ἀθενὲς καὶ ὀλίγον ἐν τῷ σώματι [4] συλλεγόντων καὶ προσεξιμαζόντων. ὥσπερ ἔξω γῆν ὁρῶμεν, καὶ κόνιν, καὶ μᾶλλον [5] τὰ μιγνύμενα τῶν ὑγρῶν, ἀναλαμβάνουσαν εἰς ἑαυτὴν καὶ ἀφανίζουσαν. τὴν δὲ πεῖναν αὖ πάλιν ἀναγκαίως τὸ ποτὸν ἀνίησιν· ἡ γὰρ ὑγρότης τὰ ὑπόντα σιτία περισκελῆ καὶ γλίσχρα βρέξασα καὶ διαχέασα, χυμῶν ἐγγενομένων καὶ ἀτμῶν, ἀναφέρει τούτους εἰς τὸ σῶμα καὶ προστίθησι τοῖς δεομένοις. ὅθεν οὐ κακῶς ὄχημα τῆς τροφῆς τὸ ὑγρὸν ὁ Ἐρασίστρατος προσεῖπε· τὰ γὰρ ὑπὸ ξηρότητος ἢ πάθους [6] ἀργὰ καὶ βαρέα, μιγνύμενον ἀναπέμπει καὶ συνεξαίρει. πολλοὶ δὲ καὶ μὴ πιόντες, ἀλλὰ λουσάμενοι μόνον, ἐπαύσαντο συντόνως [7] σφόδρα

1 Ald. Bas. ἔκθλιψιν.

2 Dedi cum articulo, qui vulgo abest, e R. mente, ob sequens τὴν δίψαν.

3 Ita R. dandum monuit pro vulg. ἤδη μὲν αἰτ. dedique cum W. e Bas. Xyl. Mez.

4 Post σώματι, R. judice, aut deest aut tacite suppleri debet τούτου.

5 Turn. & V. ἢ καὶ κόνιν ἔτι μᾶλλον, vel τίτανον. Mez. delet μᾶλλον cum Amiot. Susp. R. βῶλον, *argillam*, nisi malis τίτανον, *calcem*; W. autem ψάμμον, vel μαλλὸν, *vellus*.

6 R. monente, non quidem caret specie πάθει, *ob aliqualem affectionem*: mavult tamen πάχει, *crassitiem*, vel potius πλήθει, *copiam*.

7 R. mavult συντόμως, *celeriter desierunt esurire, repente fame liberati sunt*.

σφόδρα πεινῶντες· ἐνδυομένη γὰρ ἔξωθεν ἡ ὑγρότης, εὐχυμότερα ποιεῖ καὶ τροφιμώτερα τῷ ἐγχαλᾶσθαι τὰ ἐντὸς, ὥςε τῆς πείνης τὸ σφόδρα πικρὸν καὶ θηριῶδες ἐνδιδόναι καὶ παρηγορεῖσθαι. διὸ καὶ πολὺν ζῶσιν ἔνιοι τῶν ἀποκαρτερέντων χρόνον, ἂν ὕδωρ μόνον λαμβάνωσιν, ἄχρι ἂν ἐ [1] πᾶν ἐξικμασθῇ τὸ τρέφειν καὶ προστίθεσθαι τῷ σώματι δυνάμενον.

## QUAESTIO IV.

### Quae sit causa, quod e puteo hausta aqua, si in ipso putei aëre pernoctet, frigidior redditur [2]?

Ψυχροπότῃ ξένῳ τρυφῶντι παρεσκεύασαν οἱ θεράποντες ἐκ τὲ φρέατος ὕδωρ [3] ψυχρότερον· ἀρυσάμενοι γὰρ ἀγγείῳ, καὶ κρεμάσαντες τὸ ἀγγεῖον ἐν τῷ φρέατι τῆς πηγῆς μὴ ἁπτόμενον [4], εἴασαν ἐπινυκτερεῦσαι, καὶ πρὸς τὸ δεῖπνον ἐκομίζετο, τὲ προσφάτε ψυχρότερον. ἦν δὲ ὁ ξένος Φιλόλογος ἐπιεικῶς, καὶ τἆτο ἔφη λαβεῖν ἐκ τῶν Ἀριςοτέλες, μετὰ λόγε κείμενον· εἶναι δὲ τοιόνδε τὸν λόγον. πᾶν ὕδωρ προθερμανθὲν ψύχεται μᾶλλον, ὥσπερ τὸ τοῖς βασιλεῦσι παρασκευαζόμενον, ὅταν ἑψηθῇ μέχρι ζέσεως, περισωρεύεσι τῷ ἀγγείῳ χιόνα πολλὴν, καὶ γίνεται ψυχρότερον· ὥσπερ ἀμέλει καὶ τὰ ἡμέτερα σώματα, λεσαμένων

1 Ald. Bas. ἄχρι ἂν ἐ.

2 Personae colloquii sunt Hospes, Plutarchus, alii.

3 R. susp. ὕδωρ τὲ ἐκ φρέατος ψυχρότερον, *aquam paraverant ministri frigidiorem illa, quae e puteo hausta fuerat*, ut sit idem, atque, quod statim subjicit τὲ προσφάτε ψυχρ.

4 Ald. E. H. Ven. τῆς γῆς μαλαττόμενον; Vulgatam exhibent Leonic. Schott. Turn. Amiot. Bas. Xyl. Notat quidem Xyl. γῇ nihil huc facere, & suspicatur ἐπιπολῆς. Palat. Vatic. τῆς γῆς μαλαπτόμενον. Turn. V. Bong. τῆς πηγῆς; Consentiunt Amiot. Leonic. Schott. & dedi, W. probante.

μένων περιψύχεται μᾶλλον· ἡ γὰρ ὑπὸ τῆς θερμότητος ἄνεσις πολύπορον τὸ σῶμα καὶ μανὸν [1] ἀπειργασμένη πολὺν δέχεται [2] τὸν ἔξωθεν ἀέρα, καὶ βιαιοτέραν ποιεῖ τὴν μεταβολήν· ὅταν ἒν ὑποπλαθῇ [3] ὑπὸ τῆς πηγῆς τὸ ὕδωρ ἐν τῷ ἀέρι προθερμανθὲν, περιψύχεται ταχέως.

II. Τὸν μὲν ἒν ξένον ἐπῃνέσαμεν, ὡς εὖ καὶ ἀνδρικῶς [4] μνημονεύσαντα· περὶ δὲ τῦ λόγυ διηπορῦμεν. ὁ γὰρ ἀὴρ, ἐν ᾧ κρέμαται τὸ ἀγγεῖον, εἰ μὲν ψυχρός ἐστι, πῶς θερμαίνει τὸ ὕδωρ; εἰ δὲ θερμὸς, πῶς περιψύχει πάλιν; ἄλογον γὰρ ὑπὸ τῦ αὐτῦ τὸ αὐτὸ πάσχειν τὰ ἐναντία, μηδεμιᾶς διαφορᾶς γενομένης. σιωπῶντος δ' αὐτῦ καὶ διαπορῦντος, ὀδὲν, ἔφην [5], δεῖν περὶ τῦ ἀέρος διαπορεῖν· ἡ γὰρ αἴσθησις λέγει, ὅτι ψυχρός ἐστι, καὶ μάλιστα τῶν ἐν βάθει [6] φρεάτων· ὥστ' ἀμήχανον ὑπ' ἀέρος ψυχρῦ θερμαίνεσθαι τὸ ὕδωρ· ἀλλὰ μᾶλλον ὁ ψυχρὸς ἒτος ἀὴρ τὴν μὲν πηγὴν διὰ πλή-

1 Ald. τὰ σώματα μανὸν; Baf. τῦ σώματος μανόν.

2 Turn. Bong. δέχεσθαι.

3 Vox H. Steph. fufpecta; maluit idem fimul πληγῆς pro πηγῆς. Turn. ὑποβραθῇ; idem cum V. ὑποσπιαθῇ. R. fufp. ὅταν ἒν ἐπικλασθῇ (vel ὑποχλιασθῇ) ὑπὸ τῆς πηγῆς, ἐν τῷ ἀέρι τὸ ὕδωρ προθερμανθὲν, π. τ. *fi ergo aqua a puteo fracta nonnihil fuerit* (h. e. de frigore fuo aliquid remiferit) vel *intepuerit, facile in aëre frigefcit, utpote quae antea excalefacta fuiffet.* W. ex compluribus lectionibus probat Mez. ἀποσπασθῇ ἀπὸ τῆς πηγῆς.

4 Vulgo ὡς ἀνδρικῶς καὶ μνημ. Dedi, quod e Turn. & V. affertur. R. ad καὶ aut deeffe aliquid monuit, aut delendum καὶ, aut cum κατὰ mutandum, ut fit ἀνδρικῶς καταμνημ. W. fufp. ἀνδρικῶς καὶ εὖ.

5 Sic R. jubente, dedi e Xyl. mente & Turn. cum W. accedentibus Amiot. & Mez. pro vulg. ἔφη.

6 R. mavult ὁ τῶν ἐν βάθ. φρ. aut ὁ ἐν βάθει τῶν φρεάτων, *qui a fuperficie aquarum proxime abeft & eam tangit.*

πλῆθος ἐ δύναται μεταβάλλειν· ἂν δέ τις ἀφαιρῇ κατ' ὀλίγον, μᾶλλον κρατῶν [1] περιψύξει.

## QUAESTIO V.

Quare lapilli et plumbeae laminae in aquam injectae, frigidiorem eam faciunt [2]?

Ἀλλὰ μὴν περὶ τῶν χαλίκων ἔφην * ἢ τῶν ἀκμόνων [3], ἃς ἐμβάλλοντες εἰς τὸ ὕδωρ, ψύχειν αὐτὸ καὶ σομῦν δοκῦσιν, εἰρημένον Ἀριστοτέλει, μνημονεύεις· αὐτὸ τῦτο [4] (ἔφη) μόνον ἐν προβλήμασιν εἴρηκε τὸ γινόμενον· εἰς δὲ τὴν αἰτίαν ἐπιχειρήσομεν [5] ἡμεῖς· ἔστι γὰρ μάλιστα δυσθεώρητος. πάνυ μὲν ὖν (ἔφην)

1 Ald. μᾶλλον ἐρᾷ τῶν περιψ.

2 Personae colloquii sunt Hospes, Plutarchus, alii.

3 Vulgo ἢ τῶν ἀκμόνων. Xyl. Junium legisse & vertisse ἀκόνας, *cotes*, observat, non quadrare autem ad hanc vocem articulum ἃς, & mox τὰς ἄκμονας repeti, quanquam alibi αἱ ἀκόναι commemorentur, ut c. VIII. l. h. & in lib. de primo frigido. H. Steph. ἀκονῶν scribendum censuit, simul autem ἢ pro ἢ, nihil amplius ad explendam lacunam desiderans. Turn. & V. ἔφην καὶ τῶν ἀκονῶν absque lacunae signo. R. praefert ἀκμόνων, addens, hoc vocabulum idem significare videri, atque μολιβδίδων, formas quasdam plumbeas ad instar incudum. Dedi cum W. ἢ pro ἢ. Eodem notante Mez. & Anon. ἀκονῶν; & in E. nulla est lacuna.

4 Vulgo Ἀριστοτέλει. Μνημονεύεις αὐτὸ τῦτο. Jam Steph. monuit, μνημονεύεις ad praecedentia pertinere, viderique post ipsum debere interpungi, ut αὐτὸ τῦτο sit initium verborum alterius. Probat R. ita quidem, ut Plut. interroget illum hospitem: *pariterne, ut superiorem sententiam, ita hanc quoque tenes ex Aristotele*? & respondeat hospes: *Aristoteles rem ipsam solummodo attigit & proposuit ad disputationem.* Distinxi cum W.

5 H. Steph. maluit ἐπιχειρήσωμεν.

(ἔφην [1]) καὶ θαυμάσαιμ' ἂν, εἰ μὴ διαφύγοι ὁ λόγος ἡμᾶς. ὅρα δὲ ὅμως [2]. πρῶτον ἐ δοκεῖ σοι προψύχεσθαι [3] μὲν ὑπὸ τȣ͂ ἀέρος τὸ ὕδωρ ἔξωθεν ἐμπίπ]οντος [4].. ὁ δ' ἀὴρ μᾶλλον ἰσχύει πρὸς τὰς λίθȣς καὶ τὰς ἄκμονας [5] ἀπερειδόμενος· ȣ̓ γὰρ ἐῶσιν αὐτὸν, ὥσπερ τὰ χάλκεα [6] καὶ τὰ κεράμεα τῶν ἀγγείων, διεκπίπ]ειν, ἀλλὰ τῇ πυκνότητι ςέγοντες ἀναλȣ͂σιν εἰς τὸ ὕδωρ ἀπ' αὐτῶν, ὥςε διόλȣ καὶ ἰσχυρὰν γενέσθαι τὴν περίψυξιν. διὸ καὶ χειμῶνος οἱ ποταμοὶ ψυχρότεροι γίνονται τῆς θαλάττης· ἰσχύει γὰρ ἐν αὐτοῖς ὁ ψυχρὸς ἀὴρ ἀναλώμενος· ἐν δὲ τῇ θαλάττῃ διὰ βάθος ἐκλύεται, πρὸς μηθὲν ἀντερείδων. κατ' ἄλλον δὲ τρόπον εἰκός ἐςι τὰ λεπ]ότερα τῶν ὑδάτων περιψύχεσθαι μᾶλλον ὑπὸ τȣ͂ ψυχρȣ͂ [7]. κρατεῖται γὰρ δι' ἀσθένειαν· αἱ δ' ἀκόναι καὶ οἱ χάλικες λεπτύνȣσι τὸ ὕδωρ, ὅ τι θολερὸν καὶ γεῶδες ἀναμέμικται, τȣ͂το συνάγοντες καὶ κατασπῶντες ἀπ' αὐτȣ͂ [8], ὥςε λεπτότερον

1 Sic Steph. dandum monuit, & probat R. e Baf. cum Plutarchus jam loquatur, & recepi pro vulg. ἔφη. Dedit idem W.

2 Vulgo ὁρᾶτε ὅλως. R. voluit ὅμως — *videte nihilominus*, quid scil. ego allaturus sim pro expedienda hac quaestione, quamvis tam sit impedita, ut mirum sit futurum, si eam expediamus. Dando ὅρα δὲ ὅμ. fecutus sum W.

3 R. legi voluit πρῶτον ȣ̓ν & περιψύχεσθαι.

4 Sic R. legendum cenfuit, idemque Turn. & V. e quibus ἐμπίπτοντες notatur, voluiffe videntur, dedique cum W. accedentibus Amiot. & Anon. pro vulg. ἐκπίπτοντος. W. deinde pro ἰσχύει mavult ἰσχύειν.

5 Etiam hoc loco τὰς ἀκόνας reponi voluit Steph. Confentit W. Ex Turn. & V. affertur τὰς ἀκονίας.

6 Χάλκεα R. fufpectum, cum aër non magis pervadat vafa aenea, quam filices. Confentit Kaltw. & fufp. χαλαρὰ, *laxa, locker, porös.*

7 Vulgo μᾶλλον, ἢ ὑπὸ τȣ͂ ψ. Delevi ἢ cum W. auctoritate Baf. Xyl. Mez. Sufp. R. μᾶλλον ἢ τὰ παχέα· κρατεῖται γὰρ ὑπὸ τȣ͂ ψυχρȣ͂ δι' ἀσθένειαν.

8 R. fufp. ἐφ' αὐτȣ͂ς.

τερου καὶ ἀσθενέστερον τὸ ὕδωρ γενόμενον, μᾶλλον ὑπὸ περιψύξεως κρατεῖσθαι. καὶ μὴν ὅ τε μόλιβδος τῶν φύσει ψυχρῶν ἐστιν, ὅς γε τριβόμενος ὄξει τὸ ψυκτικώτατον τῶν θανασίμων φαρμάκων ἐξανίησι, ψιμμίθιον· οἵ τε χάλικες πυκνότητι τὸ ψυχρὸν διὰ βάθους ποιοῦσι· πᾶς μὲν γὰρ λίθος, κατεψυγμένης καὶ πεπιλημένης ὑπὸ κρύους γῆς πάγος ἐστὶ, μᾶλλον δὲ ὁ μᾶλλον πεπυκνωμένος· ὥστ' οὐκ ἄτοπον, εἰ τὴν ψυχρότητα τοῦ ὕδατος ἀντερείδων συνεπιτείνει καὶ ὁ λίθος καὶ ὁ μόλιβδος.

## QUAESTIO VI.

### Quamobrem nivem paleis et vestibus intectam conservant [1]?

Μικρὸν οὖν ὁ ξένος διαλιπών· Οἱ ἐρῶντες (ἔφη) μάλιστα μὲν αὐτοῖς τοῖς παιδικοῖς, εἰ δὲ μὴ, περὶ αὐτῶν ἐπιθυμοῦσι διαλέγεσθαι· τοιοῦτο [2] πέπονθα περὶ τῆς χιόνος. ἐπεὶ γὰρ οὐ πάρεστιν, οὐδὲ ἔχομεν, ἐπιθυμῶ [3] μαθεῖν, τίς αἰτία, δι' ἣν ὑπὸ τῶν θερμοτάτων φυλάσσεται. καὶ γὰρ ἀχύροις σπαργανοῦντες αὐτὴν, καὶ περιστέλλοντες ἱματίοις ἀγνάπτοις, ἐπὶ πολὺν χρόνον ἄπταιστον [4] διατηροῦσι. θαυμαστὸν οὖν, εἰ συνεκτικὰ τὰ θερμότατα τῶν ψυχροτάτων ἐστί.

R 2 II.

1 Personae colloquii sunt Hospes, Plutarchus.

2 Ald. τούτοις; Bas. τοῦτο; Vulgo τοιοῦτον. Dedi τοιοῦτο e Turn. V. Bong.

3 Vulgo οὐδὲ ἔχομεν ἐπιθυμίαν μαθεῖν. Salmas. delet οὐδὲ. R. probat e Bas. ἐπιθυμῶ — *quia nix non adest, neque possumus eam impetrare, cupio doceri* —. Quaerit simul, num ante ἔχομεν desit λαμβάνειν ποθέν. E Turn. & Bong. notatur ἐπιθυμίαν ἐπιθυμῶ μαθεῖν. Quod dedi, recepit quoque W. accedentibus Xyl. Leonic. Schott. Mez.

4 R. judice, audax dictio ἄπταιστον de nive non diffluente, sed illibata & integra manente.

II. Κομιδῆ γε, (ἔφην) εἴπερ ἀληθές ἐςιν· ἐκ ἔχει δὲ ὅτως, ἀλλ' αὐτὸς παραλογιζόμεθα, θερμὸν εὐθὺς εἶναι τὸ θερμαῖνον ὑπολαμβάνοντες· καὶ ταῦθ', ὁρῶντες, ὅτι ταὐτὸ ἱμάτιον ἐν χειμῶνι θερμαίνειν [1], ἐν δὲ ἡλίῳ ψύχειν λέγομεν. ὥσπερ ἡ τραγικὴ τροφὸς ἐκείνη τὰ τῆς Νιόβης τέκνα τιθηνεῖται

Λεπτοσπαθητῶν χλανιδίων ἐρειπίοις [2]
Θάλπεσα καὶ ψύχεσα.

Γερμανοὶ μὲν ὖν κρύες πρόβλημα ποιῦνται τὴν ἐσθῆτα μόνον, Αἰθίοπες δὲ, θάλπες μόνον, ἡμεῖς δ' ἀμφοῖν· ὥςε τί μᾶλλον [3], εἰ θάλπει, θερμὴν, ἤπερ [4] ψυχρὰν ἀπὸ τῦ περιψύχειν λεκτέον; εἰ δὲ δεῖ τῇ αἰσθήσει τεκμαίρεσθαι, μᾶλλον ἂν ψυχρὰ γένοιτο· καὶ γὰρ ὁ χιτὼν ψυχρὸς ἡμῖν προσπίπτει τὸ πρῶτον ἐνδυσαμένοις, καὶ τὰ ςρώματα κατακλινεῖσιν· εἶτα μέντοι συναλεαίνει τῆς ὑφ' ἡμῶν πιμπλάμενα θερμασίας, καὶ ἅμα μὲν περιςέλλοντα καὶ κατέχοντα τὸ θερμὸν, ἅμα δ' ἀπείργοντα τὸ κρύος καὶ τὸν ἔξω ἀέρα τῦ σώματος. οἱ μὲν ὖν πυρέττοντες ἢ καυματιζόμενοι, συνεχῶς ἀλλάττεσι τὰ ἱμάτια, τῷ ψυχρὸν εἶναι τὸ ἐπιβαλλόμενον· ἂν δ' ἐπιβληθῇ, παρα-

1 Dedi sic cum W. e Baſ. adſentientibus Xyl. & Mez. Vulgo θερμαίνει.

2 Vulgo λεπτὰ πάθη τῶν χλανιδίων ἐν ἐρειπίοις. Xyl. legit λεπτοσπαθητοῖς χλανιδίων ἐρειπίοις. H. Steph. ſcribendum cenſuit λεπτοσπαθήτων, minus probans ἐρειπίοις. Utrumque commendat R. cum Salmas. Dedi cum W. ita notante: „Sic Xyl. cujus rationes codices alias alii probant. Primum diſerte eſt in Vatic. Anon. T. V. Mez. partim in E. H. Venet. Ald. Baſ. qui habent λεπτὸς πάθη τῶν. Poſtremum ἐρειπίοις diſerte in Palat. Pro σπαργάνων de ſuo χλανιδίων fecit Plutarchus.“ Cf. Plut. Opp. Vol. X. p. 80. not. 3.

3 Vulgo ὡς' ἔτι μᾶλλον. Reſtitui lectionem Baſ. a Xyl. vertendo expreſſam & R. probatam: *quam igitur ob rem veſtem oportet magis calidam appellare, propterea quod calefacit, quam frigidam, quia refrigerat?* Turn. V. Bong. ὡς ὖ τι μᾶλλον.

4 Pro ἤπερ Baſ. ἢ. Ald. ἢ περὶ.

παραχρῆμα γίνεται θερμὸν ὑπὸ τȣ͂ σώματος. ὥσπερ ȣ͂ν ἡμᾶς θερμαινόμενον θερμαίνει τὸ ἱμάτιον, ȣ῞τως τὴν χιόνα ψυχόμενον ἀντιπεριψύχει· ψύχεται δὲ ὑπ' αὐτῆς ἀφείσης πνεῦμα λεπτόν· τȣ͂το γὰρ συνέχει τὴν πῆξιν αὐτῆς ἐγκατακείμενον· ἀπελθόντος δὲ τȣ͂ πνεύματος, ὕδωρ ȣ͂σα, ῥεῖ καὶ διατήκεται καὶ ἀπανθεῖ τὸ λευκὸν, ὅπερ ἡ τȣ͂ πνεύματος πρὸς τὸ ὑγρὸν ἀνάμιξις ἀφρώδης γενομένη παρεῖχεν· ἅμα τ' ȣ͂ν τὸ ψυχρὸν ἐγκατέχεται περιστεγόμενον [1] τῷ ἱματίῳ, καὶ ὁ [2] ἔξωθεν ἀὴρ ἀπειργόμενος, ȣ̓ τέμνει τὸν πάγον ȣ̓δ' ἀνίησιν· ἀγνάπτοις δὲ τȣ́τοις [3] πρὸς τȣ͂το διὰ τὴν τραχύτητα καὶ ξηρότητα τῆς κροκίδος [4] ȣ̓κ ἐώσης ἐπιπεσεῖν βαρὺ τὸ ἱμάτιον, ȣ̓δὲ συνθλίψαι τὴν χαυνότητα τῆς χιόνος· ὥσπερ καὶ τὸ ἄχυρον διὰ κȣφότητα μαλακῶς περιπίπτον [5], ȣ̓ θρύπτει τὸν πάγον, ἄλλως δὲ πυκνόν ἐστι καὶ στεγανὸν, ὥστε καὶ τὴν [6] θερμότητα τȣ͂ ἀέρος ἀπείργειν, καὶ τὴν ψυχρότητα κωλύειν ἀπιέναι τῆς χιόνος. ὅτι δὲ ἡ τȣ͂ πνεύματος διάκρισις ἐμποιεῖ τὴν τῆξιν, ἐμφανές ἐστι τῇ αἰσθήσει· τηκομένη γὰρ ἡ χιὼν, πνεῦμα ποιεῖ.



1 Ald. Steph. ἐγκατέχεται περισαγόμενον. Baſ. & Xyl. prioris vocis errorem ſequuntur. Recte dant tres edd. Gr. lat. ut libri ſcripti. W.

2 Vulgo abeſt ὁ. Reſtitui cum W. ex Ald. Baſ. Xyl.

3 Excidiſſe videtur χρῶνται, aut ſimile: quod vertendo ſupplevit Xyl. W.

4 Ita recte datur in R. quod W. e Baſ. Xyl. & Mez. repoſuit pro vulgato κροκύδος.

5 R. mavult aut προσπίπτον, aut ἐπιπίπτον. Legendum deinde monuit R. cum Salmas. θρύπτει. Dedi id cum W. conſentientibus Xyl. E. Venet. Palat. Mez. Vulgo θρύπτειν. Vatic. θρίπτειν.

6 Dando articulum, qui vulgo abeſt, ſecutus ſum W. eum e Leonic. reponentem. Pro ὥστε Ald. ὥσπερ.

## QUAESTIO VII.

### Percolandumne sit vinum [1]?

Νίγρος [2], ὁ πολίτης ἡμῶν, ἀπὸ σχολῆς ἀφῖκτο συγγεγονὼς [3] ἐνδόξῳ φιλοσόφῳ χρόνον ὀ πολὺν, ἀλλ' ἐν ὅσῳ τὰ [4] τοῦ ἀνδρὸς ὀ καταλαμβάνοντες ἀνεπίμπλαντο τῶν ἐπαχθῶν ἀπ' αὐτοῦ μιμούμενοι [5] τὸ ἐπιτιμητικὸν, καὶ ἐλέγχοντες ἐπὶ παντὶ πράγματι τοὺς συνόντας. ἑστιῶντος οὖν ἡμᾶς Ἀριστίωνος [6], τήν τ' ἄλλην χορηγίαν ὡς πολυτελῆ καὶ περίεργον ἐμέμφετο, καὶ τὸν οἶνον οὐκ ἔφη δεῖν ἐγχεῖσθαι [7] ἠθημένον, ἀλλ', ὥσπερ Ἡσίοδος ἐκέλευσεν, ἀπὸ τοῦ πίθου πίνεσθαι τὴν συμ-

1 Personae colloquii sunt Niger, Aristio.

2 Non dubitavi, ita hoc nomen reponere pro vulg. Νίκρος, quod neque Graecum, neque Latinum est. Consentiunt Steph. Mez. & R. nec non ita vertunt Amiot. & Xyl. Est praeterea locus Plut Opp. Vol. VII. pag. 393. ubi ejusdem Nigri fit mentio, appellati ὁ ἡμέτερος, sicuti h. l. ὁ πολίτης ἡμῶν. W. quidem nil mutandum censuit sine librorum auctoritate.

3 W. susp. scriptum a Plut. fuisse ἀφῖκτο σὺν ἑταίρῳ συγγεγονώς: de duobus enim hic agi, ostendere & nexum, & plurales numeros sequentes, auctoritate Bas. & Xyl. repositos.

4 Abest τὰ a Bas. & H. Steph. supervacaneum esse videtur, nisi locum alicujus verbi occupet. R. susp. ἐν ὅσῳ τὴν ἀρετὴν (aut τὰ ἐπαινετὰ, vel τὰ καλὰ) τοῦ ἀνδρὸς ὀ καταλαμβάνοντες —. Dedi hoc participium in plur. nomin. cum W. cum vulgo legatur καταλαμβάνοντος.

5 Dedi sic, & deinde ἐλέγχοντες R. jubente, e Bas. cum W. Vulgo μιμούμενος & ψέγοντος. H Steph. dandum censuit ἀνεπίμπλατο & μιμούμενος, nec non deinde ψέγων. Ald. pro hac voce habet λέγοντος. Idem sane valuisset ψέγοντες, quod ἐλέγχοντες. Sed in retinenda lectione Bas. permanendum censui. Turn. ἐλέγχοντος.

6 Dedi sic cum W. Vulgo Ἀρίστωνος. Xyl. & R. Ἀριστίωνος praeferendum monuerunt, quale nomen infra iteratur. H. Steph. teste, in vet. cod h. l. & infra est Ἀρίστωνος.

7 Dedi sic, R. jubente, e Turn. V. Bong. pro vulg. ἐκχεῖσθαι. Ald. ἐλέγχεσθαι. Bas. ἐνίγκεσθαι.

σύμφυτον ἔχοντα ῥώμην καὶ δύναμιν. ἡ δὲ τοιαύτη κάθαρσις αὐτοῦ πρῶτον μὲν ἐκτέμνει τὰ νεῦρα, καὶ τὴν θερμότητα κατασβέννυσιν· ἐξανθεῖ γὰρ καὶ ἀποπνεῖ διεωρωμένου [1] πολλάκις· ἔπειτα περιεργίαν καὶ καλλωπισμὸν ἐμφαίνει καὶ τρυφὴν, εἰς τὸ ἡδὺ καταναλίσκουσα τὸ χρήσιμον. ὥσπερ γὰρ τὸ τοὺς ἀλεκτρυόνας ἐκτεμεῖν καὶ τοὺς χοίρους, ἁπαλὴν αὐτῶν παρὰ φύσιν τὴν σάρκα ποιοῦντας καὶ θήλειαν, οὐχ ὑγιαινόντων ἐστὶν ἀνθρώπων, ἀλλὰ διεφθαρμένων ὑπὸ λιχνείας· οὕτως εἰ δεῖ μεταφορᾷ χρησάμενον λέγειν [2], ἐξευνουχίζουσι [3] τὸν ἄκρατον καὶ ἀποθηλύνουσιν οἱ διηθοῦντες, οὔτε φορεῖν [4] ὑπ' ἀσθενείας, οὔτε πίνειν τὸν μέτριον δυνάμενοι διὰ τὴν ἀκρασίαν· ἀλλὰ σόφισμα τοῦτό ἐστιν αὐτοῖς καὶ μηχάνημα πολυποσίας· ἐξαίρουσι δὲ τοῦ οἴνου τὸ ἐμβριθὲς, τὸ λεῖον [5] ἀπολιπόντες, ὥσπερ οἱ τοῖς ἀκράτως [6] ἔχουσι πρὸς ψυχροποσίαν ἀῤῥώστοις ἀφεψημένον διδόντες· ὅ τι γὰρ στόμωμα τοῦ οἴνου καὶ κράτος [7] ἐστὶ, τοῦτο



1 Vox, Xyl. judice, vitiata, quae idem significat, quod διηθημένου. R. susp. διηερωμένου, *si saepius ventilatur*, vel *dio exponitur*. Bene habet vulgata, a διορροῦσθαι vel διοῤῥοῦσθαι deducenda — *serescere, in serum abire* vel *liquescere*. Cf. quoque Hesych. in v. ὀῤῥός cum subjunctis adnott.

2 Ald. Bas. ἔχειν, quod Xyl. in λέγειν vel εἰπεῖν corrigendum monuit, Budaeus in ἐλέγχειν, quod quoque e Turn. & V. notatur. Steph. e vet. cod. dedit λέγειν.

3 Vera & elegans lectio, W. judice, a Steph. recepta ex Amiot. Turn. Leonic. Schott. Anon. Ceteri omnes ἐξονυχίζουσι: ad quam vocem Xyl. haec notat: „non quadrat Si tamen posterius illud ἐκθηλύνειν castrationi satisfacit, & ἐξονυχίζειν est *acrimonia sua & vi spoliare*, tolerari potest.

4 Bas. φρονεῖν. Xyl. correxit. Ad explendam sententiam R. legi vult οὔτε φορεῖν τὸν ἄκρατον ὑπ' ἀσθ. *neque merum vinum ferentes defectu virium*; W. autem susp. ὑπὸ ἀσθενείας τὸν πολὺν.

5 Pro τὸ λεῖον Ald. Bas. τέλειον.

6 Secutus sum lubentissime W. ita dantem pro vulg. ἀκράτως.

7 Ald. καὶ ἀκρατές ἐστι; Turn. ὅτι κράτος ἐστί.

τοῦτο ἐν τῷ διϋλίζειν ἐξαίρουσι καὶ ἀποκρίνουσι. μέγα δὲ τεκμήριον τῆς διαφθορᾶς [1] καὶ τὸ μὴ διαμένειν, ἀλλ' ἐξίστασθαι, καὶ μαραίνεσθαι, καθάπερ ἀπὸ ῥίζης κοπέντα τῆς τρυγός· οἱ δὲ παλαιοὶ καὶ τρύγα τὸν οἶνον ἄντικρυς ἐκάλουν, ὥσπερ ψυχὴν καὶ κεφαλὴν τὸν ἄνθρωπον εἰώθαμεν ἀπὸ τῶν κυριωτάτων ὑποκορίζεσθαι, καὶ τρυγᾷν λέγομεν τοὺς δρεπομένους τὴν ἀμπελίνην ὀπώραν, καὶ διατρύγιόν που Ὅμηρος εἴρηκεν [2], αὐτὸν δὲ τὸν οἶνον αἴθοπα καὶ ἐρυθρὸν εἴωθε καλεῖν· οὐχ ὡς Ἀρίστων ἡμῖν ὠχριῶντα καὶ χλωρὸν ὑπὸ τῆς πολλῆς καθάρσεως παρέχεται.

II. Καὶ ὁ Ἀρίστων γελάσας· Οὐκ ὠχριῶντα, (εἶπεν) ὦ τᾶν, οὐδ' ἀναίμονα [3], ἀλλὰ μειλίχιον, καὶ ἡμερίδην, ἀπὸ τῆς ὄψεως αὐτῆς πρῶτον. σὺ δ' ἀξιοῖς τοῦ νυκτερινοῦ καὶ μελαναιγίδος ἐμφορεῖσθαι, καὶ ψέγεις τὴν κάθαρσιν, ὥσπερ [4] χολημεσίαν, δι' ἧς [5] τὸ βαρὺ καὶ μεθυστικὸν ἀφιεὶς καὶ νοσῶδες, ἐλαφρὸς καὶ ἄνευ ὀργῆς ἀναμίγνυται ἡμῖν, οἷον Ὅμηρός φησι πίνειν τοὺς ἥρωας· αἴθοπα γὰρ οὐ καλεῖ τὸν ζοφερόν, ἀλλὰ τὸν διαυγῆ καὶ λαμπρόν· οὐ γὰρ [6] ἂν ὁ λέγων εὐήνορα καὶ νώρο-

1 Ita e Bas. reposui pro vulg. ἡ διαφθορά. R. mavult τεκμήριον, νὴ Δία, φθορᾶς vel τῆς φθορᾶς.

2 Hom. Odyss. XXIV, 341.

3 R. mavult ἄναιμον, ab ἄναιμος.

4 Vulgo ὅσπερ. Hinc R. voluit τὸν καθάριον, ὅσπερ. Dando ὥσπερ secutus sum W. ita sumentem ex E. & H. Teste H. Steph. legitur quoque χολεμησίαν. Ita e Turn. & Bong. notatur. V. χολημησίαν.

5 Vulgo καὶ τ. β. W. mutari voluit καὶ in ᾗ. Secutus sum Mez. δι' ἧς corrigentem. E. H. Ald. exhibent εἰς pro καί. Ald. deinde & Bas. ἀφεὶς.

6 R. susp. ὁ γὰρ legendum, & deesse post χαλκὸν videri μετ' οὐ πολύ, vel simile quid. Vulgo enim legebatur ἄνω λέγων, pro quo dedi ἂν ὁ λ. W. secutus, qui ita sumsit e Palat. aliis omnibus & editis & scriptis ἄνω habentibus. Pro λέγων Ald. E. H. Venet. Palat. Vatic. φλέγων.

νώροπα χαλκὸν, αἴθοπα προσηγόρευεν. ὥσπερ ἦν ὁ σοφὸς Ἀνάχαρσις ἀλλ᾽ ἄττα τῶν Ἑλλήνων μεμφόμενος, ἐπῄνει τὴν ἀνθρακιὰν [1], ὅτι τὸν καπνὸν ἔξω καταλιπόντες, οἴκαδε πῦρ κομίζουσιν· οὕτως ἡμᾶς [2] ἐφ᾽ ἑτέροις ἂν ψέγοιτε μᾶλλον οἱ σοφοὶ ὑμεῖς· εἰ δὲ τοῦ οἴνου τὸ ταρακτικὸν καὶ ὀχλῶδες ἐξωθέμενοι καὶ ἀποσκεδάσαντες, αὐτὸν δ᾽ εὐφραίνοντες [3], οὐ καλλωπίσαντες, οὐδ᾽ ὥσπερ σιδήρου στόμωμα καὶ ἀκμὴν ἀποκόψαντες, ἀλλὰ μᾶλλον ὥσπερ ἰὸν ἢ ῥύπον ἀποκαθάραντες προσφερόμεθα, τί πλημμελοῦμεν; ὅτι νὴ Δία, πλέον ἰσχύει μὴ διηθούμενος. καὶ γὰρ ἄνθρωπος, ὦ φίλε, φρενετίζων καὶ μαινόμενος· ἀλλ᾽ ὅταν ἐλλεβόρῳ χρησάμενος ἢ διαίτῃ καταστῇ, τὸ μὲν σφοδρὸν ἐκεῖνο καὶ σύντονον οἴχεται, καὶ γέγονεν ἐξίτηλον, ἡ δ᾽ ἀληθινὴ δύναμις καὶ σωφροσύνη παραγίνεται τῷ σώματι· οὕτω δὴ καὶ ἡ κάθαρσις τοῦ οἴνου τὸ πληκτικὸν ἀφαιροῦσα καὶ μανικὸν, εἰς πραεῖαν ἕξιν καὶ ὑγιαίνουσαν καθίστησι. περιεργίαν δ᾽ οἶμαι πάμπολυ διαφέρειν καθαρότητος [4]. καὶ γὰρ αἱ γυναῖκες φυκούμεναι καὶ μυριζόμεναι καὶ χρυσὸν φοροῦσαι καὶ πορφύραν, περίεργοι δοκοῦσι· λουτρὸν δὲ καὶ ἄλειμμα καὶ κόμης θρύψιν [5] οὐδεὶς αἰτιᾶται. χαριέντως δὲ τὴν διαφορὰν ὁ ποιητὴς ἐπιδείκνυσιν ἐπὶ τῆς κοσμουμένης Ἥρας [6].

Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἀθανάτοιο
Λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ᾽ ἐλαίῳ·

 μέχρι

1 R. susp. τῶν ἀνθρακέων, *carbonarios, eos, qui carbones parant & vendunt*, a sing. ἀνθρακεὺς, quales erant apud Athenienses Acharnenses.

2 R. susp. post ἡμᾶς deesse τοὺς πολλοὺς, vel τοὺς ἰδιώτας, vel ἀμαθεῖς.

3 R. susp. αὐτὸν δὲ φαιδρύνοντες. Probat W.

4 R. voluit καθαριότητος, uti infra est καθαριότης.

5 W. susp. leg. θρίψιν.

6 Iliad. XIII, 170.

μέχρι τέτων ἐπιμέλεια καὶ καθαριότης ἐςίν [1]. ὅταν δὲ τὰς χρυσᾶς περόνας ἀναλαμβάνῃ, καὶ τὰ διηκριβωμένα τέχνῃ ἐλλόβια, καὶ τελευτῶσα τῆς περὶ τὸν κεςὸν ἅπτηται γοητείας, περιεργία τὸ χρῆμα καὶ λαμυρία μὴ πρέπεσα γαμετῇ γέγονεν. ἐκεῖν καὶ τὸν οἶνον οἱ μὲν ἀλόαις χρωτίζοντες, ἢ κινναμώμοις καὶ κρόκοις ἐφηδύνοντες, ὥσπερ γυναῖκα καλλωπίζεσιν εἰς τὰ συμπόσια καὶ προαγωγεύεσιν· οἱ δ' ἀφαιρᾶντες τὸ ῥυπαρὸν καὶ ἄχρηςον ἐξ αὐτᾶ, θεραπεύεσι καὶ καθαίρεσιν. ἐπεὶ πάντα ἂν εἴποις ταῦτα περιεργίαν, ἀρξάμενος ἀπὸ τᾶ οἴκε [2]· τί γὰρ ἕτος κεκονίαται; τί δ' ἀνέῳγε τᾶ περιέχοντος, ὅθεν ἂν μάλιςα πνεῦμα λαμβάνοι καθαρὸν, καὶ τᾶ φωτὸς ἀπολαύοι περιϊόντος [3] ἐπὶ τὰς δύσεις; τί δὲ τῶν ἐκπωμάτων ἕκαςον ἐκτέτριπται καὶ διέσμηκται πανταχόθεν, ὥςε λάμπειν καὶ περιςίλβειν; ἢ τὸ μὲν ἔκπωμα ἔδει μὴ ῥίπε, μηδὲ μοχθηρίας ἐδωδὸς εἶναι, τὸ δ' ἐξ αὐτᾶ πινόμενον, εὐρῶτος ἢ κηλίδων ἀναπεπλῆσθαι. καὶ τί δεῖ τὰ ἄλλα λέγειν; ἡ γὰρ αὐτᾶ τᾶ πυρᾶ διαπόνησις [4] εἰς τὸν ἄρτον, ἐδὲν ἕτερον, ἢ κάθαρσις ἅσα, θέασαι, μεθ' ὅσης γίνεται πραγματείας· ἐ γὰρ μόνον ὑποσκαφισμοὶ καὶ διηθήσεις, καὶ ἀποκρίσεις [5], καὶ διακρίσεις

1 Ald. καθαριότητός ἐςιν.

2 R. monente, post οἴκε aut interrogandi signum est ponendum — *nam, interrogo, tune haec omnia pro inutili sedulitate damnabis & proscribes?* aut legendum ἐπεὶ πάντα γ' ἂν ἅτως εἴποις — *nam ea disputandi ratione utens proscriberes isthaec omnia.*

3 Vulgo περιόντος. Hinc R. legendum monuit aut παριόντος, aut περιϊόντος. Posterius reposui ex Ald. Vocabulum φωτὸς positum est pro ἡλίε. Pro ἐκπωμάτων Ald. vitiose πτωμάτων.

4 Vulgo αὐτᾶ πυρᾶ διαπνόησις. Inserui τᾶ ex mente R. & W. διαπόνησις, quod H. Steph. & R. scribendum monuerunt, restitui e Bas. cum W. accedentibus Xyl. Mez. Salmas.

5 Pro ὑποσκαφισμοὶ, teste H. Steph. malunt alii ὑποσκαριφι-

κρίσεις εἰσὶ τῶν σιτίων καὶ τῶν ἀλλοτρίων [1], ἀλλὰ ἡ τρίψις ἐκθλίβουσα τοῦ φυράματος τὸ τραχὺ, καὶ ἡ πέψις ἐξικμάζουσα τὸ ὑγρὸν καθαίρουσι [2] καὶ συστέλλουσι τὴν ὕλην εἰς αὐτὸ τὸ ἐδώδιμον. τί οὖν [ἄτοπον, εἰ καὶ τοῦ οἴνου τὸ τρυγῶδες, ὡς κρίμνον ἢ σκύβαλον, ἡ διήθησις ἐξαίρει, μήτε δαπάνης τινὸς τῇ καθάρσει, μήτ' ἀσχολίας προσούσης;

## QUAESTIO VIII.

### Quae ſit cauſa bulimi [3]?

Θυσία τίς ἐστι πάτριος, ἣν ὁ μὲν ἄρχων ἐπὶ τῆς κοινῆς ἑστίας δρᾷ, τῶν δ' ἄλλων ἕκαστος [4] ἐπ' οἴκου· καλεῖται δὲ βουλίμου ἐξέλασις· καὶ τῶν οἰκετῶν ἕνα τύπτοντες ἀγνίαις [5] ῥάβδοις διὰ θυρῶν ἐξελαύνουσιν, ἐπιλέγον-

ριφισμοί. Ita e V. & Turn. notatur. Vulgo deinde καὶ διαιτήσεις καὶ ἀποκρούσεις. Reſtitui διηθήσεις e Baſ. Xyl. & Turn. licet R. dubitet, an de ſiccis dicatur διηθεῖν, & de διασήσεις a διασήθειν, *per cribrum trajicere*, cogitarit. H. Steph. monente, alii maluerunt διαττήσεις. W. aut διαιρήσεις aut διηθήσεις probavit. Pro ἀποκρούσεις recepi ἀποκρίσεις ex H. Steph. mente, W. probata.

1 Dedi ſic e Turn. probante W. pro vulg. ἀλετρίων. Baſ. Xyl. ἀλεύρων. R. hoc maluit, aut ἀλευρίων, & deinde ἀλλὰ καὶ ἡ τρ.

2 Vulgo καὶ καθαίρουσι absque interjectis. Ea ſumſit W. e Palat. & ad ſententiam neceſſaria, & colore germana Plutarchea. Baſ. καὶ καθαίρουσα, καὶ στέλλουσα.

3 Perſonae colloquii ſunt Plutarchus, Soclarus, Cleomenes, alii.

4 Ita recte legi in Baſ. monuit R. dedique cum W. pro vulg. ἕκαστον, quod operarum forte vitium ex Ald propagavit Steph.

5 Dedi cum ſpiritu leni, cum vulgo legitur ἁγνίαις — ab ἄγνος, *vitex*, ſecundum Heſych. & Suid. Scribi maluit H. Steph. ἀγυιαῖς; R. ἀγνίναις. Ex Turn. utraque haec lectio affertur. Kuſterus ex ἄγνος formavit ἄγνιος in nota ad Heſych. v. ἄγνιον — τῆς ἄγνου τὸ σπέρμα.

λέγοντες· Ἔξω βούλιμον, ἔσω δὲ πλοῦτον καὶ ὑγίειαν. ἄρχοντος οὖν ἐμοῦ, πλείονες ἐκοινώνουν τῆς θυσίας, κἆτα ὡς [1] ἐποιήσαμεν τὰ νενομισμένα, καὶ πάλιν κατεκλίνημεν, ἐζητεῖτο πρῶτον ὑπὲρ αὐτοῦ τοῦ ὀνόματος, ἔπειτα τῆς φωνῆς, ἣν ἐπιλέγουσι τῷ διωκομένῳ, μάλιστα δὲ ὑπὲρ τοῦ πάθους καὶ τῶν κατ' αὐτὸ γινομένων. τὸ μὲν οὖν βούλιμον [2] ἐδόκει μέγαν ἢ δημόσιον ἀποσημαίνειν, καὶ μάλιστα παρ' ἡμῖν τοῖς Αἰολεῦσιν, ἀντὶ τοῦ β' τῷ π' χρωμένοις· οὐ γὰρ βούλιμον, ἀλλὰ πούλιμον, οἷον πολὺν ὄντα, πάλαι ονομάζομεν [3]. ἐδόκει δὲ ἡ Βούβρωστις [4] ἕτερον εἶναι· τὸ δὲ τεκμήριον ἐλαμβάνομεν ἐκ τῶν Μητροδώρου Ἰωνικῶν· ἱστορεῖ γὰρ, ὅτι Σμυρναῖοι τὸ παλαιὸν Αἰολεῖς ὄντες θύουσι Βουβρώστει ταῦρον μέλανα, καὶ κατακόψαντες, αὐτόδορον ὁλοκαυτοῦσιν. ἐπεὶ δὲ πᾶς μὲν ἔοικεν ὁ λιμὸς νόσῳ, μάλιστα δὲ ὁ βούλιμος ἐπιγίνεσθαι [5], παθόντος παρὰ φύσιν τοῦ σώματος, εἰκότως ἀντιτάττουσιν, ὡς μὲν ἐνδείᾳ τὸν πλοῦτον, ὡς δὲ νόσῳ, τὴν ὑγίειαν. ὡς δὲ ναυτιᾷν ὠνομάσθη μὲν ἐπὶ τῶν ἐν νηῒ καὶ κατὰ πλοῦν τὸν στόμαχον ἐκλυομένων, ἔθει δ' ἴσχυκεν ἤδη καὶ κατὰ τῶν ὁπωσοῦν τοῦτο παχόντων ὄνομα τοῦ πάθους εἶναι· οὕτως ἄρα

1 Ald. καθὼς. Baſ. καὶ ὡς.

2 Ald. Baſ. τὸ μὲν οὖν λιμόν. R. diviſis vocabulis τὸ μὲν οὖν βοῦ λιμὸν legi voluit — particula βου in hoc compoſito videbatur *ingentem* ſignificare. H. Steph. poſt δημόσιον deeſſe videbatur ſubſtantivum λιμόν.

3 Vulgo οὐ γὰρ βούλιμον, ἀλλὰ πολύλιμον οἷον πολύνουν πάλιν ὀνομάζ. Xyl. legit οὐ γὰρ β. ἀλλὰ πούλιμον, οἷον πολύλιμον, πάλαι ὀνομ. H. Steph. idem legendum conjecit, excepto πάλιν, quod retinet. R. ἀλλὰ πούλιμον, οἷον πολὺν ὄντα λιμὸν, ὀνομ. E Turn. & V. affertur πούλιμον οἷον πολύλιμον. W. pariter corrigendum cenſet οὐ γ. β. ἀλλὰ πούλιμον, οἷον πολὺν ὄντα, πάλαι ὠνομάζ. & ex Palat. ſumſit πολὺν ὄντα. Satis ex his patet, quibus noſtra nitatur lectio rationibus.

4 Cf. Hom. Iliad. XXIV, 532.

5 Turn. ἐπιγίνεται.

ἄρα καὶ τὸ βελιμιᾷν ἐκεῖθεν [1] ἀρξάμενον ἐνταῦθα διέτεινε. ταῦτα μὲν οὖν ἔρανον κοινὸν ἐκ πάντων συνεπλήρουν λόγων [2].

II. Ἐπεὶ δὲ δὴ ἡπτόμεθα τῆς αἰτίας τοῦ πάθους, πρῶτον μὲν ἠπορήθη τὸ [3] μάλιστα βουλιμιᾷν τοὺς διὰ χιόνος πολλῆς βαδίζοντας, ὥσπερ καὶ Βροῦτος [4] ἐκ Δυῤῥαχίου πρὸς Ἀπολλωνίαν ἐκινδύνευσεν ὑπὸ τοῦ πάθους· ἦν δὲ νιφετὸς πολὺς, καὶ τῶν τὰ σιτία κομιζόντων οὐδεὶς ἐξηκολούθει· λειποθυμοῦντος οὖν αὐτοῦ καὶ ἀπολιπόντος, ἠναγκάσθησαν οἱ στρατιῶται προσδραμόντες τοῖς τείχεσιν, ἄρτον αἰτῆσαι παρὰ τῶν τειχοφυλάκων πολεμίων· καὶ λαβόντες εὐθὺς [5], ἀνεκτήσαντο τὸν Βροῦτον· διὸ καὶ φιλανθρώπως ἐχρήσατο πᾶσι, κύριος τῆς πόλεως γενόμενος. πάσχουσι δὲ τοῦτο καὶ ἵπποι καὶ ὄνοι, καὶ μάλιστα, ὅταν ἢ ἰσχάδας ἢ μῆλα κομίζωσιν· ὃ δὲ θαυμασιώτατόν ἐστιν, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ κτήνη, μάλιστα πάντων ἐδωδίμων ἀναῤῥώννυσιν ἄρτος· ὥστε κἂν ἐλάχιστον ἐμφάγωσιν, ἵστανται καὶ βαδίζουσι.

III. Γενομένης δὲ σιωπῆς, ἐγὼ συννοῶν [6], ὅτι τὰ τῶν πρεσβυτέρων ἐπιχειρήματα τοὺς μὲν ἀργοὺς καὶ ἀφυεῖς

1 R. susp. aliquid deesse, cum nihil praecesserit, ad quod ἐκεῖθεν referatur. H. Steph. deinde pro διέτεινε legi voluit διέμεινε cum Budaeo, e quo Turn. & V. idem notant. In utroque bene dissentit Kaltw. vertens: *so ist auch der Ausdruk Bulimos von jener eingeschränktern Bedeutung nach und nach zu einer allgemeinen übergegangen.*

2 Vulgo συνεπλήρου λέγων: ad quae Xyl. monuit, non esse integra. Dando, quae nunc leguntur, secutus sum W. haec notantem: „Sic Mez. in λόγων consentit Xyl. Am. T. Idem Amiot. & R. συνεπληροῦμεν."

3 R. susp. τὸ αἴτιον τοῦ μάλ. β.

4 Cf. Plut. opp. Vol. VI. p. 250 sq. in vita Brut. c. 25, 26.

5 R. εὐθὺς ad ἀνεκτήσαντο pertinere monuit.

6 Secutus sum W. ita dantem e Venet. Palat. Vatic. pro vulg. συνορῶν.

ἀφυεῖς οἷον ἀναπαύει καὶ ἀναπίμπλησι, τοῖς δὲ φιλοτίμοις καὶ φιλολόγοις ἀρχὴν ἐνδίδωσιν οἰκείαν καὶ τόλμαν ἐπὶ τὸ ζητεῖν καὶ ἰνιχνεύειν τὴν ἀλήθειαν, ἐμνήσθην τῶν Ἀριςοτελικῶν, ἐν οἷς λέγεται, ὅτι, πολλῆς περιψύξεως γενομένης ἔξωθεν, ἐκθερμαίνεται [1] σφόδρα τὰ ἐντὸς, καὶ πολὺ σύντηγμα ποιεῖ· τοῦτο δ', ἐὰν μὲν ἐπὶ τὰ σκέλη ῥυῇ, κόπους ἀπεργάζεται καὶ βαρύτητας, ἐὰν δ' ἐπὶ τὰς τῆς κινήσεως καὶ τῆς ἀναπνοῆς ἀρχὰς, ἀψυχίαν ἢ καὶ [2] ἀσθένειαν. ὅπερ οὖν εἰκὸς, τοῦ λόγου λεχθέντος, ἐπεραίνετο, τῶν μὲν ἐπιφυομένων τῷ δόγματι, τῶν δὲ ὑπερδικέντων.

IV. Σωκλαρος δὲ, τὴν ἀρχὴν, ἔφη, τοῦ λόγου κάλλιςα κεῖσθαι· περιψύχεσθαι γὰρ ἱκανῶς καὶ πυκνοῦσθαι τὰ σώματα τῶν βαδιζόντων διὰ χιόνος· τὸ δὲ σύντηγμα τὴν θερμότητα ποιεῖν, καὶ τοῦτο καταλαμβάνειν τὰς ἀρχὰς τῆς ἀναπνοῆς αἰτηματῶδες εἶναι [3]. μᾶλλον οὖν δοκεῖν αὐτῷ τὴν θερμότητα συςελλομένην καὶ πλεονάζουσαν ἐντὸς ἀναλίσκειν τὴν τροφὴν, εἶτ' ἐπιλειπούσης καὶ αὐτῆς, ὥσπερ πῦρ ἀπομαραίνεσθαι· διὸ πεινῶσι [4] σφόδρα, καὶ βραχὺ παντελῶς ἐμφαγόντες, εὐθὺς ἀναλάμπουσι· γίνεται γὰρ ὥσπερ ὑπέκκαυμα [5] τῆς θερμότητος, τὸ προσφερόμενον.

V.

1 R. legi vult aut ἐκθερμαίνει scil. ἡ περίψυξις, aut πάσχει pro ποιεῖ, sc. τὰ ἐντός.

2 R. aut ἢ aut καὶ deleri vult, cum ἀσθένεια explicet vocabulum ἀψυχία.

ὑπέλειπε. Καὶ ὃ τοῦτο μόνον (ἔφη) οἶδα τὸν πατέρα καὶ τὸν πάππον εὖ μάλα [1] παραφυλάττοντας, ἀλλὰ μηδὲ λύχνον ἐῶντας ἀποσβεννύναι μετὰ τὸ δεῖπνον, ὅπως μὴ μάτην τέλαιον ἀναλίσκωσι [2]. παρῶν οὖν Εὔτροφος Ἀθηναῖος· Εἶτα (ἔφη) τί πλέον αὐτοῖς, ἂν μὴ τὸ Πολυχάρμου τοῦ ἡμετέρου σοφὸν ἐκμάθωσιν, ὃς πολὺν ἔφη σκεπτόμενος χρόνον, ὅπως οὐ κλέψωσι τοὔλαιον οἱ παῖδες, ἐξευρεῖν μόλις· εὐθὺς γὰρ ἀποπληροῦν τοὺς λύχνους ἀποσβεσθέντας, εἶτ' ἐπισκοπεῖν τῇ ὑστεραίᾳ πάλιν, εἰ πλήρεις διαμένουσι. γελάσας δὲ ὁ Φλῶρος· Οὐκοῦν (εἶπεν) ἐπεὶ τοῦτο τὸ πρόβλημα λέλυται, σκεψώμεθα τὸν λόγον, ᾧ τοὺς παλαιοὺς εἰκός ἐστι καὶ περὶ τοὺς λύχνους καὶ περὶ τὰς τραπέζας οὕτως εὐλαβεῖς γεγονέναι.

II. Πρότερον οὖν ἐζητεῖτο περὶ τῶν λύχνων· καὶ ὁ μὲν γαμβρὸς αὐτοῦ, Καισέρνιος, ᾤετο, τῇ πρὸς τὸ ἄσβεστον καὶ ἱερὸν πῦρ συγγενείᾳ παντὸς φθορὰν πυρὸς ἀφοσιώσασθαι τοὺς πρεσβυτέρους· δύο γὰρ εἶναι φθορὰς, ὥσπερ ἀνθρώπου, τὴν μὲν βίαιον σβεννυμένου, τὴν δὲ ὥσπερ κατὰ φύσιν ἀπομαραινομένου· τῷ μὲν οὖν ἱερῷ πρὸς ἀμφοτέρας ἀρήγειν, ἀεὶ τρέφοντας καὶ φυλάττοντας· τὸ δ' ἄλλο δι' αὑτοῦ περιορᾶν μαραινόμενον αὐτοὺς, μηδὲ βιάζεσθαι, μηδὲ φθονεῖν, ὥσπερ θρέμματος ἀφαιρουμένους τὸ ζῆν, ἵνα μὴ μάτην τρέφοιτο.

III. Λεύκιος δὲ, ὁ τοῦ Φλώρου υἱὸς, τἄλλα μὲν ἔφη καλῶς λέγεσθαι, τὸ δὲ ἱερὸν πῦρ οὐκ ἄμεινον αἱρουμέ-

in versione retinuit. Junius vertit *candidatum*. W. ex Amiot. & Mez. notat, quod dedi, & probat. Consentit Kaltw. ex auctoritate Amiot. & Ricardi.

1 Ald. οὐ μάλα; Bas. οὐ μάλα. Hinc Xyl. legit εὖ μάλα. Probat idem R. & e Turn. affertur. Vulgatum τὸν πάππον μὴ dedit Steph.

2 Non consentaneum hoc videtur, Xyl. judice. Susp. excidisse inter δεῖπνον & ὅπως tale quid, ἄλλως σπουδάζοντας, tametsi alias studiose caverent, ne oleum frustra insumerent.

ρημένους [1] ἑτέρου πυρὸς, οὐδὲ σεμνότερον οὕτω σέβεσθαι καὶ περιέπειν· ἀλλὰ ὥσπερ Αἰγυπτίων ἐνίους μὲν τὸ κυνῶν γένος ἅπαν σέβεσθαι καὶ τιμᾶν, ἐνίους δὲ τῶν λύκων [2] ἢ κροκοδείλων [3], ἕνα μέντοι τρέφειν, τοὺς μὲν κύνα, τοὺς δὲ κροκόδειλον, τοὺς δὲ λύκον· οὐ γὰρ οἷόν τ' ἦν ἅπαντας. οὕτως ἐνταῦθα τὴν περὶ ἐκεῖνο θεραπείαν καὶ φυλακὴν τὸ πῦρ, τῆς πρὸς ἅπαν εὐλαβείας εἶναι σύμβολον. οὐδὲν γὰρ ἄλλο μᾶλλον ἐμψύχῳ προσέοικεν, ἢ πῦρ, κινούμενόν τε καὶ τρεφόμενον δι' ἑαυτοῦ, καὶ τῇ λαμπρότητι δηλοῦν, ὥσπερ ἡ ψυχὴ, καὶ σαφηνίζον ἅπαντα· μάλιστα δὲ ταῖς σβέσεσιν αὐτοῦ καὶ φθοραῖς ἐμφαίνεται δύναμις οὐκ ἀμοιροῦσα ζωτικῆς ἀρχῆς· βοᾷ γὰρ καὶ φθέγγεται [4] καὶ ἀμύνεται, καθάπερ ἔμψυχον ἀποθνῆσκον βίᾳ καὶ φονευόμενον· Εἰ μή τι σὺ [5] λέγεις (ἔφη πρὸς ἐμὲ βλέψας) βέλτιον.

IV. Οὐδὲν (εἶπον ἐγὼ) τῶν εἰρημένων αἰτιῶμαι· προσθείην δ' ἂν, ὅτι καὶ φιλανθρωπίας διδασκαλία τὸ ἔθος ἐστίν· οὔτε γὰρ τροφὴν ἀφανίζειν ὅσιον αὐτοὺς ἤδη ἔχοντας, οὔτε νάματος ἐμφορηθέντας, πηγὴν ἀποτυφλοῦν καὶ ἀποκρύπτειν, οὔτε πλοῦ σημεῖα καὶ ὁδοῦ διαφθείρειν χρησαμένους, ἀλλ' ἐᾶν καὶ ἀπολείπειν τὰ χρήσιμα τοῖς δεησομένοις μεθ' ἡμᾶς· ὅθεν οὐδὲ φῶς λύχνου, μὴ δεομένους, ἀπολλύναι διὰ μικρολογίαν καλὸν, ἀλλὰ τηρεῖν καὶ ἀπολείπειν, εἴ τις ἔλθοι δεόμενος παρόντος ἔτι καὶ λάμποντος· καὶ γὰρ ὄψιν, εἰ δυνα-

1 W. mavult *ἡγουμένους*, quod jam vertendo significavit Xyl.

2 W. judice, rectius legatur *τὸ λύκων*. Ab Ald. abest *ἢ*; pro qua partic. Turn. & V. dant *καὶ*.

3 Absuerunt a R. *τοὺς δὲ κροκόδειλον*.

4 Turn. V. *φθείρεται*. Ita quoque legitur in Bas.

5 Ita R. legendum censuit — *nisi si quid tu melius profers*, dedique e Turn. V. Bong. probante W. & ita vertente Xyl. Vulgo *φονευόμενον*. *Μή τι σὺ λέγεις*. Ald. & Bas. *μή τι συλλέγεις*.

δυνατὸν ἦν, καὶ ἀκοὴν χρῆσαι καλῶς εἶχεν ἑτέρῳ, καὶ, νὴ Δία, τὴν φρόνησιν καὶ τὴν ἀνδρείαν, μέλλοντας αὐτοὺς καθεύδειν καὶ ἡσυχάζειν. ὅρα δὲ, εἰ καὶ μελέτης ἕνεκα τοῦ εὐχαρίστου [1] τὰς τοιαύτας ἐφιέντες ὑπερβολὰς, οὐκ ἀτόπως οἱ παλαιοὶ καὶ δρῦς ἐσέβοντο καρποφόρους, καὶ συκῆν τινα προσηγόρευσαν ἱερὰν Ἀθηναῖοι, καὶ μορίαν [2] ἐκκόπτειν ἀπαγορεύουσι [3]. ταῦτα γὰρ οὐ ποιεῖ πρὸς δεισιδαιμονίαν ἐπιφόρους, ὡς ἔνιοι φασὶν, ἀλλὰ προσεθίζει τὸ εὐχάριστον ἡμῶν καὶ κοινωνικὸν ἐν τοῖς ἀναισθήτοις καὶ ἀψύχοις πρὸς ἀλλήλους. ὅθεν ὀρθῶς μὲν Ἡσίοδος [4]

Οὐδ' ἀπὸ χυτροπόδων ἀνεπιῤῥέκτων

ἐᾷ παρατίθεσθαι σῖτον, ἢ ὄψον, ἀλλ' ἀπαρχὰς τῷ πυρὶ καὶ γέρα τῆς διακονίας ἀποδιδόντας· εὖ τε Ῥωμαῖοι χρησάμενοι τοῖς λύχνοις, ἣν ἔδοσαν, οὐκ ἀφῄρουντο τροφὴν, ἀλλὰ χρῆσθαι ζῶντας καὶ λάμποντας [5].

V. Ἐμοῦ δὲ ταῦτ' εἰπόντος, ὁ Εὔστροφος· Ἆρ' οὖν (ἔφη) τοῦτο καὶ τῷ περὶ τραπέζης λόγῳ πάροδον οἰκείαν δίδωσιν, οἰομένων [6] δεῖν ἀεί τι καταλιπεῖν οἰκέταις ἀπὸ δείπνου, καὶ παισὶν οἰκετῶν· χαίρουσι γὰρ οὐχ οὕτως λαμβάνοντες, ὡς μεταλαμβάνοντες. διὸ καὶ τοὺς Περσῶν βασιλεῖς φασιν οὐ μόνον φίλοις καὶ ἡγεμόσι

1 Malim cum W. τοῦ εὐχαρίστου.

2 Vulgo μοραίαν. Corrigendum id monuit R. nec sequi dubitavi. Varia quidem hujus vocis forma occurrit; in N. etiam T. (Luc. XIX, 4.) fuit in aliis edd. συκομωραία, in aliis συκομοραία: at in recentioribus melioris notae est συκομωρέα.

3 Ald. ἐκκόπτειν προσαγορεύουσι; V. Bong. μὴ κόπτειν ἀπαγορεύουσαν; Turn. μὴ κόπτειν ἀπηγόρευσαν.

4 Opp. & d. v. 748.

5 Ald. Baf. χρῆσθαι ζῶν καὶ λάμποντας. Xyl. susp. & vertit χρῆσθαι εἴων ζῶντας κ. λ. H. Steph. & R. quoque desiderarunt εἴων; Consentit Mez. at, W. judice, magis ad sensum necessario quam ad vestigia vulgatae probabiliter, &, sub esse quasi vel vitii vel novitatis monente.

6 R. susp. οἰομένῳ. Consentit W.

μόσι καὶ σωματοφύλαξιν ἀποπέμπειν ἀεὶ μερίδας, ἀλλὰ καὶ τὸ τῶν δέλων καὶ τὸ τῶν κυνῶν ἀεὶ δεῖπνον ἐπὶ τῆς ἐκείνων προτίθεσθαι τραπέζης, ὡς ἀνυςὸν [1] ἦν, πάντας, οἷς ἐχρῶντο, ποιεμένων ὁμοτραπέζες καὶ ὁμοεςίες. ἡμερῶνται γὰρ τῇ τῆς τροφῆς μεταδόσει καὶ τὰ σκυθρωπότατα τῶν θηρίων.

VI. Ἐγὼ δὲ γελάσας· Ἐκεῖνον δὲ, (εἶπον) ὦ ἑταῖρε, τὸν ἐκ τῆς παροιμίας ἀποκείμενον ἰχθὺν διὰ τί [2] ἐχ ἕλκομεν εἰς μέσον, μετὰ τῆς Πυθαγορικῆς χοίνικος, ἐφ' ἧς ἀπηγόρευε καθῆσθαι, διδάσκων [3] ἡμᾶς ἀεί τι τῦ παρόντος εἰς τὸ μέλλον ὑπολιπεῖν, καὶ τῆς αὔριον ἐν τῇ σήμερον μνημονεύειν. ἡμῖν μὲν ἐν τοῖς Βοιωτοῖς τό· Λεῖπέ τι καὶ Μήδοις· διὰ ςόματός ἐςιν, ἐξ ἐ Μῆδοι τήν τε Φωκίδα καὶ τὰ ἔχατα τῆς Βοιωτίας ἄγοντες καὶ φέροντες ἐπέτρεχον· ἀεὶ δὲ καὶ πανταχῦ δεῖ πρόχειρον εἶναι τό· Λεῖπέ τι καὶ ξένοις ἐπελθῦσιν. ὡς ἔγωγε καὶ τῦ Ἀχιλλέως κενὴν ἀεὶ καὶ λιμώδη καταλαμβανομένην αἰτιῶμαι τὴν τράπεζαν· τῶν τε [4] γὰρ περὶ τὸν Αἴαντα καὶ τὸν Ὀδυσσέα πρέσβεων ἀφικομένων, ἐδὲν ἔχων ἕτοιμον, ἀναγκάζεται μαγειρεύειν ἐξ ὑπαρχῆς καὶ ὀψοποιεῖν· τόν τε Πρίαμον φιλοφρονεῖσθαι βελόμενος, πάλιν ἀναΐξας ὄιν ἄργυφον [5] σφάττει καὶ διαιρεῖ, καὶ ὀπτᾷ, πολὺ μέρος περὶ ταῦτα ἀναλίσκων τῆς νυκτός. ὁ δ' Εὔμαιος, ἅτε δὴ θρέμμα γεγονὼς σοφῦ σοφὸν, ἐ πράγματα

1 Ald. Bas. ὡς ἂν οἰςὸν ἦν.

2 absunt διὰ τί ab Ald. & Baſ. Prior ἑλκόμενον; cum Baſ. conſentit Turn.

3 Repoſui ſic e Baſ. & Xyl. conſentiente Mez. idque forte verum ſuſpicante W. pro διδάσκοντος, quod eſt in rell. De proverbii ſenſu nihil certi poteſt afferri; de ſymbolo Pythagorico cf. Vol. VII. p. 47.

4 Frſt. & R. τῶνδε. Reſtitui τῶν τε. Cf. Iliad. IX, 206. ſq. & paulo poſt XXIV, 621. ſq.

5 Frſt. & R. ἄργυρον. Reſtitui ἄργυφον.

μητα εἶχε, τᾶ Τηλεμάχα ἐπιφανέντος, ἀλλ' εὐθὺς ἑςιᾷ καθίσαντα, πίνακας κρεῶν παρατιθεὶς

Ὀπταλέων, ἅ ῥα τῇ προτέρῃ κατέλειπον ἔδοντες [1].

εἰ δὲ τᾶτο δόξει μικρὸν, ἐκεῖνό γ' ἀ μικρὸν, τὸ συςέλλειν καὶ ἀνέχειν τὴν ὄρεξιν, ἔτι παράσης τῆς ἀπολαύσεως· ἧττον γὰρ ἐπιθυμᾶσι τῶν ἀπόντων οἱ ἐθισθέντες ἀπέχεσθαι τῶν παρόντων.

VII. Ὑπολαβὼν δὲ ὁ Λεύκιος ἔφη, τῆς μάμμης ἀκηκοὼς μνημονεύειν, ὡς ἱερὸν μὲν ἡ τράπεζα, δεῖ δὲ τῶν ἱερῶν μηδὲν εἶναι κενόν. Ἐμοὶ δὲ (εἶπεν) ἐδόκει καὶ μίμημα τῆς γῆς ἡ τράπεζα εἶναι· πρὸς γὰρ τῷ τρέφειν ἡμᾶς, καὶ ςρογγύλη καὶ μόνιμός ἐςι, καὶ καλῶς ὑπ' ἐνίων ἑςία καλεῖται· καθάπερ γὰρ τὴν γῆν αἰεί τι χρήσιμον ἔχειν καὶ φέρειν ἡμῖν ἀξιᾶμεν, ὕτως ἀδὲ τὴν τράπεζαν οἰόμεθα δεῖν κενὴν ὁρᾶν καὶ ἀνερμάτιςον ἀπολειπομένην.

## QUAESTIO V.

Maxime cavendum esse a voluptatibus, quas depravata praebet musica: et quomodo sit cavendum [2]?

Ἐν Πυθίοις Καλλίςρατος, τῶν Ἀμφικτυόνων ὢν ἐπιμελητὴς [3], αὐλῳδόν τινα πολίτην καὶ φίλον ὑςερήσαντα τῆς ἀπογραφῆς τᾶ μὲν ἀγῶνος εἶρξε κατὰ τὸν νόμον· ἑςιῶν δὲ ἡμᾶς παρήγαγεν εἰς τὸ συμπόσιον ἐσθῆτι καὶ ςεφάνοις, ὥσπερ ἐν ἀγῶνι, μετὰ τᾶ χορᾶ κεκοσμημένον ἐκπρεπῶς· καὶ νὴ Δία κομψὸν ἦν ἀκρόαμα

1 Odyss. XVI, 49. Pro ἅ ῥα Ald. Bas. ἄρα. Mez. deinde δῆμει, quod W. probat, pro διαιρεῖ.

2 Personae colloquii sunt Callistratus, Lamprias.

3 Vulgo absque ὢν, quod dedi e W. mente. R. maluit aut ἐπιμελητὴς γενόμενος, aut ἐπιμελετήσας. Mox Ald. & Bas. ἦρξε pro εἶρξε.

ἅμα τοπρῶτον· ἔπειτα διασείσας καὶ διακωδωνίσας τὸ συμπόσιον, ὡς ᾔσθάνετο τὰς πολλὰς ἐγκεκλικότας καὶ παρέχοντας ὑφ' ἡδονῆς, ὅ τι βέλοιτο χρῆσθαι, καὶ καταυλεῖν καὶ ἀκολασαίνειν, ἀποκαλυψάμενος παντάπασιν, ἐπεδείξατο τὴν μεσικὴν παντὸς οἴνε μᾶλλον μεθύσκεσαν τὰς ὅπως ἔτυχε καὶ ἀνέδην αὐτῆς ἐμφορεμένες· ἐδὲ γὰρ κατακειμένοις ἔτι βοᾶν ἐξήρκει καὶ κροτεῖν, ἀλλὰ τελευτῶντες ἀνεπήδων οἱ πολλοὶ, καὶ συνεκινεῦντο κινήσεις ἀνελευθέρες, πρεπέσας δὲ τοῖς κρέμασιν ἐκείνοις καὶ τοῖς μέλεσιν. ἐπεὶ δ' ἐπαύσαντο, καὶ κατάστασιν αὖθις, ὥσπερ ἐκ μανίας, ὁ πότος ἐλάμβανεν, ἐβέλετο μὲν ὁ Λαμπρίας εἰπεῖν τι καὶ παῤῥησιάσασθαι πρὸς τὰς νέες· ὀῤῥωδεντι δ' ὅμως, μὴ λίαν ἀηδὴς γένηται καὶ λυπηρὸς, αὐτὸς [1] ὁ Καλλίστρατος ὥσπερ ἐνδόσιμον παρέσχε, τοιαῦτά τινα διαλεχθείς.

II. Ἀκρασίας μὲν (ἔφη) καὶ αὐτὸς ἀπολύω τὸ φιλήκοον καὶ φιλοθεάμον [2]. ε μὴν Ἀριστοξένῳ γε συμφέρομαι [3] παντάπασι, ταύταις μόναις φάσκοντι ταῖς ἡδοναῖς τὸ καλῶς ἐπιλέγεσθαι. καὶ γὰρ ὄψα καλὰ καὶ μύρα καλεσι, καὶ καλῶς γεγονέναι λέγεσι, δειπνήσαντες ἡδέως καὶ πολυτελῶς. δοκεῖ δέ μοι μηδ' Ἀριστοτέλης αἰτίᾳ δικαίᾳ τὰς περὶ θέαν καὶ ἀκρόασιν εὐπαθείας ἀπολύειν ἀκρασίας, ὡς μόνας ἀνθρωπικὰς ἔσας· ταῖς δ' ἄλλαις καὶ τὰ θηρία φύσιν [4] ἔχοντα χρῆσθαι καὶ κοινωνεῖν. ὁρῶμεν [5] γὰρ, ὅτι καὶ μεσικῇ πολλὰ κηλεῖται τῶν ἀλόγων, ὥσπερ ἔλαφοι σύριγξιν, ἵπποις δὲ μιγνυμέναις ἐπαυλεῖται νόμος, ὃν ἱππόθορον ὀνομάζεσιν·

1 Ald. Bas. ἔτος; Turn. & V. ἔτως.

2 Cum in Bas. legatur φιλοθεάμονα, rectius videtur R. τὸν φιλήκοον καὶ φιλοθεάμονα.

3 Frft. & R. συμφέρομεν. Restitui συμφέρομαι. Ald. deinde pro καλῶς dat mendose κακῶς.

4 Dedi sic, R. jubente, — *natura utentia*, pro vulg. φασιν, cum W. idem e Mez. sumente.

5 Secutus sum W. ita dantem e Mez. pro vulg. ὁρῶ μὲν

σιν· ὁ δὲ Πίνδαρός φησι, κεκινῆσθαι πρὸς ᾠδὴν ἁλίας δελφῖνος ὑπόκρισιν,

Τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος [1].

ὀρχέμενοι δὲ τὰς σκῶπας αἱρῦσι χαίροντας τῇ ὄψει, καὶ μιμητικῶς ἅμα δεῦρο κἀκεῖσε τὰς ὤμους συνδιαφέροντας [2]. οὐδὲν ἦν ὁρῶ τὰς τοιαύτας ἡδονὰς ἴδιον ἐχούσας, ὅτι μόναι τῆς ψυχῆς εἰσιν, αἱ δ' ἄλλαι τοῦ σώματος, καὶ περὶ τὸ σῶμα καταλήγουσι· μέλος δὲ καὶ ῥυθμὸς καὶ ὄρχησις, καὶ ᾠδὴ παραμειψάμεναι τὴν αἴσθησιν, ἐν τῷ χαίροντι τῆς ψυχῆς ἀπερείδονται τὸ ἐπιτερπὲς καὶ γαργαλίζον. ὅθεν οὐδεμία τῶν τοιούτων ἡδονῶν ἀπόκρυφός ἐστιν, οὐδὲ σκότους δεομένη, καὶ τῶν τοίχων περιθεόντων, ὡς αἱ γυναῖκες λέγουσιν· ἀλλὰ καὶ στάδια ταύταις καὶ θέατρα ποιεῖται· καὶ τὸ μετὰ πολλῶν θεάσασθαί τι καὶ ἀκοῦσαι, ἐπιτερπέστερον ἐστι καὶ σεμνότερον, οὐκ ἀκρασίας δήπου καὶ ἡδυπαθείας, ἀλλ' ἐλευθέρου διατριβῆς καὶ ἀστείας μάρτυρας ἡμῶν ὅτι πλείστους λαμβανόντων.

III. Ταῦτα τοῦ Καλλιστράτου εἰπόντος [3], ὁ Λαμπρίας ὁρῶν ἔτι μᾶλλον ἐκείνους τοὺς τῶν ἀκροαμάτων χορηγοὺς

1 Citantur haec quoque in lib. de *solertia anim.*, ubi R. (magno conatu, judice Schneidero in fragm. Pindar. pag 82.) plenius ita ea legenda monet τὸν μεγακήτεος ἐκ πόντου πλαγιαύλων ἐκίνησεν ἐρατὸν μέλος, *quem e ponto magnos fluctus jactante provocat, exciet amabile carmen plagiaulorum.* Pro ἐκίνησ' Ald. & Bas. ἐκείνης; Turn. & V. ἐκείναις. Turn. etiam τῶν μὲν pro τὸν μὲν.

2 Secutus sum in his cum Kaltw. R. correctionem, cum vulgo legeretur τοὺς ὦπας αἴρουσι χαίροντες — συνδιαφέροντες. Etiam W. legendum monuit σκῶπας, & sequentia correxit cum Amiot. & Mez. Cf. Athen. IX. p. 391. Aelian. hist. anim. XV, 28.

3 Dedi sic e R. mente pro vulg. ἐπιόντος. W. idem e Mez. probavit.

ρηγὰς θρασυνομένας· Οὐ τοῦτ' (ἔφη) τὸ αἴτιον, ὦ παῖ Λέοντος, ἀλλά μοι δοκοῦσιν οὐκ ὀρθῶς οἱ παλαιοὶ παῖδα Λήθης τὸν Διόνυσον [1]. ἔδει γὰρ πατέρα προσαγορεύειν· ὑφ' οὗ καὶ σὺ νῦν [2] ἀμνημονεῖν ἔοικας, ὅτι τῶν περὶ τὰς ἡδονὰς ἁμαρτανομένων τὰ μὲν ἀκρασία, τὰ δ' ἄγνοια ποιεῖ καὶ παρόρασις. ὅπου μὲν γὰρ ἡ βλάβη πρόδηλός ἐστι, ταῦτ' ἀκρασίᾳ καταβιαζόμενοι τὸν λογισμὸν ἐξαμαρτάνουσιν· ὅσα δ' οὐκ εὐθὺς οὐδὲ παραχρῆμα τῆς ἀκολασίας τὸν μισθὸν ἐπιτίθησι, ταῦτα ὑπ' ἀγνοίας τοῦ βλάπτοντος αἱροῦνται καὶ πράττουσι. διὸ τοὺς μὲν περὶ ἐδωδὰς καὶ ἀφροδίσια καὶ πότους ἀστοχοῦντας, οἷς νόσοι τε πολλαὶ καὶ χρημάτων ὄλεθροι συνακολουθοῦσι, καὶ τὸ κακῶς ἀκούειν, ἀκρατεῖς προσαγορεύομεν· ὡς Θεοδέκτην ἐκεῖνον εἰπόντα· Χαῖρε, φίλον φῶς, ὀφθαλμιῶντα, τῆς ἐρωμένης ἐπιφανείσης· ἢ τὸν Ἀβδηρίτην Ἀνάξαρχον [3].

— ὅς ῥα καὶ εἰδὼς,
Ὥς φασιν, ἄθλιος [4] ἔσκε· φύσις δέ μιν ἔμπαλιν ἦγεν
Ἡδονοπλὴξ, τῇ [5] πλεῖστοι ὑποτρείουσι σοφιστῶν.

ὅσαι δὲ τῶν ἡδονῶν τὰς περὶ γαστέρα καὶ αἰδοῖα καὶ γεῦσιν καὶ ὄσφρησιν [6] ἀντιτεταγμένας αὐταῖς, ὅπως ἐχ-

1 H. Steph. infinitivum deesse notat post Διόνυσον, nisi ita legas: τὸν Διόνυσον προσαγορεύειν· ἔδει γὰρ πατέρα, aut hæc ipsa ἔδ. γ. π. parenthetice sumas. R. voluit παῖδα Λήθης καλεῖν τ. Δ. Bene monet W. nil excidisse, sed ellipticam compositionem esse videri.

2 Vulgo post νῦν fuit οὐκ. H. Steph. lectionem mutari voluit, nisi aliquid deesse dicas. R. οὐκ aut delendum censuit, aut cum ἐμοὶ mutandum. Delevi cum W. auctoritate Palat. & Mez.

3 Cf. Vol. IX. p. 405. nec non Vol. X. p. 163.

4 Ald. Bas. ὥς φασιν λέλιος ἔσκε; nec non deinde ἦκεν. R. susp. ὡς φύσιν, se natura pronum in vitia esse. Turn. & V. λάλος pro ἄθλιος.

5 H. Steph. τὴν πλεῖστοι reponendum censuit. Ita Turn. & V.

6 R. susp. ὄσφρησιν εὐλαβεῖς καὶ ἀντιτ.

οὐχ ἁλώσονται, καὶ προσέχοντας, ἐκπεριοδεύουσαι [1] περὶ τὰ ὄμματα καὶ τὰ ὦτα λανθάνουσιν ἐνῳκισμέναι [2] καὶ λοχῶσαι, τούτους [3] ἐκείνων οὐδὲν ἧττον ἐμπαθεῖς ὄντας, καὶ ἀκολάστους καὶ ἀκρατεῖς [4] ὁμοίως οὐ καλοῦμεν· οὐ γὰρ εἰδότες, ἀλλὰ δι' ἀπειρίαν ὑποφέρονται, καὶ νομίζουσι τῶν ἡδονῶν εἶναι κρείττονες, ἃ· ἐν [5] θεάτροις ἄσιτοι καὶ ἄποτοι διημερεύουσιν· ὥσπερ εἰ τῶν κεραμίων μέγα φρονοίη τὸ τῆς γαστρὸς αἰρόμενον [6], ἢ τοῦ πυθμένος, ἐκ δὲ τῶν ὤτων ῥᾳδίως μεταφερόμενον. ὅθεν Ἀρκεσίλαος οὐδὲν ἔφη διαφέρειν, τοῖς ὄπισθεν εἶναι κίναιδον, ἢ τοῖς ἔμπροσθεν. δεῖ δὲ καὶ τὴν ἐν ὄμμασι καὶ τὴν ἐν ὠσὶ γαργαλίζουσαν μαλακίαν καὶ ἡδυπάθειαν φοβεῖσθαι, καὶ μήτε πόλιν ἀνάλωτον νομίζειν, τὴν τὰς ἄλλας πύλας βαλανάγραις καὶ μοχλοῖς καὶ καταράκταις [7] ὀχυρὰς ἔχουσαν [8], ἂν διὰ μιᾶς



1 Ita cum W. dedi, jubentibus Anon. Xyl. Steph. R. pro vulg. ἐκπεριοδεῦσαι.

2 Baf. ἐνακισμέναι. Xyl. correxit.

3 Ita dedi e R. mente, pro vulg. τὰς. Turn. V. αὐτοὺς. Etiam W. legi vult τούτους.

4 R. posterius καὶ delendum censuit, ut sit καὶ ἀκολάστους, ἀκρατεῖς ὁμοίως — *hos, qui non minus obnoxii violentiae cupiditatum suarum & intemperantes sunt, quam illi superiores, non tamen pariter, atque illos, appellamus* ἀκρατεῖς. W. ita legi vult ὄντας, ἀκολάστους μὲν, ἀκρατεῖς δὲ ὁμοίως οὐ καλ. ipso Plutarcho duce in lib. de virt. mor. Vol. IX p. 403. & 405. sq.

5 Secutus sum W. ἐν dantem e Mez. Vulgo abest. R deinde voluit ἐνδιημερεύσωσι.

6 Post αἰρόμενον, aut πυθμένος, R. judice, deesse videtur ἔχον, ut sit μέγα φρονοίη τι, τὸ τῆς γαστρὸς αἰρόμενον ἔχον; nec non σταθερὸν aut ἐμβριθὲς, *stabile* vel *grave*, post πυθμένος. W. legendum censet μὴ αἰρόμενον cum Mez. & Xyl. vers. Vulgo αἰρόμενον, quod in R. & W. correctum legitur.

7 R. judice, scribendum καταῤῥάκταις.

8 Ita in R. legitur, quod dedit W. ex Baf. Xyl. Mez. Vulgo ἐχούσῃ.

οἱ πολέμιοι παρελθόντες ἔνδον εἰσίν· μήτε ἑαυτὸν ἀήττητον ὑφ' ἡδονῆς, εἰ μὴ κατὰ τὸ ἀφροδίσιον, ἀλλὰ κατὰ τὸ μουσεῖον ἑάλωκεν, ἢ τὸ θέατρον. ὁμοίως γὰρ ἐγκέκλικε [1], καὶ παρέδωκε ταῖς ἡδοναῖς ἄγειν καὶ φέρειν τὴν ψυχήν· αἱ δὲ [2] παντὸς ὀψοποιοῦ καὶ μυρεψοῦ δριμύτερα καὶ ποικιλώτερα φάρμακα τῶν μελῶν καὶ τῶν ῥυθμῶν καταχεόμεναι, τούτοις ἄγουσιν ἡμᾶς καὶ διαφθείρουσιν, αὐτῶν τρόπον τινὰ καταμαρτυροῦντας. τῶν δὲ γὰρ οὔτε τι μεμπτὸν, οὔτε μεταλλακτὸν [3] (ὡς Πίνδαρος ἔφη) τῶν ἐπὶ ταῖς τραπέζαις,

"Οσ' ἀγλαὰ χθὼν [4] πόντου τε ῥιπαὶ φέρουσιν

ἄρτι [5] παρακειμένων. ἀλλ' οὔτ' ὄψον οὐδὲν, οὔτε σιτίον, οὔθ' ὁ βέλτιστος οὑτοσὶ πινόμενος οἶνος ἐξήγαγεν ὑφ' ἡδονῆς φωνὴν, οἵαν [6] ἄρτι τὰ αὐλήματα καὶ τὰ κρούματα τὴν οἰκίαν, εἰ μὴ καὶ τὴν πόλιν ἅπασαν ἐμπέπλη-

1 Sic R. dandum monuit, dedique pro vulg. ἐκκέκλικε. Turn. V. Anon. ἐξέκλινε; etiam e Mez. notat ἐγκέκλικε W. utrumvis vulgato melius judicans.

2 W. mavult ψυχὴν, αἳ δὴ —

3 Vulgo οὔτε μεταλλάττων. Ald. Baf. οὐ τῶν μεταλλάττων. R. voluit μεταλλάττον, *exorbitans* a recta via & recepto inter homines more recedens — *horum* praesentium *nihil*, neque auditum, neque conspectum, *fuit improbabile, aut obsurdum, tum, cum adhuc coram exposita in mensa essent ea omnia* ---. W. notat, οὔτε μεταλλάττων abesse a Palat. addens: „οὔτε μεταλλακτὸν Amiot. μεταμελητὸν" in alterutra harum lectionum nomine codicis vel auctoris omisso. Schneider. in fragm. Pindar. p. 66. susp. aut μεταλλακτὸν, aut μεταλλακτέον. Dedi prius. W. locum vertit: *harum dapum, quae modo in mensis appositae erant, neque reprehendenda neque mutanda erat ulla* ---.

4 Ita Schneider. l. c. haec affert. Vulgo ὡς ἀγλαόχθων. R. legendum monuit ὅσα ἀγλαὰ χθὼν; Mez. ὧν ἀγλαὸς χθών. Turn. V. ὅσα.

5 Ald. Baf. ἄρτοι.

6 Sic cum W. reposui ex Ald. Baf. Xyl. Palat. Vatic. pro vulg. οἵων.

πέπληκε θορύβων [1] καὶ κρότων καὶ ἀλαλαγμῶν. διὸ δεῖ μάλιστα ταύτας εὐλαβεῖσθαι τὰς ἡδονάς· ἰσχυρόταται γάρ εἰσιν, ἅτε δὴ μή, καθάπερ αἱ περὶ γεῦσιν καὶ ἁφὴν καὶ ὄσφρησιν, εἰς τὸ ἄλογον καὶ φυσικὸν ἀποτελευτῶσαι τῆς ψυχῆς, ἀλλὰ τοῦ κρίνοντος ἅπτόμεναι καὶ τοῦ φρονοῦντος· ἔπειτα ταῖς μὲν ἄλλαις ἡδυπαθείαις κἂν ὁ λογισμὸς ἐλλίπῃ διαμαχόμενος, ἄλλα τῶν παθῶν ἔνια πολλάκις ἐμποδών ἐστι· καὶ γὰρ ἐν ἰχθύων ἀγορᾷ μικρολογία καθαιρεῖ [2] δάκτυλον ὀψοφάγου, καὶ πολυτελοῦς ἑταίρας ἀπέστρεψε φιλαργυρία φιλογυνίαν [3]. ὥσπερ ἀμέλει παρὰ τῷ Μενάνδρῳ [4] τῶν συμποτῶν ἕκαστος ἐπιβουλευόμενος ὑπὸ τοῦ πορνοβοσκοῦ σοβαράν τινα παιδίσκην ἐπάγοντος αὐτοῖς,

Κύψας καθ' ἑαυτὸν τῶν τραγημάτων ἔφλα.

χαλεπὸν γὰρ ὁ δανεισμὸς τῆς ἀκρασίας κόλασμα, καὶ τὸ λῦσαι βαλάντιον, οὐ πάνυ ῥᾴδιον. ταύταις δὲ ταῖς ἐλευθερίαις λεγομέναις περὶ ὦτα [5] καὶ ὄμματα φιλομούσοις καὶ φιλαύλοις μουσομανίαις προῖκα καὶ ἀμισθὶ τῶν ἡδονῶν πάρεστι [6] πολλαχόθεν ἀρύτεσθαι καὶ ἀπολαύειν,



1 R. post θορύβων deesse suspicatur aut μεστὰ, ut ad αὐλήματα & κρούματα redeat, aut μεστὴν, ut ad πόλιν & οἰκίαν.

2 Ita dedi e Salmas. & R. mente pro vulg. καθαίρει.

3 Secutus sum W. ita e Palat. dantem pro vulg. φιλονεικίαν. In Bas. fuit φιλονεικία, quod rectum putavit R. legens φιλαργυρία ἢ φιλονεικία. Ita quoque Xyl. vertit. Turn. V. φιλαργυρίαν καὶ φιλονεικίαν.

4 Vulgo Μενάνδρῳ. ἢ τῶν. Delevi ἢ simul cum praemisso puncto e R. mente. Consentit Xyl. versio. cf. Vol. VII. p. 398.

5 Vulgo abest περὶ. Dedi id, R. jubente, cum W. idem e Mez. addente. Turn. deinde & V. μουσομανεῖ pro μουσομανίαις.

6 Vulgo ἀμισθὶ. τῶν ἡδονῶν γάρ ἐστι. R. puncto deleto legendum censuit πάρεστι vel περίεστι — *huic autem liberali dicto aurium & oculorum in Musas furori, cantus & tibias consectanti, multae se praestant causae, per quas gratuito & nulla cum impensa voluptatem suam aelibet.* Dedi πάρεστι cum W. consentiente Mez.

λαύειν, ἐν ἀγῶσιν, ἐν θεάτροις, ἐν συμποσίοις, ἑτέρων χορηγϐντων. ὅθεν ἕτοιμον τὸ διαφθαρῆναι τοῖς μὴ βοηθϐντα καὶ παιδαγωγϐντα τὸν λογισμὸν ἔχϐσι.

IV. Γενομένης ϐν σιωπῆς· Τί ϐν (ἔφη [1]) ποιϐντα τὸν λογισμὸν, ἢ τί λέγοντα, βοηθεῖν ἀξιϐμεν; ϐ γὰρ ἀμφωτίδας γε περιθήσει τὰς Ξενοκράτϐς [2] ἡμῖν, ϐδ' ἀναςήσει μεταξὺ δειπνϐντας, ἐὰν αἰθώμεθα λύραν ἁρμοζομένην, ἢ κινϐμενον αὐλόν [3]. ϐ γὰρ ϐν (εἶπεν ὁ Λαμπρίας) ἀλλὰ ὁσάκις ἂν εἰς τὰς εἰρημένας [4] ἐμπέσωμεν, ἐπικαλεῖσθαι δεῖ τὰς Μϐσας, καὶ καταφεύγειν εἰς τὸν Ἑλικῶνα τὸν τῶν παλαιῶν. ἐρῶντι μὲν γὰρ πολυτελϐς ϐκ ἔςι τὴν Πηνελόπην προσαγαγεῖν, ϐδὲ συνοικίσαι [5] τὴν Πάνθειαν· ἡδόμενον δὲ μίμοις καὶ μέλεσι καὶ ᾠδαῖς κακοτέχνοις καὶ κακοζήλοις ἔξεςι μετάγειν ἐπὶ τὸν Εὐριπίδην, καὶ τὸν Πίνδαρον, καὶ τὸν Μένανδρον, ποτίμῳ λόγῳ ἁλμυρὰν ἀκοὴν (ὥς φησιν ὁ Πλάτων) ἀποκλυζόμενον. ὥσπερ γὰρ οἱ μάγοι τϐς δαιμονιζομένϐς κελεύϐσι τὰ Ἐφέσια γράμματα πρὸς αὑτϐς καταλέγειν καὶ ὀνομάζειν, ϐτως ἡμεῖς ἐν τοῖς τοιϐτοις τερετίσμασι καὶ σκιρτήμασι

Μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμενοι ῥιψαύχενι σὺν κλόνῳ [6],

τῶν

1 Amiot. Mez. addunt ὁ Καλλίςρατος.

2 Cf. de auditione, Vol. VII. p. 130. l. 1.

3 Turn. V. ἢ κινϐμένων αὐλῶν.

4 R. judice, aut in locum vocab. εἰρημένας sufficiendum est εἰρκτὰς, vel ἄρκυς, vel πεῖρας, aut illi servato addendum est horum unum aliquod. W. acute corrigit & vertit Σειρῆνας.

5 Ita R. dari voluit, & verterunt Amiot. & Xyl. dedique W. probante pro vulg. συνοικῆσαι. Turn. & V. τῇ Πανθείᾳ. De Penelope, Ulyssis uxore, satis constat. De Panthea cf. Xenoph. Cyrop. V, 1. VI, 1. 3. 4. VII, 3.

6 Cf. Vol. IV. p. 321. not. 3. nec non Sympos. I, 5. p. 36. h. v. not. 1. Ald. & Bas. μανίαι τ' ἀλαλαί τ' ὀρινόμενοι. Hinc Xyl. ὅπϐ aut ἵνα ante haec verba deesse suspicatur. E Turn. & V. haec afferuntur: μανίαις ἄλλαις ὀρινομέναις, vel μανίαις ἀλαλαῖς ἐν τῷ πρώτῳ, aut ἐν τῷ ποτῷ ὀρινομένων.

τῶν ἱερῶν καὶ σεμνῶν ἐκείνων γραμμάτων ἀναμιμνησκόμενοι, καὶ παραβάλλοντες [1] ᾠδὰς καὶ ποιήματα, καὶ λόγους κενοὺς [2], οὐκ ἐκπλαγησόμεθα παντάπασιν ὑπὸ τούτου, οὐδὲ πλαγίους παραδώσομεν ἑαυτοὺς ὥσπερ ὑπὸ ῥεύματος λείου φέρεσθαι.

## QUAESTIO VI.

### De umbris, quas vocant: et an ab alio vocatus ad alios ad coenam, ire debeat, ac quando, et ad quos [3]?

Τὸν Μενέλαον [4] Ὅμηρος πεποίηκε αὐτόματον ἐσιόντι τοὺς ἀριστεῖς τῷ Ἀγαμέμνονι παραγινόμενον·

Ἤδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο.

καὶ τὴν ἄγνοιαν οὐ περιεῖδεν αὐτοῦ καταφανῆ γενομένην, οὐδ' ἤλεγξε τῷ μὴ ἐλθεῖν, ὥσπερ οἱ φιλομεμφεῖς καὶ δύσκολοι ταῖς τοιαύταις τῶν φίλων παροράσεσι καὶ ἀγνοίαις [5] ἐπιτίθενται, τῷ ἀμελεῖσθαι μᾶλλον ἢ τῷ τιμᾶσθαι χαίροντες, ὅπως ἐγκαλεῖν ἔχωσιν. τὸ δὲ τῶν ἐπι-



1 R. aut loco παραβάλλοντες legi vult προβαλλόμενοι, *aversantes*, *repudiantes*, aut παραβάλλοντες πρὸς ᾠδάς.

2 W. legendum censet λόγους σεμνούς. Dedi deinde ἐκπλαγησόμεθα e Xyl. mente pro vulg. ἐκπλανησόμεθα. W. probat, & simul vult tolli ὑπὸ τούτου. Quae autem huic quaestioni vulgo annexa leguntur, τὸν Μενέλαον — — ἐγκαλεῖν ἔχωσιν, cum W. ad initium quaestionis proxime sequentis removi. Amiot. Ricard. & R. consentiunt. Xyl. de iisdem, huc non pertinentibus, monuit, ea autem ad finem quaestionis transtulit. Eum sequitur Kaltw.

3 Personae colloquii sunt Plutarchus, Florus, Caesernius. In graeco quaestionis titulo fuit vulgo περὶ τίνας. Xyl. legendum monuit πρός. R. voluit πρὸς vel παρά. Dedi hoc in Ind. quaestionum Volumini huic praemisso cum W. idem e Palat. sumente. Cf. Palmer. Exerc. p. 224.

4 Hom. Iliad. II. 409.

5 *Delictis per incuriam*, *non voluntariis*. Dedi sic e R mente pro vulg. ἀνοίαις.

ἐπικλήτων ἔθος, ὃς νῦν Σκιὰς καλοῦσιν, οὐ κεκλημένους αὐτοὺς, ἀλλ᾽ ὑπὸ τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον ἀγομένους, ἐζητεῖτο, πόθεν ἔσχε τὴν ἀρχήν· ἐδόκει δ᾽ ἀπὸ Σωκράτους, Ἀριστόδημον ἀναπείσαντος οὐ κεκλημένον εἰς Ἀγάθωνος ἰέναι σὺν αὐτῷ, καὶ παθόντα τι γελοῖον· ἔλαθε γὰρ κατὰ τὴν ὁδὸν ὑπολειφθεὶς ὁ Σωκράτης, ὁ δὲ προεισῆλθεν, ἀτεχνῶς σκιὰ προβαδίζουσα σώματος ἐξόπισθε τὸ φῶς ἔχοντος [1]. ὕστερον μέντοι περὶ τὰς τῶν ξένων ὑποδοχὰς, μάλιστα τῶν ἡγεμονικῶν, ἀναγκαῖον ἐγίνετο τοῖς ἀγνοοῦσι τοὺς ἑπομένους καὶ τιμωμένους, ἐπὶ τῷ ξένῳ ποιεῖσθαι τὴν κλῆσιν, ἀριθμὸν δὲ ὁρίζειν, ὅπως μὴ πάθωσιν, ὃ παθεῖν συνέπεσε τῷ δεξαμένῳ τὸν βασιλέα Φίλιππον [2] ἐπὶ τῆς χώρας· ἧκε γὰρ ἄγων πολλοὺς, τὸ δὲ δεῖπνον οὐ πολλοῖς ἦν παρεσκευασμένον· ἰδὼν οὖν θορυβούμενον τὸν ξένον, περιέπεμπε πρὸς τοὺς φίλους ἀτρέμα, χώραν πλακοῦντι καταλιπεῖν κελεύων· οἱ δὲ προσδοκῶντες ὑπεφείδοντο τῶν παρακειμένων, καὶ πᾶσιν οὕτως ἐξήρκεσε τὸ δεῖπνον.

II. Ἐμοῦ δὲ ταῦτα πρὸς τοὺς παρόντας ἀδολεσχοῦντος, ἔδοξε Φλώρῳ καὶ σπουδάσαι τι περὶ τῶν σκιῶν λεγομένων, διαπορήσαντας, εἰ προσήκει τοῖς καλουμένοις [3] οὕτω βαδίζειν καὶ συνακολουθεῖν. ὁ μὲν οὖν γαμβρὸς αὐτοῦ, Καισέρνιος [4], ὅλως ἀπεδοκίμαζε τὸ πρᾶγμα. μάλιστα μὲν γὰρ τῷ Ἡσιόδῳ πειθομένους ἔφη χρῆναι·

Τὸν φιλέοντ᾽ ἐπὶ δαῖτα καλεῖν·

εἰ δὲ μὴ, γνωρίμους αὐτῶν καὶ ἐπιτηδείους παρακαλεῖν ἐπὶ κοινωνίαν σπονδῆς καὶ τραπέζης, καὶ λόγων ἐν οἴνῳ γινομένων καὶ φιλοφροσύνης. νῦν δὲ, ὥσπερ (εἶπεν [5]) εἰ

1 Plat. Sympos. Vol. XII. ed. Bip. p. 169.

2 Cf. Vol. VIII. p. 97.

3 R legi vult τοῖς οὐ vel μὴ κεκλημένοις.

4 R. adnotat, Καισέρνιος nomen Romanum non esse, & susp. leg. Καισέννιος.

5 Xyl. εἶπεν parenthetice sumendum monuit, aut prorsus esse otiosum.

οἱ τὰ πλοῖα ναυλῦντες, ὅ τι ἂν φέρῃ τις, ἐμβαλλεσθαι παρέχυσιν [1], ὅτως ἡμεῖς τὰ συμπόσια παραδόντες ἑτέροις πληρῦν ἀφίεμεν ἐκ τῶν προστυχόντων, ἄν τε χαρίεντες ὦσιν, ἄν τε φαῦλοι. θαυμάσαιμι δ' ἄν, εἰ χαρίεις ἀνὴρ ἐπίκλητος ἀφίκοιτο, μᾶλλον δ' ἄκλητος, ὅν γε πολλάκις ὐδὲ γινώσκει τοπαράπαν ὁ δειπνίζων· εἰ δὲ γινώσκων καὶ χρώμενος μὴ κέκληκεν, ἔτι γε μᾶλλον αἰχύνῃ βαδίζειν πρὸς τῦτον, ὥσπερ ἐξελέγχοντα μετέχειν τῶν ἐκείνυ, τρόπον τινὰ βίᾳ καὶ ἄκοντος. ἔτι καὶ [2] προτερεῖν, ἢ ἀπολείπεσθαι τῦ κεκληκότος πρὸς ἕτερον [3] ἔχει τινὰ δυσωπίαν, καὶ ὐκ ἀςεῖόν ἐςι, μαρτύρων δεόμενον [4] πρὸς τὺς ὑποδεχομένυς βαδίζειν, ὡς ὐ κλητὸς [5], ἀλλὰ σκιὰ τῦ δεῖνος ἐπὶ τὸ δεῖπνον ἥκει· καὶ πάλιν τὸ παρέπεσθαι, καὶ παραφυλάττειν ἄλειμμα καὶ λυτρὸν ἑτέρυ καὶ ὥραν βραδύνοντος ἢ ταχύνοντος, ἀνελεύθερον εὖ μάλα καὶ Γναθώνειον, εἰ δὴ Γνάθων γέγονε δεινότατος ἄνθρωπος [6] τἀλλότρια δειπνεῖν. εἴγε μὴν ὐκ ἔςιν ὅτε μᾶλλον ἀνθρώποις ἐφίησιν [7] εἰπεῖν

Γλῶσσα, μέτριον εἴ τι κομπάσαι θέλεις,
Ἐξεῖπε, —

καὶ παῤῥησία πλείςη μετὰ παιδιᾶς ἀναμέμικται τοῖς λεγομένοις ἐν οἴνῳ καὶ πραττομένοις· ἐνταῦθα δὴ πῶς ἄν τις ἑαυτὸν μεταχειρίςαιτο, μὴ γνήσιος ὤν, μηδ' αὐτό-



1 Ald. Baf. περιέχυσιν. Xyl. correxit.

2 R. fufp. ἔτι δὲ καὶ τὸ προτ.

3 Ita R. e Baf. reponendum monuit, dedique cum W. confentientibus Ald. Xyl. E. H. Venet. Palat. Vatic. pro vulg. πρὸς ἑτέρων, quod & Anon. habet.

4 Ald. Baf. δεομένων. Xyl. correxit.

5 R. mavult ὡς ὐκ αὐτόκλητος, *non fponte fua, a femetipfo vocatus.*

6 R. mavult ἀνθρώπων, & deinde ἔτι γε μήν.

7 Mez. ὑφίεται; forte rectius, W. judice, ἐφιᾶσιν. Verfum poëtae diftinxit idem fecundum Mez. & Amlot. initium ejus fuiffe ὦ γλῶσσα fufpicans. R. voluit θέλει, καὶ ἐξεῖπε.

αὐτόκλητος, ἀλλὰ τρόπον τινὰ νόθος καὶ παρεγγεγραμμένος εἰς τὸ συμπόσιον; καὶ γὰρ τὸ χρῆσθαι καὶ τὸ μὴ χρῆσθαι παῤῥησίᾳ πρὸς τὲς παρόντας εὐσυκοφάντητον. ὂ μικρὸν δὲ κακὸν ὀδὲ ἡ τῶν ὀνομάτων εὐχέρεια καὶ βωμολοχία τοῖς μὴ δυχεραίνεσιν, ἀλλ' ὑπομένεσι, σκιὰς καλεῖσθαι καὶ ὑπακέειν [1]. προσεθίζει γὰρ εἰς τὰ ἔργα τῷ αἰσχρῷ, τὸ ῥαδίως ὑπὸ τῶν ῥημάτων ἄγεσθαι [2]. διὸ καλῶν μὲν ἑτέρες, ἔδωκα ποτὲ σκιὰς [3]. ἰσχυρὰ γὰρ ἡ τῆς πόλεως συνήθεια καὶ δυσπαραίτητος· αὐτὸς δὲ κληθεὶς ὑφ' ἑτέρε πρὸς ἕτερον, ἄχρι γε νῦν ἀντέχω μὴ ὑπακῦσαι.

III. Γενομένης δὲ μετὰ τὲς λόγες τετες ἡσυχίας, ὁ Φλῶρος· Τὸτο (ἔφη) τὸ δεύτερον ἔχει μᾶλλον ἀπορίαν· τὸ δὲ καλεῖν ὅτως ἀναγκαῖόν ἐστιν ἐν ταῖς τῶν ξένων ὑποδοχαῖς, ὥσπερ εἴρηται πρότερον· ὅτε γὰρ ἄνευ φίλων [4] ἐστὶ δὴ ἐπιεικὲς, ὅτε γινώσκειν ὃς ἔχων ἥκει ῥᾴδιον. κἀγὼ πρὸς αὐτόν· Ὅρα τοίνυν, (ἔφην) μὴ οἱ καλεῖν ὅτω δεδωκότες τοῖς ἐστιῶσι, καὶ τὸ πείθεσθαι τοῖς καλεμένοις, καὶ βαδίζειν δεδώκασιν· ὅτε γὰρ διδόναι καλὸν, ὅτ' αἰτεῖν, ὃ διδόναι μὴ καθῆκεν [5], ὅτε ὅλως παρακαλεῖν, ἃ μὴ δεῖ παρακαλεῖσθαι, μηδὲ ὁμολογεῖν, μηδὲ πράττειν. τὰ μὲν ὅν πρὸς ἡγεμόνας, ἢ ξένες, ὄκ ἔχει κλῆσιν, ὀδὲ αἵρεσιν, ἀλλὰ δεῖ δέχεσθαι τὲς μετ' αὐτῶν παραγινομένες. ἄλλως δὲ φίλον ἑστιῶντα, φιλικώτερον μέν ἐστι τὸ καλεῖν αὐτὸν, ὡς ὄκ ἀγνο-

1 R. susp. ἀκέειν.

2 R. susp. τὸ ῥαδίως τῶν ῥημάτων ἀνίχεσθαι, *nam facile ferre turpes appellationes adsuefacit tolerandae e factis improbis ignominiae*, vel τὸ ῥαδίως ὑπὸ τῶν ῥημάτων ὀκ ἄγχεσθαι, *facile non angi ob nomina probrosa.*

3 R. mavult τόπον ἔδωκα σκιαῖς.

4 E superioribus tacite καλῶν repetendum monet R. quod tamen praestaret additum.

5 W. judice, deesse quid videtur. Mez. supplet ὅτε γὰρ διδόναι καλὸν ὃ αἰτεῖν, ὅτε αἰτεῖν ὃ διδόναι μὴ καθῆκεν.

ἀγνοοῦντα τοὺς γνωρίμους αὐτοῦ καὶ συνήθεις ἢ οἰκείους· μείζων γὰρ ἡ τιμὴ καὶ ἡ χάρις, ὡς μὴ λανθάνοντος, ὅτι τούτους ἀσπάζεται μάλιστα, καὶ τούτοις ἥδιστα σύνεστι, καὶ χαίρει τιμωμένοις ὁμοίως καὶ παρακαλουμένοις [1]. οὐ μὴν ἀλλὰ ἔστιν ὅτε ποιητέον ἐπ' αὐτῷ, καθάπερ [2] οἱ θεῷ θύοντες ἅμα συμβώμοις καὶ συννάοις [3] κοινῶς συνεπεύχονται, καὶ [4] καθ' ἕκαστον ἐκείνων μὴ ὀνομάζοντες. οὔτε γὰρ ὄψον, οὔτ' οἶνος, οὔτε μύρον, οὕτως ἡδέως [5] διατίθησιν, ὡς σύνδειπνος εὔνους καὶ προσηνής. ἀλλὰ τὸ μὲν ὄψοις καὶ πέμμασιν [6], οἷς ὁ μέλλων ἑστιᾶσθαι μάλιστα χαίρει, καὶ περὶ οἴνων διαφορᾶς καὶ μύρων [7] ἐρωτᾷν καὶ διαπυνθάνεσθαι, φορτικὸν κομιδῇ καὶ νεόπλουτον· ᾧ δὲ πολλοὶ φίλοι καὶ οἰκεῖοι καὶ συνήθεις εἰσὶν, αὐτὸν παρακαλεῖν, ἐκείνων, οἷς ἂν ἥδιστα συγγίνοιτο, καὶ μεθ' ὧν εὐφραίνεται παρόντων, μάλιστα τούτους ἄγειν, οὐκ ἀηδὲς, οὐδ' ἄτοπον. οὔτε γὰρ τὸ συμπλεῖν, οὔτε τὸ συνοικεῖν, οὔτε τὸ συνδικάζειν, μεθ' ὧν οὐ βούλεταί τις, οὕτως ἀηδὲς, ὡς τὸ συνδειπνεῖν, καὶ τοὐναντίον ἡδύ. κοινωνία [8] γάρ ἐστι καὶ σπουδῆς καὶ παιδιᾶς καὶ λόγων καὶ πράξεων τὸ συμπόσιον. ὅθεν οὐ τοὺς τυχόντας, ἀλλὰ

1 R. mavult simplex καλουμένοις, *ad epulas invitatis.*

2 Ante καθάπερ vulgo fuit καί. R. jubente, id delevi. Probat id W. cum Amiot. & Mez. addens, ita sanum fore locum, nec opus cum Xyl. lacunam facere.

3 Ald. & Bas. σὺν βωμοῖς καὶ σὺν ναοῖς. Xyl. correxit. H. Steph. consentit.

4 Xyl. monente, καὶ vel scriptum est, vel accipi debet pro καίπερ. R. καὶ hic loci esse pro καί τοι notat.

5 Dedi ἡδέως, R. jubente, & W. probante. Vulgo ἥδεσθαι.

6 R. monet, pendere hos dativos. Quaerit, num desit infin. ἐνδιατρίβειν vel ἐνοχλεῖν, an potius sublato commate pro οἷς legendum οἵοις. Posterius praefert. Turn. V. dant ὄψα καὶ πέμματα.

7 R. susp. καὶ περὶ τῆς αὐτοῦ πρὸς οἴνους διαφορᾶς καὶ μύρα, & *quale sit ejus circa vini varia genera palatum, & quale de unguentis judicium.* Ald. pro καὶ περὶ dat καίπερ.

8 Ald. Bas. κοινωνίας.

ἀλλὰ τὰς προσφιλεῖς εἶναι δεῖ καὶ συνήθεις ἀλλήλοις, ὡς [1] ἡδέως συνεσομένας. ὄψα μὲν γὰρ οἱ μάγειροι σκευάζουσιν ἐκ χυμῶν διαφόρων, αὐστηρὰ καὶ λιπαρὰ, καὶ γλυκέα καὶ δριμέα συγκεραννύντες· σύνδειπνον δὲ χρηστὸν οὐκ ἂν γένοιτο καὶ κεχαρισμένον, ἀνθρώπων μὴ ὁμοφύλων, μηδὲ ὁμοιοπαθῶν, εἰς τὸ αὐτὸ συμφθαρέντων. ἐπεὶ δὲ, ὥσπερ οἱ Περιπατητικοὶ λέγουσι, τὸ μὲν πρῶτον φύσει κινοῦν, μὴ κινούμενον δὲ [2] εἶναι, τὸ δ' ἔσχατον, κινούμενον, μηδὲ ἓν δὲ κινοῦν· μεταξὺ δ' ἀμφοῖν, τὸ καὶ κινοῦν ἕτερα, καὶ κινούμενον ὑφ' ἑτέρων· οὕτως (ἔφην) ὁ λόγος [3], τριῶν ὄντων, ὁ μὲν καλῶν μόνον; ὁ δὲ καλούμενος, ὁ δὲ καὶ καλῶν καὶ καλούμενός ἐστιν: εἴρηται μὲν περὶ τοῦ καλοῦντος, οὐ χεῖρον δ' ἐστὶ καὶ περὶ τῶν ἄλλων, (ἔφην) ἅ γέ μοι δοκεῖ, διελθεῖν. ὁ μὲν οὖν καλούμενος ὑφ' ἑτέρου, καὶ καλῶν ἑτέρους, πρῶτον (οἶμαι) τοῦ πλήθους φείδεσθαι δίκαιός ἐστι, μὴ καθάπερ ἐκ πολεμίας ὁμοῦ πᾶσι τοῖς περὶ αὐτὸν ἐπισιτιζόμενος, μηδὲ ὥσπερ οἱ χώρας καταλαμβάνοντες, ἐν τῷ περιττεύειν ἀεὶ [4] τοῖς ἰδίοις φίλοις, τοὺς τοῦ καλέσαντος ἐκκρούων καὶ ἀποκρούων ἅπαντας· ὥστε πάσχειν τοὺς δειπνίζοντας, ἃ πάσχουσιν οἱ τῇ Ἑκάτῃ καὶ τοῖς ἀποτροπαίοις ἐκφέροντες τὰ δεῖπνα, μὴ γευομένους αὐτοὺς, μηδὲ τοὺς οἴκοι, πλὴν [5] καπνοῦ καὶ θορύβου μετέχοντας. ἄλλως γὰρ ἡμῖν προσπαίζουσιν οἱ λέγοντες·

Δελφοῖσι θύσας αὐτὸς ὀψωνεῖ [6] κρέας·

ἀλη-

1 R. mavult τὰς pro ὡς: quo assumto delendum mihi videtur praecedens τάς. W. quaerit, an συνεῖναι δεῖ, aut aliud quid lateat?

2 R. legi vult δεῖ.

3 W. cum Mez. susp. οὕτως ἡμῖν ἀναλόγως.. R. deinde mavult ὧν ὁ μὲν κ. μ.

4 R. judice, ἀεὶ videtur redundare.

5 R. susp. μηδὲ τοὺς οἴκοι, μηδ' ἄλλου μηδενὸς, πλὴν καπνοῦ —.

6 R mavult ὀψώνει in Imperativo -- *sacrificio Delphis a te oblato, ipse tibi aere tuo carnes compara.* Alias carnibus coctis

ἀληθῶς δὲ τοῦτο συμβαίνει τοῖς [1] ξένους ἀγνώμονας ἢ φίλους δεχομένοις, μετὰ σκιῶν πολλῶν, ὥσπερ Ἁρπυιῶν, διαφοροῦντας τὰ δεῖπνα, καὶ προνομεύοντας. ἔπειτα δεῖ μὴ [2] μεθ' ὧν ἔτυχε βαδίζειν πρὸς ἑτέρους ἐπὶ δεῖπνον, ἀλλὰ μάλιστα μὲν καλεῖν τοὺς τοῦ δειπνίζοντος οἰκείους καὶ συνήθεις, πρὸς αὐτὸν ἐκεῖνον ἁμιλλώμενον, καὶ προκαταλαμβάνοντα ταῖς κλήσεσιν. εἰ δὲ μή, τῶν ἰδίων φίλων οὓς ἂν καὶ ἤθελεν αὐτὸς ἑλέσθαι ὁ δειπνίζων, ἐπιεικὴς ὢν ἐπιεικεῖς, καὶ φιλόλογος φιλολόγους ὄντας, ἢ δυνατοὺς δυνάμενος, πάλαι ζητῶν [3] ἀμωσγέπως αὐτοῖς ἐν προσηγορίᾳ καὶ κοινωνίᾳ γενέσθαι. τὸ γὰρ οὕτως ἔχοντι παραδοῦναι καὶ παρασχεῖν ὁμιλίας ἀρχὴν καὶ φιλοφροσύνης, εὔστοχον ἐπιεικῶς καὶ ἀστεῖον· ὁ δὲ ἀσυμφύλους καὶ ἀσυναρμόστους ἐπάγων, οἷον νηπτικῷ πολυπότας, καὶ λιτῷ περὶ δίαιταν ἀκολάστους [4] καὶ πολυτελεῖς, ἢ νέῳ πάλιν ποτικῷ καὶ φιλοπαίγμονι πρεσβύτας σκυθρωποὺς ἢ βαρὺ φθεγγομένους [5] ἐκ πώγωνος σοφιστάς, ἄκαιρός ἐστιν ἀηδίᾳ [6] φιλοφροσύνην ἀμειβόμενος. δεῖ

coctis abundabant, qui sacrificassent. At qui Delphis victimam mactabat, ille nihil ejus ferebat.

1 Ald. τοὺς — δεχομένους.

2 Vulgo ἔπειτα δ' εἰ μή. Bas. Xyl. ἔπειτα δὲ μή. R. monet, hoc rectum esse posse, cum δεῖ saepius omittatur: posse autem quoque utriusque editionis lectionem sic conciliari: ἔπειτα δὲ δεῖ μὴ μ. Dedi δεῖ cum W. e Turn. V. E. Mez.

3 Vulgo δυνάμενος πάλαι, καὶ ζητῶν. R. susp. δυνάμενος πάλαι καὶ αὐτός, ζητῶν δ' ἀμ. W. judicium sequi non dubitavi, delendo καί, & locum commatis transferendo post δυνάμενος.

4 Ante hanc vocem vulgo fuit καί. Id deleri voluit R. aut addi φειδωλῷ vel μικρολόγῳ. Prius observavi cum W., auctoritatem Xyl. sequente.

5 Comma, quod vulgo post h. v. extitit, sustuli e R. mente.

6 Vulgo ἐστι τῇ ἀηδίᾳ. Ald. F. H. Anon. ἐστιν ἡ ἀηδία, orto η ex ν solenni errore. Hinc Bas. & Schott. vulgatam effinxerunt. Delevi τῇ, R. jubente, cum W. sequente Palat. & Vatic.

δεῖ γὰρ οὐχ ἧττον ἡδὺν εἶναι τῷ δειπνίζοντι τὸν κεκλημένον, ἢ τῷ κεκλημένῳ τὸν ὑποδεχόμενον· ἔσται δὲ ἡδὺς, ἐὰν μὴ μόνον ἑαυτὸν, ἀλλὰ καὶ τοὺς σὺν αὐτῷ καὶ δι' αὐτὸν ἥκοντας, ἐπιδεξίους παρέχῃ καὶ προσηνεῖς. ὅ γε μὴν λοιπὸς ἔτι τῶν τριῶν οὗτος ὁ καλούμενος ὑφ' ἑτέρου πρὸς ἕτερον, τὸ μὲν τῆς σκιᾶς ἀναινόμενος ὄνομα καὶ δυσχεραίνων, ἀληθῶς σκιὰν δόξει φοβεῖσθαι, δεῖται δὲ πλείστης εὐλαβείας. οὔτε γὰρ τοῖς τυχοῦσιν ἀκολουθεῖν ἑτοίμως καλὸν, οὔτε ὅπως ἔτυχεν· ἀλλὰ δεῖ σκοπεῖν πρῶτον, τίς ὁ καλῶν ἐστιν. εἰ μὲν γὰρ [1] οὐ σφόδρα συνήθης, ἀλλὰ τῶν πλουσίων τις ἢ σατραπικῶν, ὡς ἐπὶ σκηνῆς δορυφορήματος λαμπροῦ δεόμενος, ἢ πάνυ χαρίζεσθαι τῇ κλήσει πεπεισμένος καὶ τιμᾶν [2] ἐπάγεται, παραιτητέος εὐθύς. εἰ δὲ φίλος καὶ συνήθης, οὐκ εὐθὺς ὑπακουστέον· ἀλλ' ἐὰν δοκῇ δεῖσθαί τινος ἀναγκαίας ὁμιλίας, καὶ κοινωνίας καιρὸν ἄλλον οὐκ ἐχούσης, ἢ διὰ χρόνου ποθὲν ἀφιγμένος, ἢ μέλλων ἀπαίρειν, φανερὸς ᾖ δι' εὔνοιαν [3] ἐπιθυμῶν καὶ ποθῶν συμπεριενεχθῆναι, καὶ μήτε πολλοὺς, μήτ' ἀλλοτρίους, ἀλλ' αὐτὸν ἢ μετ' ὀλίγων ἑταίρων ἐπαγόμενος, ἢ μετὰ ταῦτα πάντα πραγματευόμενος ἀρχήν τινα συνηθείας καὶ φιλίας δι' αὐτοῦ γενέσθαι τῷ καλουμένῳ πρὸς τὸν καλοῦντα χρηστὸν ὄντα καὶ φιλίας ἄξιον. ἐπεὶ τούς γε μοχθηροὺς, ὅσῳ μᾶλλον ἐπιλαμβάνονται καὶ συμπλέκονται, καθάπερ βάτους, καθαιρετέον [4] καὶ ὑπερβατέον ἐστί· κἂν ἐπιεικεῖς οἱ ἄγοντες ὦσι, πρὸς ἐπιεικῆ δὲ μὴ ἄγωσιν, οὐ δεῖ συνακολουθεῖν,

1 Abest γὰρ a Baſ. Pro οὐ σφ. Ald. ὁ σφ. Eadem paulo ante καλῶν pro καλόν.

2 Vulgo πεπεισμένος, τιμᾶν. R. καὶ inferendum monuit. Id dedi cum W. Conſentit Mez. Ante παραιτητέος Turn. εἰ; V. ἀ.

3 Vulgo ἀπαίρειν φανερὸς, ᾖ δι' εὐν. R. corrigendum monuit, ut dedi cum W. conſentientibus Baſ. Xyl. Amiot.

4 Vulgo καὶ ἀναιρεῖν. Haec corrigenda cenſui e W. mente. R. ſuſp. ἀναιρετέον, aut βάτους καὶ ἀκάνθας ἀναιρετέον.

λεθεῖν, ὐδὲ ὑπομένειν, ὥσπερ διὰ μέλιτος Φάρμακον λαμβάνοντας [1], μοχθηρὸν διὰ χρηςὲ Φίλον. ἄτοπον δὲ καὶ τὸ πρὸς ἀγνῶτα κομιδῇ καὶ ἀσυνήθη βαδίζειν, ἂν μή τις ᾖ διαφέρων ἀρετῇ, (καθάπερ εἴρηται) καὶ τὖτο Φιλίας ποιησόμενος ἀρχὴν, καὶ ἀγαπήσων [2] τὸ ῥᾳδίως καὶ ἀφελῶς ἀφικέσθαι σὺν ἑτέρῳ πρὸς αὐτόν. καὶ μὴν τῶν συνήθων πρὸς τὖτες μάλιςα βαδιςέον ὑφ' ἑτέρε καλέμενον, οἷς ἐφίεται [3] μεθ' ἑτέρων καὶ αὐτοῖς βαδίζειν πρὸς ἡμᾶς. Φιλίππῳ μὲν γὰρ ἐδόκει, τῷ γελωτοποιῷ, τὸ αὐτόκλητον ἐπὶ δεῖπνον ἐλθεῖν, γελοιότερον εἶναι τὖ κεκλημένον [4]. ἀγαθοῖς δὲ καὶ Φίλοις ἀνδράσι παρὰ Φίλες καὶ ἀγαθὲς σεμνότερόν ἐςι καὶ ἥδιον, ἂν μὴ καλέσασι [5], μηδὲ προσδοκῶσιν, ἐν καιρῷ παραγίνονται, μετὰ Φίλων ἑτέρων, εὐφραίνοντες ἅμα τὲς [6] δεχομένες, καὶ τιμῶντες τὲς ἀγαγόντας. ἥκιςα δὲ πρὸς ἡγεμόνας, ἢ πλεσίες, ἢ δυνάςας, μὴ καλεμένες ὑπ' αὐτῶν, ἀλλὰ ὑφ' ἑτέρων, πρέπει βαδίζειν, ἀναιδείας καὶ ἀπειροκαλίας καὶ Φιλοτιμίας ἀκαίρε δόξαν ἐκ ἄλογον Φυλαττομένες.

QUAE-

1 Secutus sum W. Ita e Xyl. & Mez. dantem pro vulg. λαμβάνοντες. Cum Steph. & Frft. post ὑπομένειν punctum exhibeant, delendum id monuit R. addens: „nam λαμβάνοντα (ita enim legendum) cohaeret cum ὑπομένειν — *non audere accipere malum a bono sibi conciliatum, ut toxicum in melle.* Participium λαμβάνοντα idem valet, atque λαμβάνειν Infinit."

2 Vulgo ἀγάπης' ὢν τ. ῥ. Ea R. corrigenda monuit, ut dedi. W. idem sola sententiae auctoritate recepit. Bas. & Xyl. ὢν deleverant.

3 Vulgo ὑφίεται καὶ μ. ἑ. Correxi e R. mente. W. quoque probat ἐφίεται.

4 Vulgo τὲ κεκλημένε. Correxi e R. mente, W. probata.

5 Ita R. legendum monuit, dedique e Bas. & Turn. cum W. accedentibus Xyl. & Mez. Vulgo καλέσωσι.

6 Pro τὲς dant καὶ Ald. & Bas.

## QUAESTIO VII.

### An tibicinae ſint adhibendae convivio [1]?

Περὶ ἀκροαμάτων ἐν Χαιρωνείᾳ λόγοι παρὰ πότον ἐγένοντο, Διογενιανοῦ τοῦ Περγαμηνοῦ παρόντος, καὶ πράγματα εἴχομεν ἀμυνόμενοι βαθυπώγωνα σοφιστὴν ἀπὸ τῆς Στοᾶς, ὃς ἐπήγαγε τὸν Πλάτωνα κατηγοροῦντα τῶν αὐλητρίσι χρωμένων παρ' οἶνον, ἀλλήλοις δὲ συγγίνεσθαι διὰ λόγου μὴ δυναμένων. καίτοι παρὼν ἀπὸ τῆς αὐτῆς παλαίστρας Φίλιππος, ὁ Προυσιεὺς, ἐᾶν ἐκέλευσε τοὺς παρ' Ἀγάθωνι δαιτυμόνας ἐκείνους [2] παντὸς αὐλοῦ καὶ πηκτίδων ἐπιτερπέστερα φθεγγομένους· οὐ γὰρ αὐλητρίδα, παρόντων ἐκείνων, ἐκπεσεῖν, θαυμαστὸν ἦν, ἀλλὰ εἰ μὴ καὶ πότου καὶ σίτου λήθη κατελάμβανεν ὑφ' ἡδονῆς καὶ κηλήσεως τὸ συμπόσιον. καίτοι Ξενοφῶν οὐκ ᾐσχύνθη, Σωκράτους καὶ Ἀντισθένους καὶ ἄλλων παρόντων τοιούτων, τὸν γελωτοποιὸν φέρων Φίλιππον, ὥσπερ Ὅμηρος τὸ κρόμυον ποτῷ ὄψον [3], ὑποδεῖξαι τοῖς ἀνδράσι. Πλάτων δὲ τόν τ' Ἀριστοφάνους λόγον περὶ τοῦ ἔρωτος, ὡς κωμῳδίαν, ἐμβέβληκεν εἰς τὸ συμπόσιον, καὶ τελευτῶν ἔξωθεν ἀναπετάσας τὴν αὔλειον, ἐπάγει δρᾶμα τῶν ποικιλωτάτων, μεθύοντα καὶ κώμῳ χρώμενον ἐστεφανωμένον Ἀλκιβιάδην· εἶτα οἱ πρὸς Σωκράτην διαπληκτισμοὶ περὶ Ἀγάθωνος καὶ Σωκράτους ἐγκώμιον, ὦ φίλαι Χάριτες, ἆρά γε εἰπεῖν ὅσιόν ἐστιν [4], ὅτι, τοῦ Ἀπόλλωνος ἥκοντος εἰς τὸ

1 Perſonae colloquii ſunt Diogenianus, Sophiſta, Philippus.

2 Platon. Sympos. p. 124. in ſeqq. autem locis p. 200. & 250. ſq. Vol. X. ed. Bip.

3 Hom. Iliad. XI, 629. Mavult deinde W. ἐπιμῖξαι ut probabilius, licet vulgatum haud plane ineptum judicet.

4 Vulgo Χάριτες. Ἆρά γε (εἶπεν) ὅσιόν ἐστιν. R. haec ita corrigenda cenſuit, ut nunc leguntur — *liceatne ſalva deorum reverentia affirmare, illos viros ſupplices rogaturos deum, ut inhiberet modulationem ſuam.* W. ex eodem & Amiot. idem ſumſit.

τὸ συμπόσιον ἡρμοσμένην τὴν λύραν ἔχοντος, ἱκέτευσαν ἂν [1] οἱ παρόντες ἐπισχεῖν τὸν θεὸν, ἕως ὁ λόγος συμπερανθῇ καὶ λάβῃ τέλος; εἶτα ἐκεῖνοι μὲν οἱ ἄνδρες (ἔφη) τοσαύτην ἐν τῷ διαλέγεσθαι χάριν ἔχοντες, ὅμως ἐχρῶντο τοῖς ἐπεισοδίοις, καὶ διεποίκιλλον τὰ συμπόσια παιδιαῖς τοιαύταις· ἡμεῖς δὲ μεμιγμένοι πολιτικοῖς καὶ ἀγοραίοις ἀνδράσι, πολλοῖς δὲ (ὅταν οὕτω τύχωμεν) ἰδιώταις καὶ ὑπαγροικοτέροις, ἐκβάλωμεν τὴν τοιαύτην χάριν καὶ διατριβὴν ἐκ τῶν συμποσίων, ἢ ἀπίωμεν, ὥσπερ τὰς Σειρῆνας ἐπιούσας φεύγοντες; ἀλλὰ Κλειτόμαχος μὲν, ὁ ἀθλητὴς, ἐξανιστάμενος καὶ ἀπιὼν, εἴ τις ἐμβάλοι λόγον ἐρωτικὸν, ἐθαυμάζετο [2]· φιλόσοφος δ' ἀνὴρ, αὐλὸν ἐκ συμποσίου φεύγων, καὶ ψαλτρίας ἁρμοζομένης ὑποδεῖσθαι βοῶν ταχὺ [3] καὶ τὸν λυχνοῦχον ἅπτειν, οὐ καταγέλαστός ἐστι, τὰς ἀβλαβεστάτας ἡδονὰς, ὥσπερ οἱ κάνθαροι τὰ μύρα, βδελυττόμενος· εἰ γὰρ ἄλλοτε, μάλιστα δή που παρὰ πότον, προσπαιστέον ἐστὶ τούτοις, καὶ δοτέον εἰς ταῦτα τῷ θεῷ τὴν ψυχήν. ὡς τά γ' ἄλλα φίλος ὢν Εὐριπίδης ἐμὲ γοῦν οὐ πέπεικε, περὶ μουσικῆς νομοθετῶν, ὡς ἐπὶ τὰ πένθη καὶ τὰς βαρυφροσύνας μετακομιστέας οὔσης· ἐκεῖ μὲν γὰρ ὥσπερ ἰατρὸν ἐφιστάναι δεῖ νοσοῦσιν ἐσπουδακότα καὶ νή-

1 Mez. & R. jubentibus addidi ἂν, quod vulgo abest.

2 Ita recte in Bas. legi monuit R. & ita e Turn. affertur, dedique cum W. accedentibus Xyl. Amiot. Mez. Vulgo ἐθαύμαζε.

3 Vulgo ὑποδεῖται, βοῶν ταχύ. R. susp. ὑποδεῖσθαι θᾶττον κελεύων, βοῶν ταχὺ, *aspero clamore jubens se quantocyus calceari* (nam discalceati accumbebant) *& facem accendi*, quae ipsum domum reducat. Dedi ὑποδεῖσθαι cum W. ita cum Mez. scribente, & notante, Amiot. & Xyl. hanc vocem vertendo omisisse. Me quidem judice, Xyl. haud omisit, sed vertendo *metuens* legisse videtur ὑποδεὴς καὶ β. τ. τον — vel tale quid.

νήφοντα τὸν λόγον, τὰς δὲ τοιαύτας ἡδονὰς τῷ Διονύσῳ καταμίξαντας, ἐν παιδιᾶς μέρει τίθεσθαι. χάριεν γάρ τοι τὸ τῦ Λάκωνος, ὃς [1] Ἀθήνησι καινῶν ἀγωνιζομένων τραγῳδῶν, θεώμενος τὰς παρασκευὰς τῶν χορηγῶν, καὶ τὰς σπυδὰς τῶν διδασκάλων καὶ τὴν ἅμιλλαν, ὐκ ἔφη σωφρονεῖν τὴν πόλιν μετὰ τοσαύτης σπυδῆς παίζυσαν. τῷ γὰρ ὄντι παίζοντα δεῖ παίζειν, καὶ μήτε δαπάνης πολλῆς, μήτε τῶν πρὸς ἄλλα χρησίμων καιρῶν ὠνεῖσθαι τὸ [2] ῥαθυμεῖν, ἀλλ' ἐν πότῳ καὶ ἀνέσει τῶν τοιύτων ἀπογεύεσθαι, καὶ σκοπεῖν ἅμα τερπόμενον [3], εἴ τι χρήσιμον ἐξ αὐτῶν λαβεῖν ἐςιν.

## QUAESTIO VIII.

### Quaenam potiſſimum acroamata coenae ſint adhibenda [4]?

Ἐπεὶ δὲ ταῦτ' ἐῤῥέθη, βυλόμενον αὖθις ἀντιλέγειν τὸν σοφιςὴν ἐγὼ διακρυόμενος· Ἐκεῖνο μᾶλλον (ἔφην) σκέψαιτ' ἄν τις, ὦ Διογενιανὲ, πολλῶν ὄντων ἀκροαμάτων ποῖον ἂν [5] μάλιςα γένος εἰς πότον ἐναρμόσειε, καὶ παρακαλῶμεν ἐπικρίναι τυτονὶ τὸν σοφόν [6].

ἀπα-

1 Inſerui ὃς, quod vulgo abeſt, & tam facile ob ſyllabam finalem praecedentis vocabuli excidere potuit, e R. mente. W. mutata diſtinctione rem expedit Λάκωνος Ἀθήνησι. καινῶν. Cf. de re ipſa Vol. IX. pag. 93.

2 Ald. τῷ ῥαθυμεῖν.

3 Ita Xyl. & R. legendum monuerunt pro vulg. τερπόμενοι, dedique cum W. conſentiente Leonic. Dari voluit H. Steph. τερπομένυς. Turn. τερπομένοις.

4 Perſonae colloquii ſunt Diogenianus, Sophiſta, Philippus, Plutarchus.

5 Vulgo πολλῶν ἀκροαμάτων ποῖον ἄν. Ald. Baſ. ποῖ ἄν. Hinc Xyl. ποῖον legendum monuit, aut potius ἀκρ. ὄντων, ποῖον ἄν. R. quoque voluit ὄντων, & dedi.

6 Vulgo abeſt τόν. Id dedi, Mez. & R. jubentibus, & W. probante.

ἀπαθὴς γὰρ ὢν πρὸς ἅπαντα καὶ ἀκήλητος ἐκ ἂν σφαλείη πρὸ τῦ βελτίονος ἑλέσθαι τὸ ἥδιον. ὡς ἂν ὅ τε Διογενιανὸς παρεκάλει καὶ ἡμεῖς, ἐδὲν [1] μελλήσας ἐκεῖνος ἔφη, τἆλλα μὲν ἐπὶ τὴν θυμέλην καὶ τὴν ὀρχήστραν ἐξελαύνειν· εἰσάγειν δὲ τὸ νεωςὶ μὲν ἐν Ῥώμῃ παρεισηγμένον εἰς τὰ συμπόσια, μήπω δ' ἀναλάμπον ἐν τοῖς πολλοῖς. Ἴςε γὰρ, (εἶπεν) ὅτι τῶν Πλάτωνος διαλόγων διηγηματικοί τινές εἰσιν, οἱ δὲ δραματικοί· τέτων ἂν τῶν δραματικῶν τὲς ἐλαφροτάτες ἐκδιδάσκονται παῖδες, ὥς' ἀπὸ ςόματος λέγειν· πρόσεςι δὲ ὑπόκρισις πρέπεσα τῷ ἤθει τῶν ὑποκειμένων προσώπων, καὶ φωνῆς πλάσμα καὶ σχῆμα, καὶ διαθέσεις ἑπόμεναι τοῖς λεγομένοις. ταῦθ' οἱ μὲν αὐςηροὶ καὶ χαρίεντες ἠγάπησαν ὑπερφυῶς· οἱ δ' ἄνανδροι καὶ διατεθρυμμένοι τὰ ὦτα δι' ἀμεσίαν καὶ ἀπειροκαλίαν, ὥς φησιν Ἀριςόξενος χολὴν ἐμεῖν, ὅταν ἐναρμονίε ἀκέσωσιν, ἐξέβαλλον· καὶ ἐ θαυμάσαιμ' ἂν, εἰ τὸ πάμπαν ἐκβάλλεσιν· ἐπικρατεῖ γὰρ ἡ θηλύτης.

II. Καὶ ὁ Φίλιππος ὁρῶν ὑποδυσχεραίνοντας ἐνίες· Φεῖδε, (εἶπεν) ὦ τᾶν, καὶ παραβαλῦ [2] λοιδορῶν ἡμᾶς·



1 Dedi ἐδὲν, R. jubente. Vulgo ἐδὲ.

2 R. fufp. καὶ μὴ παραβαλῦ, *neque nimium audacter nos conviciare.* Addit quidem, in promtu effe defendendae lectionis vulgatae rationem, ut fcil. παραβαλῦ fit *define* nos probris inceffere, & παραβάλλεσθαι effe interdum navim ad ripam appellere, ut apud Ariftoph. *Ranis* vf. 185: ipfi tamen minus hoc probandum videri. W. fufp. ab auctore fuiffe παραβάλε τὸ θυρίον τῶν λοιδοριῶν εἰς ἡμᾶς. Firmatur haec conjectura loco in lib. de *facie in orbe lunae* obvio, ubi haec leguntur: ἐπίσχες, εἶπεν, ὦ Λαμπρία, καὶ παραβαλῦ τὸ θυρίον τῦ λόγε; & ad eandem rationem Salmas. in lib. *de folertia animalium* dictionem παραβαλῦ τῆς κατηγορίας formari voluit παραβαλῦ τὸ θυρίον τῆς κατηγορίας. Attamen commode in vulgata acquiefci poffe puto, fi Hefychii Suidaeque auctoritate utaris. Ita Hef. παραβαλῦ — ἀνάπαυσαι. ἀπὸ δὲ τῶν νεῶν ἡ με.αφ.ρά. Additur in adnotatione e Phot. Lex. Ms. παρα-

ἡμᾶς· ἡμεῖς γὰρ ἐσμὲν οἱ πρῶτοι τοῦ πράγματος εἰσαγομένου δυσχεράναντες ἐν Ῥώμῃ, καὶ καθαψάμενοι τῶν ἀξιούντων Πλάτωνα διαγωγὴν ἐν οἴνῳ ποιεῖσθαι, καὶ τῶν Πλάτωνος διαλόγων ἐπὶ τραγήμασι καὶ μύροις ἀκούειν διαπίνοντας [1]. ὅτε καὶ Σαπφοῦς ἀναδεχομένης [2], καὶ τῶν Ἀνακρέοντος, ἐγώ μοι δοκῶ καταθέσθαι τὸ ποτήριον αἰδούμενος. Πολλὰ δ᾽ εἰπεῖν [3] ἐπιόντα μοι δέδια, μὴ μετὰ σπουδῆς τινος οὕτως διαλέγεσθαι πρός σε δόξω· ὅθεν (ὡς ὁρᾷς) ποτίμῳ λόγῳ ἁλμυρὰν ἀκοὴν κατακλύσαι τῷ φίλῳ Διογενιανῷ [4] μετὰ τῆς κύλικος δίδωμι.

III. Δεξάμενος οὖν ὁ Διογενιανός· Ἀλλὰ καὶ τούτους (ἔφη) νήφοντας ἀκούω λόγους· ὥστε ὁ οἶνος ἡμᾶς ἀδικεῖν [5] οὐκ ἔοικεν, οὐδὲ κρατεῖν. δέδια δή, μὴ καὶ αὐτὸς εὐθύνας ὑπόσχω· καίτοι [6] τὰ πολλὰ περικοπτέα τῶν

παραβαλοῦ. παῦε. κυρίως δὲ παραβάλλειν λέγεται, τὸ παῦσαι τὴν κώπην τῆς ἐρεσίας. Suid. παραβαλέσθαι, τὸ παύσασθαι, καὶ ἀπαλλαγῆναι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων. Hinc nihil mutavi, nisi formam vocis mutatione accentus, cum vulgo sit παραβάλλου. Amiot. teste W. legisse videtur ἀναβάλλου.

1 Sic e W. mente reponere non dubitavi pro vulg. διατείνοντας. Quid hoc sibi velit, & quo pertineat, nescire se monuit R.

2 R susp. Σαπφοῦς ἂν δερομένης, *Sapphonis carminibus misere laceratis & velut in equuleo tortis*, addens, hoc assumto, delendum simul esse mox sequens τῶν. W. legi vult ἀναλεγομένης.

3 Ald. Bas. εἶπεν. Ad proxime seqq. e Turn. & V. affertur οὕτως καὶ δόξω.

4 Vulgo τῷ φίλῳ δὴ μετὰ τ. κ. R. in particula δή, quae ab Ald. & Bas. abest, latere conjecit nomen Διογενιανῷ. Sumsit idem W. a Palat. eumque secutus sum. Vatic. Δίι.

5 Vulgo εὐδοκεῖν. R. susp. ἀδικεῖν, *nullam videtur nobis vim inferre*. Ita est in Turn. & V. dedique cum W. accedentibus Amiot. Anon. Mez.

6 R. susp. καὶ γάρ τοι.

τῶν κηροχμάτων ἐςί· πρώτην [1] τραγῳδίαν, ὡς ἐ πάνυ τι συμποτικὸν, ἀλλὰ σεμνότερον βοῶσαν καὶ σκευωρεμένην, πραγμάτων ὑποκρίσεις πάθος ἐχόντων καὶ οἶκτον. ἀποπέμπω δὲ τῆς ὀρχήσεως τὴν Πυλάδειον [2], ὀγκώδη καὶ παθητικὴν καὶ πολυπρόσωπον ἔσαν· αἰδοῖ [3] δὲ τῶν ἐγκωμίων ἐκείνων, ἃ Σωκράτης περὶ ὀρχήσεως διῆλθε, δέχομαι τὴν Βαθύλλειον αὐτόθεν πέζαν [4] τε κόρδακος ἁπτομένην, Ἠχες, ἢ τινος Πανὸς, ἢ Σατύρε σὺν ἔρωτι κωμάζοντος, ὑπόρχημά τι διατιθεμένην [5]. τῶν δὲ κωμῳδιῶν ἡ μὲν ἀρχαία διὰ τὴν ἀνωμαλίαν ἀνάρμοσος ἀνθρώποις πίνεσιν· ἥ τε γὰρ ἐν ταῖς λεγομέναις παραβάσεσιν αὐτῶν σπεδὴ καὶ παῤῥησία λίαν ἄκρατός ἐςι καὶ σύντονος· ἥ τε πρὸς τὰ σκώμματα καὶ βωμολοχίας εὐχέρεια, δεινῶς κατάκορος καὶ ἀναπεπταμένη καὶ γέμεσα ῥημάτων ἀκόσμων καὶ ἀκολάςων ὀνομάτων· ἔτι δ' ὥσπερ ἐν τοῖς ἡγεμονικοῖς δείπνοις ἑκάςῳ παρέςηκε τῶν κατακειμένων οἰνοχόος, ὅτω δεήσει γραμματικὸν ἑκάςῳ τὸ καθ' ἕκαςον ἐξηγεῖσθαι, τίς ὁ Λαισποδίας [6] παρ' Εὐπόλιδι, καὶ ὁ Κινησίας παρὰ Πλάτωνι [7], καὶ ὁ Λάμπων παρὰ Κρατίνῳ,



1 Malim πρώτην τὴν τρ.

2 cf Athen. L. I. pag. 20.

3 Vulgo οἰδεῖ. R. fufp. αἰδοῖ, *reverentia laudum.* Id dando fecutus fum W. ita e Palat. & Mez. reponentem. Cf. Xenoph. Sympos. c. 2. §. 16. fq.

4 R. tuetur hanc vulgatam explicando, *quae nihil aliud, quam humile habet, prorfus fe non attollit*, contra Cafaub. de Satyr. Poëf. I, 4. W. fe probare monet πεζὴν, *pedeftrem,* nec tamen improbare Cafauboni παίζεσαν. Cf. Athen. l. c.

5 Vulgo ὑπ' ὀρχήματος ἀντιθεμένην. R. fufp. ὑπορχήματα, aut ὑπορχήμασι συντιθεμένην. Secutus fum W. ita corrigentem ex Athen. l. c. qui ex eodem, quo Plutarchus, fonte haufit. Jam Cafaub. de Sat. Poëf. l. c. Plutarchum emendaverat.

6 Ita legendum monuerunt Mez. H. Vales. Emend. III, 18. & R. dedique W. probante pro vulg. Λαισμοδίας. Cf. Hefych. in v. Λαισποδίας, ubi in adnotatione fubjuncta hic Plutarchi locus memoratur, eodemque modo corrigitur.

7 Comico, non Philofopho.

τίνῳ, καὶ τῶν κωμῳδουμένων ἕκαστος· ὥστε γραμματοδιδασκαλεῖον ἡμῖν γενέσθαι τὸ συμπόσιον, ἢ κωφὰ καὶ ἄσημα [1] τὰ σκώμματα διαφέρεσθαι. περὶ δὲ τῆς νέας κωμῳδίας τί ἀντιλέγοι [2] τις; οὕτω γὰρ ἐγκέκραται τοῖς συμποσίοις, ὡς μᾶλλον ἂν οἴνου χωρὶς, ἢ Μενάνδρου, διακυβερνῆσαι [3] τὸν πότον. ἥ τε γὰρ λέξις ἡδεῖα καὶ πεζὴ κατέσπαρται τῶν πραγμάτων, ὡς μήτε ὑπὸ νηφόντων καταφρονεῖσθαι, μήτ' οἰνωμένους ἀνιᾶν· γνωμολογίαι τε χρησταὶ καὶ ἀφελεῖς ὑποῤῥέουσαι, καὶ τὰ σκληρότατα τῶν ἠθῶν ὥσπερ ἐν πυρὶ τῷ οἴνῳ μαλάττουσι καὶ κάμπτουσι πρὸς τὸ ἐπιεικέστατον· ἥ τε τῆς σπουδῆς πρὸς τὴν παιδιὰν ἀνάκρασις ἐπ' οὐδὲν ἂν πεποιῆσθαι δόξειεν, ἀλλ' ἢ πεπωκότων καὶ διακεχυμένων ἡδονὴν ὁμοῦ καὶ ὠφέλειαν. ἔχει δὲ καὶ τὰ ἐρωτικὰ [4] παρ' αὐτῷ καιρὸν πεπωκόσιν ἀνθρώποις, καὶ ἀναπαυσομένοις [5], μετὰ μικρὸν ἀπιοῦσι παρὰ τὰς ἑαυτῶν γυναῖκας· οὔτε παιδὸς ἔρως ἄῤῥενός ἐστιν ἐν τοσούτοις δράμασιν· αἵ τε φθοραὶ τῶν παρθένων εἰς γάμον ἐπιεικῶς καταστρέφουσι· τὰ δὲ πρὸς ἑταίρας, ἂν μὲν ὦσιν ἰταμαὶ [6] καὶ θρασεῖαι, διακόπτεται σωφρονισμοῖς τισιν ἢ μετανοίαις τῶν νέων· ταῖς δὲ χρησταῖς καὶ ἀντερώσαις

ἢ

1 Frst. & R. ἄσηπα. Restitui ἄσημα.

2 Secutus sum W. ita dantem ex H. & Mez. proxime accedentibus Palat. Vatic. τί ἄν τι λέγοι. Vulgo τί ἄν τι λέγῃ τις. R. voluit τί ἂν ἀντιλέγῃ τις, *quid est, quod aliquis asserat, quo minus nova comoedia digna loco in conviviis habeatur.*

3 R. susp. ἢ Μενάνδρου ῥάδιον εἶναι, νὴ Δία, κυβερνῆσαι, aut saltim ἢ Μενάνδρου ῥάδιον εἶναι διακυβερνῆσαι. W. judice, rectius sit διακυβερνᾶσθαι.

4 Adumbratum hoc e fine Symposii Xenophontis. R.

5 Secutus sum W. ita dantem ex E. H. Venet. Palat. Vatic. Vulgo ἀναπαυομένοις.

6 Ita Xyl. H. Steph. & R. legendum monuerunt, dediqne e Turn. & V. cum W. Accedunt Anon. Mez. Amiot. Vulgo ἱκαναί.

ἢ πατήρ τις ἀνευρίσκεται [1] γνήσιος, ἢ χρόνος τις ἐπιμετρεῖται τῷ ἔρωτι, συμπεριφορὰν αἰδῶς ἔχων φιλάνθρωπον. ταῦτα δ' ἀνθρώποις ἄλλο μέν τι πράττουσιν ἴσως οὐδεμιᾶς σπουδῆς ἄξιά ἐστιν· ἐν δὲ τῷ πίνειν οὐ θαυμάσαιμ' ἂν εἰ τὸ τερπνὸν αὐτῶν καὶ γλαφυρὸν ἅμα καὶ πλάσιν [2] τινὰ καὶ κατακόσμησιν ἐπιφέρει, συνεξομοιοῦσαν τὰ ἤθη τοῖς ἐπιεικέσι καὶ φιλανθρώποις.

IV. Ὁ μὲν οὖν Διογενιανὸς, ἢ παυσάμενος, ἢ διαλείπων, ἐσιώπησεν. ἐπιφυομένου δ' αὐτῷ τοῦ σοφιστοῦ πάλιν, καὶ ῥήσεις τινὰς οἰομένου δεῖν τῶν Ἀριστοφανείων περαίνειν [3], ὁ Φίλιππος ἐμὲ προσαγορεύσας. Οὗτος μὲν (ἔφη) τὴν ἐπιθυμίαν ἐμπέπληκε, τὸν ἥδιστον αὐτῷ Μένανδρον ἐπαινέσας, καὶ τῶν ἄλλων οὐδὲν ἔτι φροντίζειν ἔοικε. λείπεται δὲ πολλὰ τῶν ἀκροαμάτων ἡμῖν ἀνεξέταστα, περὶ ὧν ἂν ἡδέως ἀκούσαιμί σου· τὸν δὲ τῶν ζῳδιογλύφων [4] ἀγῶνα βραβεύσομεν αὔριον, ἂν δοκῇ τῷ ξένῳ καὶ Διογενιανῷ, νήφοντες. Οὐκοῦν (ἔφην ἐγὼ) μίμοι τινές εἰσιν, ὧν τοὺς μὲν ὑποθέσεις, τοὺς δὲ παίγνια καλοῦσιν. ἁρμόζειν [5] δ' οὐδέτερον οἶμαι συμποσίῳ γένος· τὰς μὲν ὑποθέσεις διὰ τὰ μήκη τῶν δραμάτων καὶ τὸ δυσχορήγητον· τὰ δὲ παίγνια, πολλῆς γέμοντα βωμολοχίας καὶ σπερμολογίας, οὐδὲ τοῖς τὰ ὑποδήματα κομί-



1 Ita, nec non deinde ἐπιμετρεῖται, dedi cum W. e correctione Mez. & R. Vulgo ἂν εὑρίσκηται & ἐπιμετρῆται.

2 Baf. πλάσιον. Xyl. correxit.

3 R. docente, fenfus hujus dictionis eft: affirmante, fe dictiones quasdam Ariftophanis allaturum non contemnendas, neque Menandreis quidquam cedentes.

4 Accentu fic pofito dari voluit R. Vulgo ζῳδιογλυφῶν. W. e Mez. κωμῳδιογράφων notat, haud fe fcire addens, an vulgata fit vera.

5 Vulgo ἁρμόζει. Corrigendum id monuit R. ob infequens τὰς ὑποθέσεις, detrahendis fimul ab οἶμαι parenthefeos fignis.

κομίζουσι παιδαρίοις [1], ἄγε δὴ [2] δεσποτῶν ἤ σωφρονούντων, θεάσασθαι προσήκει· οἱ δὲ πολλοὶ, καὶ γυναικῶν συγκατακειμένων καὶ παίδων ἀνήβων, ἐπιδείκνυνται μιμήματα πραγμάτων καὶ λόγων, ἃ πάσης μέθης ταραχωδέστερον τὰς ψυχὰς διατίθησιν. ἀλλ' ἤγε κιθάρα πάλαι πυ καὶ καθ' Ὅμηρον ἔτι τοῖς χρόνοις [3] γνωρίμη τῆς δαιτός ἐστι [4], καὶ μακρὰν οὕτως φιλίαν καὶ συνήθειαν οὐ πρέπει διαλύειν, ἀλλὰ δεῖσθαι τῶν κιθαρῳδῶν μόνον, ὅπως τὸν πολὺν θρῆνον καὶ γόον ἐξαίρωσι τῶν ᾠδῶν, εὔφημα καὶ πρέποντα θαλιάζουσιν ἀνθρώποις ᾄδοντες. τὸν δ' αὐλὸν οὐδὲ βουλομένοις ἀπώσασθαι τῆς τραπέζης ἐστίν· αἱ γὰρ σπονδαὶ ποθοῦσιν αὐτὸν ἅμα τῷ στεφάνῳ, καὶ συνεπιφθέγγεται τῷ παιᾶνι τὸ θεῖον· εἶτ' ἀπελίγανε καὶ διεξῆλθε τῶν ὤτων καταχεόμενος φωνὴν ἡδεῖαν ἄχρι τῆς ψυχῆς ποιοῦσαν γαλήνην· ὥστ', εἴ τι τῶν αὐστηρῶν καὶ πεφροντισμένων ὁ ἄκρατος οὐκ ἐξέσεισεν, οὐδὲ διέλυσε, τοῦτο [5] τῇ χάριτι καὶ πρᾳότητι τοῦ μέλους ὑποκατακλινόμενον [6] ἡσυχάζειν, ἄν γε δὴ καὶ αὐτὸς τὸ μέτριον διαφυλάττῃ, μὴ παθαινόμενος, μηδ' ἀνασοβῶν,

1 Significat parvulos servulos, heris adstantes in conviviis, & eorum calceos sub axillis servantes, interea dum heri accumbunt. R.

2 R. susp. οὔ γε δὴ (aut πολλοῦ γε δεῖ) δεσποτῶν τινι σωφρονούντων, aut παιδαρίοις πρεπούσης, ἅ γε δὴ οὐδὲ δεσποτῶν τινι σωφρονούντων.

3 R. susp. καὶ τοῖς καθ' Ὅμηρον ἤδη χρόνοις; W. autem πάλαι που καθ' Ὅμηρον τοῖς χρόνοις, καὶ ἔτι νῦν γε. Cf. Odyss. XVII, 271.

4 Vulgo τῆς δαιτὸς, ἔτι. Inde Xyl. effecit ἑταίρα. R. leg. monuit τῆς δαιτός ἐστι, κ. μ. Dedi id cum W. idem ex H. E. Venet. Palat. Vatic. sumente.

5 Dedi sic e R. mente. Idem recepit W. Vulgo τοῦτον.

6 Ita R. legendum conjecit, dedique, W. probante, pro vulg. ὑποκατακλειόμενον.

σοβῶν, καὶ παρεξιςὰς βόμβυξι [1] καὶ πολυχορδίαις τὴν διάνοιαν ὑγρὰν ὑπὸ τῆς μέθης καὶ ἀκροσφαλῆ γεγενημένην. ὡς γὰρ τὰ θρέμματα λόγȣ μὲν ȣ̓ συνίησι διάνοιαν ἔχοντος, σιγμοῖς [2] δὲ καὶ ποππυσμοῖς ἀμελέσιν [3], ἢ σύριγξι καὶ ςρόμβοις ἐγείρȣσι καὶ κατευνάζȣσι πάλιν [4] οἱ νέμοντες, ȣ̔́τως ὅσον ἔνεςι τῇ ψυχῇ φορβαδικὸν καὶ ἀγελαῖον, καὶ ἀξύνετον λόγȣ, καὶ ἀνήκοον, μέλεσι [5] καὶ ῥυθμοῖς ἐπιψάλλοντες καὶ καταυλȣ̃ντες εὖ τίθενται καὶ καταπραΰνȣσιν. ȣ̓ μὴν ἀλλ᾽ εἰ δεῖ [6] τό γε μοι φαινόμενον εἰπεῖν, ȣ̓́τ᾽ ἂν αὐλȣ̃ ποτε καθ᾽ αὑτὸν, ȣ̓́τε λύρας μέλος χωρὶς λόγȣ καὶ ᾠδῆς ἐπιτέρψαι [7] τὸ συμπόσιον, ὥσπερ ῥεύματι φέρειν ὑπολαμβάνοντι· δεῖ γὰρ ȣ̔́τως ἐθίζειν καὶ σπȣδάζοντας [8], ὥςε καὶ τὰς ἡδονὰς ἐκ λόγȣ λαμβάνειν, καὶ τὰς διατριβὰς ἐν λόγῳ ποιεῖσθαι· τὸ δὲ μέλος καὶ τὸν ῥυθμὸν ὥσπερ ὄψον ἐπὶ τῷ λόγῳ, καὶ μὴ καθ᾽ αὑτὰ προσφέρεσθαι, μηδὲ λιχνεύειν. ὡς γὰρ ἡδονὴν



1 R. susp. *βομβυλίξεσι*, a verbo *βομβυλίζειν*. Etiam Xyl. *βόμβυκας* se hic non agnoscere notat; *βέμβικας* autem facilius quadrare videri, & multo fortassis rectius *σαμβύκαι*.

2 Xyl. mavult *συριγμοῖς*. R. tuetur vulgatam — *sibilis*.

3 Xyl. mavult *ἐμμελέσιν*, quod W. probat & vertit. R. tuetur vulgatam — *quae cantu carent*.

4 Vulgo *κατευνάζȣσι*, καὶ *πάλιν*. Comma & καὶ R. deleri voluit. Delevi cum W.

5 R. judice, paulo elegantius & suavius *οἱ μέλεσι*.

6 Vulgo abest *δεῖ*. Inserendum id monuit R. ante *εἰπεῖν*. Dedi cum W. sequente Xyl. & Mez.

7 R. susp. *μέλει δεῖν οἶμαι χωρὶς λόγȣ καὶ ᾠδῆς ἐπιτρέψαι τὸ συμπόσιον*, *existimo, non oportere convivium*, h. e. convivas, *permittere cantui, aut tibiae, aut lyrae soli, & ab oratione atque voce sejuncto, velut flumini suscipienti ferendos & abripiendos* W. susp. *μέλει — ἐπιτρέψαιμι*. Quae sequuntur *ὥσπερ ῥ. φ. ὑπ.* omisit Xyl. nec W. supplevit, licet priora e sua mente correxit.

8 R. aut *σπȣδάζοντας* cum *παίζοντας* mutandum censuit, aut leg. *καὶ μὴ σπȣδάζοντας*, aut *καὶ παίζοντας καὶ σπȣδάζοντας*, W. susp. *δεῖ γὰρ αὐτὰς ἐθίζειν συμπαίζοντας*.

ἐν οἴνῳ καὶ ὄψῳ τῇ χρείᾳ τῆς τροφῆς συνειςιοῦσαν οὐδεὶς ἀπωθεῖται, τὴν δ' ἐπὶ τοῖς μύροις οὐκ ἀναγκαίαν καὶ περίεργον οὖσαν ὁ Σωκράτης ἐπὶ κόῤῥης ῥαπίζων ἐξέβαλεν [1]. οὕτω ψαλτηρίου φωνῆς καὶ αὐλοῦ, καθ' ἑαυτὴν τὰ ὦτα κοπτούσης, μὴ ὑπακούωμεν· ἂν δ' ἕπηται μετὰ λόγου καὶ ᾠδῆς εἰσιοῦσα καὶ τέρπουσα τὸν ἐν ἡμῖν λόγον, εἰσάγωμεν, οἰόμενοι καὶ [2] Μαρσύαν ἐκεῖνον ὑπὸ τοῦ θεοῦ κολασθῆναι, ὅτι φορβαίᾳ καὶ αὐλοῖς ἐπιστομίσας ἑαυτὸν, ἐτόλμησε ψιλῷ μέλει [3] διαγωνίζεσθαι πρὸς ᾠδὴν καὶ κιθάραν. Μόνον (ἔφην [4]) σκοπῶμεν, ὅπως συμπόταις διὰ λόγου καὶ φιλοσοφίας ἀλλήλους εὐφραίνειν δυναμένοις μηδὲν ἐπάξωμεν τοιοῦτον θύραθεν, ὃ [5] κώλυμα διαγωγῆς μᾶλλον, ἢ διαγωγή τις, ἔσται. οὐ γὰρ μόνον, ὅσοι τὴν σωτηρίαν οἴκοι καὶ παρ' αὐτῶν ἔχοντες,

Ἄλλην θέλξιν εἰσαγώγιμον λαβεῖν [6],

ὡς Εὐριπίδης εἶπεν, ἀβέλτεροί εἰσιν, ἀλλὰ καὶ ὅσοι, πολλῆς ἐν αὐτοῖς εὐφροσύνης καὶ θυμηδίας παρούσης, ἔξωθεν ἐπάγειν τὰ τέρποντα φιλοτιμοῦνται. καὶ γὰρ

ἡ

1 Xenoph. Sympos. c. 2. init.

2 Bas. οἶμαι δὲ καὶ τὸν Μ.

3 Sic R. pro vulg. μέρει legendum monuit — *nudo cantu*, tibiae scilicet. Nudus autem est tibiae cantus, quem vox humana non prosequitur. Idem W. dedit consentiente Mez.

4 Sic dedi e R. mente, cum Plutarchus loquatur, pro vulg. ἔφη.

5 Secutus sum W. ita de suo dantem. Ald. Bas. Xyl. E. H. Venet. Palat. Vatic. ὠτόθεν, ὅ. Xyl. ad hanc lectionem adnotat: *auricus*, ut ita dicam, id est *per aures*. Hoc quidem Plutarchus voluit significare, sed vocabulum est mihi suspectum: & si fingendum vocabulum fuit, maluissem οὔαθεν." Ex ista lectione in Leonic. Schott. Anon. effectum fuit τοιοῦτον, ὃ ἐπαχθὲν. Id sumsit Steph. & in rell. vulgatum fuit. R. susp. τοιοῦτον ἔξωθεν, ὃ κ. Idem valet θύραθεν, quod W. acute invenit.

6 Secutus sum W. ita cum Xyl. exhibentem ac distinguentem. Vulgo ἐθέλουσι.

ἡ τοῦ μεγάλου βασιλέως μεγαλοφροσύνη πρὸς Ἀνταλκίδαν τὸν Λάκωνα δεινῶς ἀπειρόκαλος ἐφάνη καὶ ἀγροῖκος, ὁπηνίκα ῥόδων καὶ κρόκου μεμιγμένων [1] στέφανον εἰς μύρον βάψας ἔπεμψεν αὐτῷ, τὸ σύμφυτον καὶ ἴδιον καλὸν, ἀποσβέσας καὶ καθυβρίσας τοῖς ἄνθεσιν [2]. ὅμοιον οὖν ἐστι τὸ, συμποσίου χάριν ἔχοντος ἐν αὐτῷ καὶ μοῦσαν ἰδίαν, καταυλεῖν καὶ καταψάλλειν ἔξωθεν, ἀφαιρούμενον τῷ ἀλλοτρίῳ τὸ οἰκεῖον. μάλιστα γοῦν [3] ἀκροαμάτων εἴη καιρὸς ἐν συμποσίῳ κυμαίνοντι καὶ κορυσσομένῳ [4] πρὸς ἔριν ἢ φιλονεικίαν· ὥστε λοιδορίαν τινὰ κατασβέσαι, καὶ ζητήσεως εἰς ἅμιλλαν ἀτερπῆ καὶ ἀγῶνα σοφιστικὸν ἐκφερομένης ἐπιλαμβάνεσθαι, καὶ ἀγῶνας [5] ἐκκλησιαστικοὺς καὶ ἀγοραίους ἐπισχεῖν, ἄχρις ἂν αὖθις ἐξ ἀρχῆς ἀθόρυβον καὶ ἀνήνεμον [6] γένηται τὸ συμπόσιον.

## QUAESTIO IX.

### Inter vinum deliberare, non minus Graecum fuiſſe, quam Perſicum [7].

Περὶ ὧν ἔμελλον ἐκκλησιάζειν Ἀθηναῖοι λόγος ἦν παρὰ τὸ δεῖπνον, ἑστιῶντος ἡμᾶς Νικοστράτου· καί τινος

1 R. adnotat, *μεμιγμένων* ſerves, an *μεμιγμένον* legas, perinde eſſe: comma autem delendum monet, quod vulgo adfuit.

2 Ald. Baſ. *τοῖς ἄνθεσιν.*

3 Baſ. *οὖν.*

4 Ita Xyl. & H. Steph. reponendum monuerunt pro vulg. *κρουσσομένῳ*, dedique, W. idem ex Anon. & Mez. probante. Proxime certe accedit, quod e Turn. & V. affertur *κομισσομένῳ.*

5 Vulgo *καὶ πρὸς ἀγῶνας.* R. aut *πρὸς* deleri voluit, aut poſt *ἀγοραίους* addi *ἐκπίπτοντας*, vel *ὑπολισθαίνοντας*, vel *ὁρμωμένους*, vel ſimile. Prius obſervavi.

6 Xyl. mavult *νήνεμον* ſententia poſtulante. Ad eandem certe in Lexicis referri ſolet vulgata.

7 Perſonae colloquii ſunt Nicoſtratus, Glaucias.

τινος εἰπόντος, ὡς [1] Περσικὸν πρᾶγμα ποιοῦμεν, ὦ ἄνδρες, βουλευόμενοι παρ' οἶνον· Τί μᾶλλον, ἔφη ὁ Γλαυκίας ὑπολαβὼν, ἢ Ἑλληνικόν [2]; Ἕλλην μὲν γὰρ ἦν ὁ εἰπών·

Γαστρὸς ἀπὸ πλείστης βουλὴ καὶ μῆτις ἀμείνων.

Ἕλληνες δὲ σὺν Ἀγαμέμνονι Τροίαν ἐπολιόρκουν, οἷς φαγοῦσι καὶ πιοῦσιν.

Ὁ γέρων πάμπρωτον ὑφαίνειν ἤρχετο μῆτιν [3],

ἐπ' αὐτὸ τοῦτο τῆς κλήσεως τῶν [4] ἀρίστων εἰσηγητὴς τῷ βασιλεῖ γενόμενος,

Δαίνυ δαῖτα γέρουσι,

πολλῶν γάρ τοι (φησὶν)

Ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην
Βουλὴν βουλεύσῃ.

διὸ καὶ τὰ πλείστῃ [5] χρησάμενα τῆς Ἑλλάδος εὐνομίᾳ γένη, καὶ μάλιστα φιλοχαρήσαντα περὶ τοὺς ἀρχαίους ἐθισμοὺς, ἐν οἴνῳ τὰς ἀρχὰς συνεῖχε. τὰ γὰρ παρὰ Κρησὶν Ἀνδρεῖα καλούμενα, παρὰ δὲ Σπαρτιάταις Φιλίτια [6], βουλευτηρίων ἀποῤῥήτων καὶ συνεδρίων ἀριστοκρατικῶν τάξιν εἶχεν, ὥσπερ (οἶμαι) καὶ τὸ ἐνθάδε Πρυτανεῖον καὶ Θεσμοθέσιον. οὐ πόῤῥω δὲ τούτων ὁ νυκτερινὸς σύλλογος παρὰ Πλάτωνι τῶν ἀρίστων καὶ πολιτικωτά-

1 R. ὡς delendum censuit.

2 Cum W. reposui ἢ, quod vulgo abest, R. jubente, e Bas. Xyl. Mez.

3 Iliad. VII, 324. & paulo post IX, 70, 74. sq.

4 Vulgo καὶ τῶν ἀρίστων. Delevi καὶ e R. mente — *auctor ei fuerat, ut optimates vocaret.* Ita Xyl. quoque vertit,

5 Sic W. legendum monuit pro vulg. πλεῖστα, vertitque: — *itaque etiam Graeciae populi ut quisque optimis legibus constitutam habuit civitatem, & veteris moris fuit tenacissimus, ita magistratuum deliberationes vino continuerunt.* Eundem sensum bene exprimit Kaltw. cum Amiot. Ab eo recedunt Xyl. & Ricard.

6 Turn. φιδίτια.

κωτάτων ἀνδρῶν ἐςὶν, ἐφ' ὃν ἀναπέμπεται τὰ μέγιςα καὶ πλείςης ἄξια φροντίδος. οἱ δὲ τῷ Ἑρμῇ

Πυμάτῳ σπένδοντες, ὅτε μνησαίατο κοίτε [1],

ἆρ' ἐκ εἰς τὸ αὐτὸ συνάγεσι τῷ οἴνῳ τὸν λόγον; ὡς γῦν παρόντι καὶ συνεπισκοπῦντι τῷ φρονιμωτάτῳ θεῷ, πρῶτον [2] ἀπαλλαττόμενοι προσεύχονται. οἱ δὲ πάμπαν ἀρχαῖοι ὡς ἐδὲ τῦ Ἑρμῦ δεόμενον τὸν Διόνυσον αὐτὸν, Εὐβελῆ, καὶ τὴν νύκτα δι' ἐκεῖνον Εὐφρόνην προσεῖπον.

# QUAESTIO X.

## Rectene fecerint, qui inter pocula deliberaverunt [3]?

Ταῦτα τῦ Γλαυκίε διεξελθόντος, ἔδοξαν ἡμῖν ἐπιεικῶς οἱ θορυβώδεις ἐκεῖνοι κατακεκοιμῖσθαι [4] λόγοι, καὶ ὅπως ἔτι μᾶλλον αὐτῶν ἀμνηςία γένοιτο, ζήτησιν ἑτέραν ἐπάγων Νικόςρατος ἔφη, πρότερον ὀ πάνυ μέλειν αὐτῷ, Περσικῦ τῦ πράγματος εἶναι δοκῦντος· ἐπεὶ δὲ νῦν Ἑλληνικὸν εἶναι [5] πεφώραται, δεῖσθαι λόγε βοηθῦντος αὐτῷ πρὸς τὴν αὐτόθεν φαινομένην ἀτοπίαν. ὅ τε γὰρ λογισμὸς, ὥσπερ ὀφθαλμὸς ἐν ὑγρῷ σάλον ἔχοντι, δυσκίνητον ἡμῖν καὶ δύσεργόν ἐςι· τὰ δ' ἐπαχθῆ [6] πανταχόθεν, ὥσπερ ἑρπετὰ πρὸς ἥλιον, σαλευόμενα πρὸς τὸν οἶνον καὶ ἀναδυόμενα, τὴν γνώμην ἐπισφαλῆ ποιεῖ καὶ ἀκατάςατον. ὅθεν ὥσπερ ἡ κλίνη τοῖς πίνεσι τῆς καθέδρας ἀμείνων, ὅτι

1 Odyss. VII, 138 sq.

2 R docente, πρῶτον h. l. est *tandem aliquando, non citius, quam abitum pararent.*

3 Personae colloquii sunt Glaucias, Nicostratus.

4 Sic dedi e Steph. mente, W. probata, pro vulg. κατακεκοιμῆσθαι.

5 R. mavult ὂν e more Graeci sermonis.

6 R. susp. δυσκυβέρνητον ἡμῖν καὶ δύσεργόν ἐςι· τὰ δὲ πάθη

ὅτι τὸ σῶμα κατέχει καὶ ἀπολύει [1] κινήσεως ἁπάσης, οὕτως ἔχειν ἀτρέμα τὴν ψυχὴν ἄριστον· εἰ δὲ μὴ, δοτέον, ὥσπερ παισὶν ἀτρεμεῖν μὴ δυναμένοις, οὐ δόρυ καὶ ξίφος, ἀλλὰ πλαταγὴν καὶ σφαῖραν, ὥσπερ ὁ θεὸς τὸν νάρθηκα τοῖς μεθύουσιν ἐνεχείρισε κουφότατον βέλος, καὶ μαλακώτατον ἀμυντήριον, ὅπως, ἐπεὶ τάχιστα παίουσιν, ἥκιστα βλάπτωσι· δεῖ γὰρ γελοῖα τὰ σφάλματα τοῖς μεθύουσι ποιεῖν, οὐκ οἰκτρὰ καὶ τραγικὰ καὶ μεγάλας ἀποτείξεις ἔχοντα. καὶ μὴν, ὅπερ ἐστὶ μέγιστον ἐν ταῖς περὶ τῶν μεγίστων σκέψεσι, τὸν ἐνδεᾶ [2] νοῦ καὶ πραγμάτων ἄπειρον, ἕπεσθαι τοῖς φρονοῦσι, καὶ τῶν ἐμπείρων ἀκούειν, ἀφαιρεῖται τοὺς μεθύοντας ὁ οἶνος· ὥστε καὶ τοὔνομα γενέσθαι φησὶν ὁ Πλάτων [3], ὅτι οἴεσθαι νοῦν ἔχειν ποιεῖ τοὺς πίνοντας· οὔτε γὰρ ἐλλόγιμος, οὔτε καλὸς, οὔτε πλούσιος οὕτως οἴεται, καίπερ οἰόμενος, εἶναι [4] τῶν πινόντων ἕκαστος, ὡς φρόνιμος· διὸ καὶ πολύφωνος ὁ οἶνός ἐστι, καὶ λαλιᾶς ἀκαίρου καὶ φρονήματος ἡγεμονικοῦ καταπίμπλησιν, ὡς οὐκ ἀκούειν, ἀλλ' ἀκούεσθαι μᾶλλον ἡμῖν, καὶ ἄγειν, οὐχ ἕπεσθαι, προσῆκον. Ἀλλὰ γὰρ (ἔφη [5]) τὰ μὲν εἰς τοῦτο ῥαδίως ἄν τις συναγάγοι· δῆλα γάρ ἐστι· τῶν δ' ἐναντίων ἀκουστέον, εἴ τις ἢ νέος προσέστηκεν [6], ἢ πρεσβύτερος.

II. Ἐπιβοῦλως δὴ πάνυ καὶ σοφιστικῶς ὁ ἀδελφὸς ἡμῶν· Οἴει γὰρ ἂν (ἔφη) τινὰ τοὺς ἐνδεχομένους λόγους εὑρεῖν, ἐν τῷ παρόντι καιρῷ πρὸς τὸ πρόβλημα; τοῦ δὲ

1 Cum W. recepi ἀπολύει ex Steph. conjectura pro vulg. ἀπολαύει. Xyl. ἀποπαύει; Leonic. Schott. Anon. Turn. ἀπελαύνει. R. susp. ἀποκλείει.

2 Vulgo τὸν μὲν ἐνδεᾶ. Delevi μὲν R. jubente.

3 Cf. Vol. VII. p. 277. ed. Bip.

4 Vulgo vocabula καίπερ οἰόμενος εἶναι parenthefeos nota concluduntur. Correxi distinctionem e R. mente cum W.

5 R. mavult ἔφην, ut sint verba Plutarchi.

6 W. mavult προέστηκεν.

δὲ Νικοστράτε πάνυ φήσαντος οἴεσθαι, τοσέτων φιλολόγων καὶ φιλοίνων παρόντων, ὑπομειδιάσας ἐκεῖνος· Εἶτα, ἔφη [1], περὶ τέτων μὲν οἴει καὶ σεαυτὸν ἱκανῶς ἂν εἰπεῖν πρὸς ἡμᾶς, πρὸς δὲ πραγματικὴν καὶ πολιτικὴν σκέψιν ἀθέτως ἔχειν διὰ τὸν οἶνον; ἢ τἔτο [2] ὅμοιόν ἐστι τῷ νομίζειν, ὅτι ταῖς ὄψεσιν ὁ πίνων ἐκ εὖ μεταβλέπει [3], αὖθις δὲ τοῖς ὠσὶ παρακέει τῶν ἐντυγχανόντων καὶ διαλεγομένων, τῶν δ' ᾀδόντων καὶ αὐλέντων ἀκριβῶς ἀκέει. ὡς γὰρ ἐνταῦθα μᾶλλον εἰκός ἐστι τῶν γλαφυρῶν τὰ χρειώδη τὴν αἴσθησιν ἐπιστρέφειν, ἕτως καὶ τὴν διάνοιαν. ἐ θαυμάσαιμι δ' ἂν, εἴ τι τῶν φιλοσόφων καὶ περιττῶν ἐκφύγοι παρ' οἶνον [4]. εἰς δὲ πραγματικὰς σκέψεις ἀγομένην, πυκνἕσθαι καὶ συνίστασθαι τῷ φρονεῖν εἰκός ἐστιν· ὥσπερ ὁ Φίλιππος ἐν Χαιρωνείᾳ πολλὰ ληρῶν ὑπὸ μέθης, καὶ καταγέλαστος ὢν, ἅμα τῷ προσπεσεῖν αὐτῷ περὶ σπονδῶν καὶ εἰρήνης λόγον, ἔστησε τὸ πρόσωπον, καὶ συνήγαγε τὰς ὀφρῦς, καὶ τὸ ῥεμβῶδες [5] καὶ ἀκόλαστον ἐκσοβήσας, εὖ

1 Iterum R. susp. ὑπομειδιάσας ἐγώ· εἶτα, ἔφην, ut Plutarchi sit oratio ad fratrem Glauciam conversa.

2 R. susp. ἢ ἐχὶ τἔτο.

3 R. susp. ταῖς μὲν ὄψεσιν ὁ πίνων παραβλέπει, Bas. eo ducente, quae habet πίνων γὰρ εὖ μεταβλέπει, ut παραβλέπειν sit *perperam*, vel *perverse videre*, *falli in cernendo*, sicuti statim παρακέειν, *secus audire*. *vel falsa auribus accipere*. E Turn. quoque & V. notatur παραβλέπει. W. susp. ἐκ εὖ τὸ μέγα βλέπει, ἀλλὰ τὸ μικρὸν, αὖθις, huc ducentibus literarum vestigiis & sententia. Schott. Venet. H. Steph. habent ἐκ; ceteri γὰρ; Xyl. neutrum.

4 Ita Xyl. & H. Steph. dudum monuerunt pro vulg. πάροινον, dedique cum W. e Turn. V. Anon.

5 Ita Xyl. & H. Steph. legi voluerunt pro vulg. ῥομβῶδες, & sic in codd. Turn. & V. fuisse videtur, ex quibus eadem lectio, quae in texto extat, affertur, dedique R. probante, maxime ductus aliis Plutarchi locis, in quibus eadem voce utitur in eadem fere materia, ex. c. Vol. VI. in vit Dion. p. 174. l. 7. W. idem notat ex Anon. rectius forte esse addens vulgato.

εὖ μάλα βεβελευμένην καὶ νήφεσαν ἔδωκε τοῖς Ἀθηναίοις ἀπόκρισιν. καίτοι τὸ πίνειν τῦ μεθύειν διαφέρει, καὶ τὲς μεθύοντας, ὥςε ληρεῖν, οἰόμεθα δεῖν ἀπιόντας καθεύδειν· οἴνῳ δὲ χρωμένες ἐπιπλέον καὶ διαπίνοντας, ἄλλως νῦν ἔχοντας ἄνδρας, ἐκ ἄξιον δεδιέναι, μὴ σφαλῶσι τῷ λογισμῷ, καὶ τὴν ἐμπειρίαν ἀποβάλωσιν, ὁρῶντας [1] ὀρχηςὰς τε καὶ κιθαριςὰς ἐδέν τι χεῖρον ἐν συμποσίοις ἢ θεάτροις πράτ]οντας. ἡ γὰρ ἐμπειρία παρῦσα καὶ τὸ σῶμα ταῖς ἐνεργείαις ὀρθέμενον παρέχει, καὶ συγκινέμενον ἀσφαλῶς· πολλοῖς δ' ἰταμότητα θάρσες συνεργὸν ὁ ἄκρατος, ἐδὲ βδελυρὰν [2] ἐδ' ἄκρατον, ἀλλ' εὔχαριν καὶ πιθανὴν προστίθησιν· ὥσπερ καὶ τὸν Αἰσχύλον ἱςορῦσι τας τραγῳδίας ἐμπίνοντα [3] ποιεῖν, καὶ ἐχ, ὡς Γοργίας εἶπεν, ἓν τῶν δραμάτων αὐτῦ μεςὸν [4] Ἄρεως εἶναι, τὲς ἑπ]ὰ ἐπὶ Θήβας, ἀλλὰ πάντα Διονύσε. θερμαντικὸς [5] γὰρ ὢν, κατὰ τὸν Πλάτωνα, τῆς ψυχῆς μετὰ τῦ σώματος ὁ οἶνος, εὔδρομον τὸ σῶμα ποιεῖ, καὶ πόρες ῥήγνυσι, φαντασιῶν ἐφελκομένων μετὰ τῦ θαῤῥεῖν τὸν λόγον· ἔνιοι γὰρ εὑρετικὴν φύσιν ἔχοντες, ἐν δὲ τῷ νήφειν ἀτολμοτέραν καὶ πεπηγυῖαν, ὅταν εἰς τὸ πίνειν ἔλθωσιν, ὥσπερ ὁ λιβανωτὸς, ὑπὸ θερμότητος ἀναθυμιῶνται· τὸν δὲ δὴ φόβον ἐδενὸς ἧτ]ον ἐμποδὼν ὄντα βελευομένοις ἐξελαύνει, καὶ πολλὰ τῶν ἄλλων παθῶν ἀφιλότιμα καὶ ἀγεννῆ κατασβέννυσι, καὶ τὸ κακόηθες κα-

1 Abest ὁρῶντας ab Ald. & Baſ. Hinc Xyl. notat, ſi non plura, hoc ſaltem deeſſe ὁρῶντας, *cum videamus*. Recepit id H. Steph.

2 R. mavult aut ἐ βδελυρὰν, aut ἀλλ' ἐδὲ βδελ.

3 R. mavult ἐμπιόντα.

4 Dedi ſic, R. jubente, pro vulg. μέγιςον. Probat idem W. ex Ariſtoph. Ran. & vertendo exprimit.

5 Dedi ſic ex H. Steph. mente pro vulg. θερμετικὸς.

καὶ τὸ ὕπουλον ὥσπερ τινὰς διπλόας [1] ἀναπτύσσει τῆς ψυχῆς, καὶ παντὸς ἤθους καὶ πάθους ποιεῖ καταφάνειαν ἐν τοῖς λόγοις· ἔστι δὲ παῤῥησίας, καὶ δι' αὐτὴν ἀληθείας γονιμώτατος· ἧς μὴ παρούσης, οὐδὲν ἐμπειρίας, οὐδ' ἀγχινοίας ὄφελος· ἀλλὰ πολλοὶ τῷ ἐπιόντι [2] χρώμενοι μᾶλλον κατορθοῦσιν, ἢ κρύπτουσιν [3] ἐπιβούλως καὶ πανούργως τὸ παριστάμενον. οὐδὲν οὖν δεῖ δεδιέναι κινοῦντα τὰ πάθη τὸν οἶνον· κινεῖ γὰρ οὐ τὰ φαυλότατα, πλὴν ἐν τοῖς κακίστοις, ὧν οὐδέποτε νήφει τὸ βουλευόμενον· ἀλλ' ὥσπερ τὰ κερεῖα Θεόφραστος εἰώθει καλεῖν ἄοινα συμπόσια, οὕτως ἄοινος ἀεὶ μέθη καὶ σκυθρωπὴ ταῖς τῶν ἀπαιδεύτων ἐνοικεῖ ψυχαῖς, ἐπιταραττομένη ὑπ' ὀργῆς τινος, ἢ δυσμενείας, ἢ φιλονεικίας, ἢ ἀνελευθερίας· ὧν ὁ οἶνος ἀμβλύνων τὰ πολλὰ μᾶλλον, ἢ παροξύνων, οὐκ ἄφρονας οὐδ' ἠλιθίους, ἀλλ' ἁπλοῦς ποιεῖ καὶ ἀπανούργους [4], οὐδὲ παροραττικοὺς τοῦ συμφέροντος, ἀλλὰ τοῦ καλοῦ προαιρετικούς. οἱ δὲ τὴν πανουργίαν δεινότητα, καὶ φρόνησιν ἡγούμενοι τὴν ψευδο-

1 Vulgo διπλοῦς, ad quam vocem Xyl. deesse notat πτύχας vel ὁδοὺς, ita ut alludatur ad tragicum senarium alibi positum, H. Steph. scribendum monuit διπλόας. R. probavit, *plicas*, *sinus* velut in veste, *recessus*. Ita quoque e Turn. & V. notatur. Cf. Suid. in v. διπλόη. Etiam W. lectionem correxit, διπλοὰς exhibens, solo accentu a nostra recedens, consentiente Palat. cum Ruhnk. ad Tim. Lex. Plat. voc. διπλοή. Equidem formam vocis retinendam censui, alibi quoque in Plutarcho obviam.

2 Sic reponendum censuit H. Steph. pro vulg. τῷ ἔπουτι, & est in Anon. Turn. V. dedique R. probante cum W. — *eloquendo ac perficiendo, quidquid in mentem venerit.* Mez. ἀλλὰ πολλοὶ τῷ εἰπόντι χαριζόμενοι μᾶλλον κρύπτουσιν ἐπ. —

3 R. legi voluit ἢ οἱ κρύπτοντες, vel ἢ ὅσοι κρύπτουσιν. Posterius probavit W.

4 Ald. Bas. Xyl. καὶ πανούργους. Steph. dedit vulgatam καὶ οὐ πανούργους ex Leonic. & Schott. Equidem W. sum secutus ita ex E. Palat. Vatic. reponentem.

ψευδοδοξίαν καὶ ἀνελευθερίαν, εἰκότως ἀβελτέρους ἀποφαίνουσι τοὺς ἐν οἴνῳ λέγοντας ἀφελῶς καὶ ἀδόλως τὸ φαινόμενον. τοὐναντίον δὲ οἱ παλαιοὶ τὸν θεὸν Ἐλευθέριον [1] καὶ Λύσιον ἐκάλουν, καὶ μαντικῆς πολλὴν [2] ἔχειν ἡγοῦντο μοῖραν, οὐ διὰ τὸ βακχεύσιμον καὶ μανιῶδες, ὥσπερ Εὐριπίδης [3] εἶπεν, ἀλλ᾽ ὅτι τὸ δουλοπρεπὲς καὶ περιδεὲς καὶ ἄπιστον ἐξαίρων καὶ ἀπολύων τῆς ψυχῆς, ἀληθείᾳ καὶ παῤῥησίᾳ χρῆσθαι πρὸς ἀλλήλους δίδωσιν.

ΠΛΟΥ-

1 Ald. Baf. ἐλευθέρα; Turn. & V. ἐλευθῆρα.

2 Ita R. legendum monuit, dedique W. probante cum Mez. pro vulg. πολλῆς. Vertendo quoque expreffit Xyl.

3 Bacch. v. 298.

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ
## ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

---

## PROOEMIUM.

Οἱ φιλοσοφίαν, ὦ Σόσσιε Σενεκίων, ἐκ τῶν συμποσίων ἐκβάλλοντες ἐ ταὐτὸ ποιοῦσι τοῖς τὸ φῶς ἀναιροῦσιν, ἀλλὰ χεῖρον, ὅσῳ λύχνου μὲν ἀρθέντος οἱ μέτριοι καὶ σώφρονες ὀδὲν ἔσονται κακίες, τὸ αἰδεῖσθαι τοῦ βλέπειν ἀλλήλους μεῖζον ἔχοντες [1]. ἀμαθίας δὲ δὴ καὶ ἀμουσίας σὺν οἴνῳ παρούσης, ὀδὲ ὁ τῆς Ἀθηνᾶς χρυσοῦς [2] λύχνος ἐκεῖνος εὔχαριν ἂν πότον καὶ κόσμιον παράσχοι. σιωπῶντας μὲν γὰρ ἐμπίπλασθαι μετ' ἀλλήλων, κομιδῇ συῶδες, καὶ ἴσως ἀδύνατον· ὁ δὲ λόγον μὲν ἀπολείπων ἐν συμποσίῳ, τὸ δὲ τεταγμένως [3] χρῆσθαι λόγῳ καὶ ὠφελίμως, ὀ προσιέμενος, πολὺ γελοιότερός ἐστι τοῦ πίνειν μὲν οἰομένου δεῖν [4] καὶ τρώγειν τοὺς δειπνοῦντας, ἄκρατον δὲ τὸν οἶνον αὐτοῖς ἐγχέοντος [5], καὶ τὲψον ἀνήδυντον καὶ ἀκάθαρτον παρατιθέντος. οὔτε γὰρ ποτὸν ὀδὲν, οὔτ' ἐδεστὸν, οὕτω ἀηδὲς καὶ βλαβερόν ἐστι μὴ θεραπευθὲν ὃν προσήκει τρό-



1 Post ἔχοντες aliquid R. desiderat, e. c. παίδευμα, vel δίδαγμα, aut σωφρονιστήριον, & ita se hanc sententiam a Plutarcho exspectasse addit: τοῦ αἰδεῖσθαι τὸ σκότος μεῖζον, ἢ τὸ βλέπειν ἀλλήλους, ἔχοντας παίδευμα, *a tenebris magis docti semet revereri, quam a luce, per quam uni alteros intueri possunt.*

2 Vulgo ante χρυσοῦς repetitur artic. ὁ. Eum delendum monuit R. & delevi auctoritate Bas. quae cum Ald. exhibet χρυσὸς pro χρυσοῦς.

3 Ald. τεταγμένον.

4 Pro δεῖν Ald. & Bas. ἀεί.

5 Dedi sic e R. mente pro vulg. ἐγχέοντας.

τρόπον, ὡς λόγος ἀκαίρως [1] καὶ ἀνοήτως ἐν συμποσίῳ περιφερόμενος. τὴν γοῦν μέθην οἱ λοιδοροῦντες φιλόσοφοι λήρησιν πάροινον ἀποκαλοῦσι· τὸ δὲ ληρεῖν οὐδέν ἐστιν ἄλλ' ἢ λόγῳ κενῷ χρῆσθαι καὶ φλυαρώδει· λαλιᾶς δ' ἀτάκτου καὶ φλυαρίας εἰς ἄκρατον ἐμπεσούσης, ὕβρις καὶ παροινία τέλος ἀμουσότατον καὶ ἀχαριστότατον. οὐ φαύλως οὖν καὶ παρ' ἡμῖν ἐν τοῖς Ἀγριωνίοις [2] τὸν Διόνυσον αἱ γυναῖκες ὡς ἀποδεδρακότα ζητοῦσιν· εἶτα παύονται, καὶ λέγουσιν, ὅτι πρὸς τὰς Μούσας καταπέφευγε, καὶ κέκρυπται παρ' ἐκείναις· μετ' ὀλίγον δὲ, τοῦ δείπνου τέλος ἔχοντος, αἰνίγματα καὶ γρίφους ἀλλήλοις προβάλλουσι· τοῦ μυστηρίου διδάσκοντος, ὅτι λόγῳ τε δεῖ χρῆσθαι παρὰ πότον θεωρίαν τινὰ καὶ μοῦσαν ἔχοντι, καὶ λόγου τοιούτου τῇ μέθῃ παρόντος, ἀποκρύπτεται τὸ ἄγριον καὶ μανικὸν, ὑπὸ τῶν Μουσῶν εὐμενῶς κατεχόμενον. ἃ τοίνυν ἐν τοῖς Πλάτωνος γενεθλίοις πέρυσι καὶ ἀκοῦσαι καὶ εἰπεῖν συνέτυχεν ἡμῖν, πρῶτα τοῦτο περιέχει τὸ βιβλίον. ἔστι δὲ τῶν συμποσιακῶν ὄγδοον.

## QUAESTIO I.

### De diebus illustrium quorundam virorum natalibus: simulque de his, quos dii genuisse dicuntur [3].

Τῇ ἕκτῃ τοῦ Θαργηλιῶνος ἱσταμένου, τὴν Σωκράτους ἀγαγόντες γενέθλιον, τῇ ἑβδόμῃ τὴν Πλάτωνος ἤγο-

1 Vulgo καὶ ἀκαίρως. Delevi καὶ cum W. sequente Palat. Vatic. Mez.

2 Sacra Bacchi Agrionii. Cf. Vol. VIII. Quaest. gr. nr. 38. pag. 398. An audacter & praeter necessitatem Ἀγριωνίοις dederim pro vulg. Ἀγρωνίοις, alii judicent? Communem certe appellationem secutus sum. Cf. Vol. VI. in Anton. c. 24. pag. 90. lin. 24.

3 Personae colloquii sunt Diogenianus, Plutarchus, Florus, Tyndares. In Palat. ita bene quaestio haec prima ab exordio distinguitur. Vulgo & in caeteris libris huic praemittitur inscriptio problematis.

ἥγομεν, καὶ τȣ̃το πρῶτον λόγȣς ἡμῖν παρεῖχε τῇ συντυχίᾳ πρέποντας, ὧν κατῆρξε Διογενιανὸς ὁ Περγαμηνός. ἔφη γὰρ, ȣ̓ φαύλως εἰπεῖν Ἴωνα περὶ τῆς Τύχης, ὅτι πολλὰ τῆς σοφίας διαφέρȣσα, πλεῖςα αὐτῇ ὅμοια ποιεῖ [1]. τȣ̃το μέντοι μȣσικῶς ἔοικεν ἀπαυτοματίσαι τὸ μὴ μόνον ȣ̔́τω σύνεγγυς, ἀλλὰ καὶ πρότερον τῇ δόξῃ [2] γεγονέναι τὸν πρεσβύτερον καὶ καθηγητήν. ἐμοὶ δὲ πολλὰ λέγειν ἐπῄει τοῖς παρȣ̃σι τῶν εἰς ταὐτὸ καιρȣ̃ συνδραμόντων· οἷον ἦν τὸ περὶ τῆς Εὐριπίδȣ γενέσεως καὶ τελευτῆς, γενομένȣ μὲν ἡμέρᾳ, καθ᾽ ἣν οἱ Ἕλληνες ἐναυμάχȣν ἐν Σαλαμῖνι πρὸς τὸν Μῆδον [3], αποθανόντος δὲ, καθ᾽ ἣν ἐγεννήθη [4] Διονύσιος ὁ πρεσβύτερος τῶν ἐν Σικελίᾳ τυράννων· ἅμα τῆς τύχης (ὡς Τιμαῖος ἔφη) τὸν μιμητὴν ἐξαγȣ́σης τῶν τραγικῶν παθῶν, καὶ τὸν ἀγωνιςὴν ἐπεισαγȣ́σης. ἐμνήσθησαν δὲ καὶ τῆς Ἀλεξάνδρȣ, τȣ̃ βασιλέως, τελευτῆς, καὶ τῆς Διογένȣς τȣ̃ Κυνὸς ἡμέρᾳ μιᾷ γενομένης. καὶ τὸν μὲν Ἄτταλον ἐν τοῖς ἑαυτȣ̃ γενεθλίοις τὸν βασιλέα τελευτῆσαι συνεφωνεῖτο· Πομπήϊον δὲ Μάγνον οἱ μὲν ἐν τοῖς γενεθλίοις ἔφασαν, οἱ δὲ πρὸ μιᾶς ἡμέρας τῶν γενεθλίων ἀποθανεῖν περὶ Αἴγυπτον. ἧκε δὲ καὶ Πίνδαρος



1 Idem ex eodem poëta affertur Vol. IX. p. 1.

2 R. leg. fufp. τῇ τάξει — *feniorem & magiftrum, Socratem, non folum natum fuiffe die, qui prope abeft a die Platonis natali, fed etiam die, qui in ordine dierum natalem Platonis anteibat.* W. idem probat e Mez.

3 Ald. & Baf. vitiofe δῆμον.

4 Weffeling. ad Diodor. Sic. I, 626. emendat ἐγεννήθη, & τύραννος. Non probat R. cum de diebus natalibus vitae nafcentis & exfpirantis hic agat Plutarchus, & non ftatim uno die perfectus nafcatur aliquis tyrannus. Quare vulgata bene habere ei videtur, & Plutarchus humanum aliquid hic loci admififfe in definiendis temporum rationibus.

δαρος ἐπὶ μνήμην ἐν Πυθίοις [1] γενόμενος πολλῶν καὶ καλῶν ὕμνων τῷ θεῷ χορηγός [2].

II. Ὁ δὲ Φλῶρος, οὐδὲ Καρνεάδην ἀπαξιῶν, ἔφη, μνήμης ἐν τοῖς Πλάτωνος γενεθλίοις, ἄνδρα τῆς Ἀκαδημίας εὐκλεέστατον ὀργιαστήν· Ἀπόλλωνος γὰρ ἀμφοτέρους ἑορτῇ γενέσθαι· τὸν μὲν γὰρ Θαργηλίοις Ἀθήνησι, τὸν δὲ Κάρνεια Κυρηναίων ἀγόντων· ἑβδόμῃ δ' αμφοτέρους ἑορτάζουσι· καὶ τὸν θεὸν, ὡς ταύτῃ γενόμενον, ὑμεῖς (εἶπεν) οἱ προφῆται καὶ οἱ ἱερεῖς ἑβδομαγένην [3] καλεῖτε. διὸ τοὺς Ἀπόλλωνι τὴν Πλάτωνος τέκνωσιν ἀνατιθέντας οὐκ ἂν οἶμαί τινα φάναι καταισχύνειν τὸν θεὸν, ἐπὶ μείζονα πάθη καὶ νοσήματα τοῦτον ἡμῖν διὰ Σωκράτους ἰατρὸν, ὥσπερ ἑτέρου Χείρωνος [4], απειργασμένον. ἅμα δὲ τῆς λεγομένης Ἀρίστωνι, τῷ Πλάτωνος πατρὶ, γενέσθαι καθ' ὕπνον ὄψεως καὶ φωνῆς, ἀπαγορευούσης μὴ συγγενέσθαι τῇ γυναικὶ, μηδὲ ἅψασθαι δέκα μηνῶν, ἐμνημόνευσεν.

III. Ὑπολαβὼν δὲ Τυνδάρης ὁ Λακεδαιμόνιος· Ἄξιον μέν ἐστιν [5] (ἔφη) περὶ Πλάτωνος ᾄδειν, καὶ λέγειν τό·

— Οὐδὲ ἐῴκει
Ἀνδρός γε θνητοῦ παῖς ἔμμεναι, ἀλλὰ θεοῖο [6].

τοῦ

1 Turn. ἐν Πυθίοις ἀποθανὼν, γενόμενος.

2 R. susp. χορηγὸς γεγονὼς, *Pindarus in Pythiis natus, qui tempore post factus fuit* χορηγὸς ὕμνων, h. e. praestitit & suffecit Apollini multos praeclaros hymnos.

3 R. mavult ἑβδομαγενῆ, a quo proxime abest ἑβδομαγένη, quod dant Ald. & Bas.

4 R. judice videtur deesse ἢ Ἀσκληπιὸν, flagitante id præmisso μείζονα. Consentit W. idem vel subaudiendum vel addendum monens.

5 R. legendum censet ἄξιον μὲν οὐκ ἔστιν, ἔφη — ex eo, quod infra sequitur ἀναθαῤῥῶ δὲ πάλιν &c. Aliter W. rem vult expediri pro τοῦ γὰρ θείου deinde legendo τοῦ δὲ θείου.

6 Iliad. XXIV, 259.

τῦ γὰρ θείυ δέδια μὴ δόξῃ τῷ ἀφθάρτῳ [1] μάχεσθαι τὸ γεννῶν ἐχ ἧττον, ἢ τὸ γεννώμενον· μεταβολὴ γάρ τις καὶ αὐτὴ, καὶ πάθος· ὥς πυ καὶ Ἀλέξανδρος ὑπενόησεν, εἰπὼν, μάλιςα θνητὸν καὶ φθαρτὸν ἐπιγινώσκειν ἑαυτὸν ἐν τῷ συγγίνεσθαι [2] γυναιξὶ καὶ καθεύδειν· ὡς τὸν μὲν ὕπνον ἐνδόσει γινόμενον ὑπ' ἀσθενείας, γένεσιν δὲ πᾶσαν οἰκείυ τινὸς εἰς ἕτερον ἔκςασιν καὶ φθορὰν [3] ὖσαν. ἀναθαῤῥῶ δὲ πάλιν αὐτῦ Πλάτωνος ἀκέων, πατέρα καὶ ποιητὴν τῦ τε κόσμυ καὶ τῶν ἄλλων γεννητῶν, τὸν ἀγέννητον καὶ ἀΐδιον θεὸν ὀνομάζοντος, ὐ διὰ σπέρματος δήπυ γενομένων [4], ἄλλῃ δὲ δυνάμει τῦ θεῦ τῇ ὕλῃ γόνιμον ἀρχὴν, ὑφ' ἧς ἔπαθε καὶ μετέβαλεν, ἐντεκόντος.

Πλήθυσι γάρ τοι καὶ ἀνέμων διέξοδοι θήλειαν ὄρνιν,
Πλὴν ὅταν παρῇ τόκος [5].

καὶ ὐθὲν οἴομαι δεινὸν, εἰ μὴ πλησιάζων ὁ θεὸς, ὥσπερ ἄνθρωπος [6], ἀλλὰ ἑτέραις τισὶν ἁφαῖς δι' ἑτέρων καὶ



1 Ita R. versione Xyl. consentiente legendum censuit dedique cum W. accedentibus Mez. & Bryan. ad Vit. Plut. T. I. p. 94.

2 Ald. Bas. συγγίνεσθαι, unde in rell. datur συγγίνεσθαι, excepta R. quae habet συγγίνεσθαι cum Turn. Ex eodem statim notatur ἐνδόσειν.

3 Dedi sic e R. mente, cum duo haec vocabula saepius juncta legantur hoc sensu, sicuti ipsa verba ἐξίςημι & φθείρω. Ald. Bas. καταφθορὰν ὖσαν; Steph. & rell. ἔκςασιν κατὰ φθορὰν. Turn. V. ἔκςασιν καὶ καταφθορὰν; Minus bene perspicueque haec ita notata leguntur in W. „καὶ φθορὰν T. V. Anon. κατὰ φθορὰν Xyl. Mez."

4 Dedi sic e H. Steph. mente, firmata codd. Turn. & V. pro vulg. γενόμενον.

5 Hos versus distinguendo secutus sum W. Aliter eos distingui & legi voluit Steph:

Πλήθυσι γάρ τοι κἀνέμων διέξοδοι
Θήλειαν ὄρνιν, πλὴν ὅταν παρῇ τόκος.

6 Ald. Bas. ἀνθρώποις. Turn. deinde & Bong. γονῆς pro γονῦς.

ψαύσεσι τρέπει, καὶ ὑποπίμπλησι θειοτέρας γονῆς τὸ θνητόν. καὶ ἐκ ἐμὸς ὁ μῦθος, εἶπεν, ἀλλ' Αἰγύπτιοι τόν τ' Ἄπιν ὅτως λοχεύεσθαί φασιν ἐπαφῇ τῆς σελήνης· καὶ ὅλως ἄῤῥενι θεῷ πρὸς γυναῖκα θνητὴν ἀπολείπεσιν [1] ὁμιλίαν· ἀνάπαλιν δ' ἐκ ἂν οἴονται, θνητὸν ἄνδρα θηλείᾳ θεῷ τόκε καὶ κυήσεως ἀρχὴν παρασχεῖν, διὰ τὸ τὰς ἐσίας [2] τῶν θεῶν ἐν ἀέρι καὶ πνεύμασι καὶ τισὶ θερμότησι καὶ ὑγρότησι τίθεσθαι.

## QUAESTIO II.

### Qua ratione dixerit Plato, Deum semper geometriam tractare [3]?

Ἐκ δὲ τέτε γενομένης σιωπῆς, πάλιν ὁ Διογενιανὸς ἀρξάμενος· Βέλεσθε, (εἶπεν) ἐπεὶ λόγοι περὶ θεῶν γεγόνασιν, ἐν τοῖς Πλάτωνος γενεθλίοις αὐτὸν Πλάτωνα κοινωνὸν παραλάβωμεν, ἐπισκεψάμενοι, τίνα λαβὼν γνώμην ἀπεφήνατο ἀεὶ [4] γεωμετρεῖν τὸν θεόν; εἴ γε δὴ θετέον εἶναι τὴν ἀπόφασιν [5] ταύτην Πλάτωνος. ἐμῦ δὲ ταῦτ' εἰπόντος ὡς γέγραπται [6] μὲν ἐν ἐδενὶ σαφῶς τῶν ἐκείνε βιβλίων, ἔχει δὲ πίστιν ἱκανήν,

1 R. aut ἐκ ἀπολ. legendum, aut ibi omissa negatione addendum ἀδεμίαν post ὁμιλίαν censet. Ald. Bas. ἀπολιπῦσι.

2 Cum W. recepi conjecturam Junii, probatam Stephano, Bryano Vit. Plut. T. II. p. 584. & R. Ex codice quodam P. affert Mez. θηλείας. Vulgo omnes libri θυσίας.

3 Personae colloquii sunt Diogenianus, Tyndares, Florus, Autobulus.

4 Vulgo non legitur ἀεί. Id addendum censuerunt Mez. & R. & vertendo exprimit Xyl.

5 Leonic. ἀπόφανσιν; forte rectius, W. judice.

6 Notandam monet R. verborum trajectionem, quae planius sic decurrissent: ἐμῦ δὲ εἰπόντος, ὡς ταῦτα γέγρ. μὲν. Mavult tamen ἐμῦ δὲ πρὸς ταῦτα εἰπόντος, vel ἐπειπόντος, *cum dictis addidissem*. Etiam Mez. reponit ταῦτα post ὡς, quod W. probat.

νὴν, καὶ τοῦ Πλατωνικοῦ χαρακτῆρός ἐστιν· εὐθὺς ὑπολαβὼν ὁ Τυνδάρης· Οἴει γὰρ, (εἶπεν) ὦ Διογενιανὲ, τῶν περιττῶν τι καὶ δυσθεωρήτων αἰνίττεσθαι τὸν λόγον, οὐχ ὅπερ αὐτὸς εἴρηκε καὶ γέγραφε πολλάκις, ὑμνῶν γεωμετρίαν, ὡς ἀποσπῶσαν προσισχομένους [1] τῇ αἰσθήσει, καὶ ἀποστρέφουσαν ἐπὶ τὴν νοητὴν καὶ ἀΐδιον φύσιν, ἧς θέα τέλος ἐστὶ φιλοσοφίας, οἷον ἐποπτεία τελετῆς [2]. ὁ γὰρ ἡδονῆς καὶ ἀλγηδόνος ἧλος, ὃς [3] πρὸς τὸ σῶμα τὴν ψυχὴν προσηλοῖ, μέγιστον κακὸν ἔχειν ἔοικε, τὸ τὰ αἰσθητὰ ποιεῖν ἐναργέστερα τῶν νοητῶν, καὶ καταβιάζεσθαι πάθει [4] μᾶλλον ἢ λόγῳ κρίνειν τὴν διάνοιαν· ἐθιζομένη γὰρ ὑπὸ τοῦ σφόδρα πονεῖν καὶ ἥδεσθαι τῷ περὶ τὰ σώματα πλανητῷ καὶ μεταβλητῷ προσέχειν ὡς ὄντι [5], τοῦ ἀληθῶς ὄντος τυφλοῦται, καὶ τὸ μυρίων ἀντάξιον ὀμμάτων [6] ὄργανον ψυχῆς καὶ φέγγος ἀπόλλυσιν, ᾧ μόνῳ θεατόν ἐστι τὸ θεῖον. πᾶσι μὲν οὖν τοῖς καλουμένοις μαθήμασιν, ὥσπερ ἀστραβέσι καὶ λείοις κατόπτροις, ἐμφαίνεται



1 Sic H. Steph. & R. legendum cenfuerunt, & dedi. Idem W. repofuit auctoritate Anon. Turn. & V. at ex duobus hisce codd. enotatur προϊσχομένοις. Vulgo προισχομένους.

2 Ald. Baf. τελευτῆς. Xyl. correxit docens, ἐποπτείαν effe ipforum jam arcanorum infpectionem facrorum, qua initiatis frui ftatim non licuit.

3 Pro ὃς Ald. Baf. ᾧ.

4 Vulgo καὶ πάθει. Hoc καὶ abundare monuit Xyl. & de levi, R. probante, *cogere intellectum ad judicium ex affectu, non ex ratione, ferendum.*

5 R. fic ordinanda haec verba fufpicatur: ὑπὸ τοῦ σφόδρα πονεῖν περὶ τὰ σώματα, καὶ ἥδεσθαι τῷ περὶ αὐτὰ πλανητῷ καὶ μεταβλητῷ, καὶ προσέχειν αὐτῷ ὡς ὄντι.

6 Ald. & Baf. cum omnibus ante Steph. editis & fcriptis libris ὀνομάτων. Xyl. legit ὀμμάτων, ut vifus cum mente fit comparatio. R. fufp. μυρίων ἀντάξιον ὀμμάτων ὄμμα τῆς ψυχῆς. Steph. e Leonic. & Schott. dedit σωμάτων, quod vulgo legitur, & pro quo cum W. ὀμμάτων ex Platone & V. reftitui, confentiente Mez.

τῆς τῶν νοητῶν ἀληθείας ἴχνη [1] καὶ εἴδωλα· μάλιςα δὲ γεωμετρία, κατὰ τὸν Φίλωνα, ἀρχὴ καὶ μητρόπολις ἔσα τῶν ἄλλων, ἐπανάγει καὶ ςρέφει τὴν διάνοιαν, οἷον ἐκκαθαιρομένην καὶ ἀπολυομένην ἀτρέμα τῆς αἰθήσεως. διὸ καὶ Πλάτων αὐτὸς ἐμέμψατο τὰς περὶ Εὔδοξον καὶ Ἀρχύταν καὶ Μέναιχμον εἰς ὀργανικὰς καὶ μηχανικὰς κατασκευὰς τὸν τῦ ςερεῦ διπλασιασμὸν ἀπάγειν ἐπιχειρῦντας, (ὥσπερ πειρωμένυς διαλόγυ δύο μέσας ἀνάλογον μὴ παρείκοι λαβεῖν [2]) απόλλυσθαι γὰρ ὕτω καὶ διαφθείρεσθαι τὸ γεωμετρίας ἀγαθὸν αὖθις ἐπὶ τὰ αἰσθητὰ παλινδρομέσης, καὶ μὴ φερομένης ἄνω, μηδ' ἀντιλαμβανομένης τῶν ἀϊδίων καὶ ἀσωμάτων εἰκόνων, πρὸς οἷσπερ ὢν ὁ θεὸς, ἀεὶ θεός ἐςι.

II. Μετὰ δὲ τὸν Τυνδάρην ὁ Φλῶρος, ἑταῖρος ὢν [3] αὐτῦ, καὶ προσποιύμενος αεὶ μετὰ παιδιᾶς ἐραςὴς εἶναι, καὶ φάσκων· Ὤνησας (ἔφη) τὸν λόγον ὐ σεαυτῦ ποιησάμενος, ἀλλὰ κοινόν· ἐλέγξαι γὰρ ἔδωκας αὐτὸν ἀποδεικνύοντα [4], μὴ θεοῖς ὖσαν ἀλλ' ἡμῖν ἀναγκαίαν τὴν γεωμετρίαν· ὐ γάρ τι πυ καὶ θεὸς δεῖται μαθήματος, οἷον ὀργάνυ ςρέφοντος ἀπὸ τῶν γεννητῶν καὶ περιάγοντος ἐπὶ τὰ ὄντα τὴν διάνοιαν. ἐν αὐτῷ γὰρ ἐςιν ἐκεῖνα [5], καὶ σὺν αὐτῷ, καὶ περὶ αὐτόν.

1 Vulgo καὶ ἴχνη. R. delendum monuit καὶ, & delevi cum W. sequente Palat.

2 Ita, W. teste, omnes libri: nisi quod loco ὥσπερ habent ὅπερ Ald. Bas. Xyl. Palat. Vatic. & ex Turn, affertur ὥσπερ πειρωμένοι (sic) διὰ λόγυ. Xyl. nimis depravata haec esse monuit, & fidem codd. implorandam. Kaltw. ea omittit. W. putat notulam esse quondam a librario vel libri domino in margine scriptam, postea temere describendo in Plutarcheum opus illatam, eamque corruptam. Hinc uncis inclusi.

3 Pro ὢν Ald. ἦν.

4 W. susp. ἀποδεικνύοντι — *refellendam ei qui velit* ostendere.

5 Sic dedi, praeeunte Xyl. versione, e V. pro vulg. ἐκείνῳ. Etiam W. aut ἐκεῖνα aut αὐτὰ legendum suspicatur.

αὐτόν. ἀλλ' ὅρα, μή τι σοι προσῆκον ὁ Πλάτων καὶ οἰκεῖον αἰνιττόμενος λέληθεν, ἅτε δὴ τῷ Σωκράτει τὸν Λυκῦργον ἀναμιγνὺς, ἐχ ἧττον, ἢ τὸν Πυθαγόραν, ᾤετο Δικαίαρχος. ὁ γὰρ Λυκῦργος, οἶθα δήπεθεν, ὅτι τὴν ἀριθμητικὴν ἀναλογίαν, ὡς δημοκρατικὴν καὶ ὀχλικὴν ἔσαν, ἐξέβαλεν ἐκ τῆς Λακεδαίμονος· ἐπεισήγαγε δὲ τὴν γεωμετρικὴν, ὀλιγαρχίᾳ σώφρονι καὶ βασιλείᾳ νομίμῃ πρέπεσαν· ἡ μὲν γὰρ ἀριθμῷ τὸ ἴσον, ἡ δὲ λόγῳ τὸ κατ' ἀξίαν ἀπονέμει· καὶ ἐ πάντα ὁμῦ μίγνυσιν, ἀλλά ἐςι χρηςῶν καὶ πονηρῶν εὔσημος ἐν αὐτῇ [1] διάκρισις, ἐ ζυγοῖς, ἐδὲ κλήροις, ἀρετῆς δὲ καὶ κακίας διαφορᾷ τὸ οἰκεῖον ἀεὶ διαλαγχανόντων. ταύτην ὁ θεὸς ἐπάγει τὴν ἀναλογίαν τοῖς πράγμασι, δίκην καὶ νέμεσιν, ὦ φίλε Τυνδάρη, προσαγορευομένην, καὶ διδάσκεσαν ἡμᾶς, τὸ δίκαιον ἴσον, ἀλλὰ μὴ τὸ ἴσον δεῖν ποιεῖσθαι δίκαιον· ἣν γὰρ οἱ πολλοὶ διώκεσιν ἰσότητα, πασῶν ἀδικιῶν ἔσαν μεγίςην, ὁ θεὸς ἐξαίρων ὡς ἀνυςόν ἐςι, τὸ κατ' ἀξίαν διαφυλάττει, γεωμετρικῶς τῷ κατὰ λόγον καὶ κατὰ νόμον [2] ὁριζόμενος.

III. Ταῦτα ἡμεῖς ἐπῃνῦμεν. ὁ δὲ Τυνδάρης φθονεῖν ἔφασκε, καὶ παρεκάλει τὸν Αὐτόβελον ἅψασθαι Φλώρε, καὶ κολάσαι τὸν λόγον. ὁ δὲ τῦτο μὲν ἀπεῖπεν, ἰδίαν δέ τινα δόξαν ἀντιπαρήγαγεν. ἔφη γὰρ, ἐ τόπων [3] γεωμετρίαν, ἢ ἄλλε τινὸς, ἢ τῶν περὶ τὰ πέρατα συμπτωμάτων καὶ παθῶν εἶναι θεωρητικὴν, ἔτε θεὸν

1 Ita W. cum Mez. legendum monuit, dedique pro vulg. ἐν αὐτῷ. Mox Ald. διαφοραί. Turn. διαφορᾶς, utrumque mendose.

2 W. susp. τὸ κατὰ νόμον pro καὶ κ. ν.

3 Ald. Bas. τόπον. Hinc Xyl. absurdam esse hanc lectionem notat, & legendum conjicit ἔφη γὰρ ἔτε τὴν γεωμετρίαν ἄλλε τινὸς, ἢ &c. Ex Turn. autem & V. notatur: ἔτω τὴν γεωμετρίαν ἐκ ἄλλε τινὸς, vel ἢ γὰρ ἐ τὴν γεωμετρίαν. Cum Xyl. consentit W. libros variare monens.

θεὸν ἑτέρῳ τινὶ τρόπῳ κοσμοποιεῖν, ἢ περατῦντα τὴν ὕλην ἄπειρον ἦσαν, ἐ μεγέθει καὶ πλήθει, διὰ δ' αταξίαν καὶ πλημμέλειαν αὐτῆς τὸ ἀόριστον [1] καὶ ἀπερατώτατον, ἄπειρον εἰωθότων καλεῖν τῶν παλαιῶν. καὶ γὰρ ἡ μορφὴ καὶ τὸ σχῆμα πέρας ἐστὶ τῦ μεμορφωμένυ καὶ ἐσχηματισμένυ παντὸς, ὧν στερήσει καθ' αὐτὴν ἄμορφος ἦν καὶ ἀσχημάτιστος· ἀριθμῶν δὲ καὶ λόγων ἐγγινομένων, οἷον δεθεῖσα καὶ περιληφθεῖσα γραμμαῖς, ἐκ δὲ τῶν γραμμῶν ἐπιπέδοις καὶ βαθέσιν, εἴδη τὰ πρῶτα καὶ διαφορὰς σωμάτων, ὥσπερ θεμελίων, παρέσχε πρὸς γένεσιν ἀέρος καὶ γῆς, ὕδατός τε καὶ πυρός. ὀκταέδρων γὰρ καὶ εἰκοσαέδρων, ἔτι δὲ πυραμίδων καὶ κύβων, ἰσότητας ἐν πλευραῖς, καὶ ὁμοιότητας ἐν γωνίαις, καὶ ἁρμονίας ἀναχεῖν, ἐξ ὕλης ἀτάκτυ καὶ πλανητῆς, ἄνευ τῦ περιορίζοντος καὶ διαρθρῦντος ἕκαστα γεωμετρικῶς, ἄπορον ἦν καὶ ἀδύνατον. ὅθεν ἀπείρῳ πέρατος ἐγγενομένυ, τὸ πᾶν [2] ἡρμοσμένον καὶ κεκραμένον ἄριστα καὶ πεπερασμένον γέγονέ τε καὶ γίνεται· τῆς μὲν ὕλης ἀεὶ βιαζομένης εἰς τὸ ἀόριστον ἀναδῦναι, καὶ φευγύσης τὸ γεωμετρεῖσθαι· τῦ δὲ λόγυ καταλαμβάνοντος αὐτὴν καὶ περιγράφοντος, καὶ διανέμοντος εἰς ἰδέας καὶ διαφορὰς, ἐξ ὧν τὰ φυόμενα πάντα τὴν γένεσιν ἔσχε καὶ σύστασιν.

IV. Ἐπὶ τύτοις ῥηθεῖσιν ἠξίυ [3] καὶ ἐμὲ συμβαλέσθαι τι πρὸς τὸν λόγον αὐτοῖς. ἐγὼ δὲ τὰς μὲν εἰρημένας δόξας, ὡς ἰθαγενεῖς, καὶ ἰδίας [4] αὐτῶν ἐκείνων ἐπῄνεσα, καὶ τὸ εἰκὸς, ἔφην, ἔχειν ἱκανῶς. ὅπως δὲ (εἶπον) ἑαυτῶν μὴ καταφρονῆτε, μηδ' ἔξω βλέπητε παν-

1 Ald. Bas. τὸ ἄριστον; Xyl. correxit.

2 Sic recte legitur in R. quod Bas. exhibet, cum rell. habent τὸν πᾶν. Correxit quoque W. e Xyl. Venet. Palat. Vatic. Mez.

3 Mez. ἠξίυν.

4 Praestare mihi visum est, sequi lectionem hanc Palat. quam retinere vulgatam ἰδίαι, licet quodam modo defendendam.

παντάπασιν, ἀκέσατε τὸν μάλιςα παρὰ τοῖς καθηγηταῖς ἡμῶν εὐδοκιμȣ̃ντα περὶ τȣ́τȣ λόγον. ἔςι γὰρ ἐν τοῖς γεωμετρικωτάτοις θεωρήμασι, μᾶλλον δὲ προβλήμασι, τὸ, δυεῖν εἰδῶν δοθέντων ἄλλο τρίτον [1] παραβάλλειν, τῷ μὲν ἴσον, τῷ δὲ ὅμοιον· ἐφ' ᾧ καὶ φασὶν ἐξευρεθέντι θῦσαι τὸν Πυθαγόραν. πολὺ γὰρ ἀμέλει γλαφυρότερον τȣ̃το καὶ μȣσικώτερον ἐκείνȣ τȣ̃ θεωρήματος, ὃ τὴν [2] ὑποτείνȣσαν ἀπέδειξε ταῖς περὶ τὴν ὀρθὴν ἴσον δυναμένην. Εὖ λέγεις· (εἶπεν ὁ Διογενιανὸς) ἀλλὰ τί τȣ̃το πρὸς τὸν λογον; Εἴσεσθε ῥᾳδίως (εἶπον) ἀναμνήσαντες αὐτȣ̀ς τῆς ἐν Τιμαίῳ διαιρέσεως, ᾗ διεῖλε τριχῆ τὰ πρῶτα, ὑφ' ὧν [3] τὴν γένεσιν ὁ κόσμος ἔχεν, ὧν τὸ μὲν θεὸν τῷ δικαιοτάτῳ τῶν ὀνομάτων, τὸ δὲ ὕλην, τὸ δὲ ἰδέαν, καλȣ̃μεν. ἡ μὲν ȣ̃ν ὕλη [4], τῶν ὑποκειμένων ἀτακτότατόν ἐςιν. ἡ δ' ἰδέα, τῶν παραδειγμάτων κάλλιςον· ὁ δὲ θεὸς, τῶν αἰτίων ἄριςον. ἐβȣ́λετο ȣ̃ν μηθὲν, ὡς ἀνυςὸν ἦν, ὑπολιπεῖν (ὁριςὸν καὶ [5]) ἀόριςον, ἀλλὰ κοσμῆσαι λόγῳ καὶ μέτρῳ καὶ ἀριθμῷ τὴν φύσιν· ἕν τι ποιῶν ἐκ πάντων ὁμȣ̃ τῶν ὑποκειμένων, οἷον ἰδέα καὶ ὅσον ἡ ὕλη γενόμενον [6]. διὸ τȣ̃το πρόβλημα δȣ̃σα αὐτῷ [7], δυεῖν

1 Pro ἄλλο τρίτον Ald. & Baf. ἀλλότριον. Xyl. correxit. Dedi porro τῷ μὲν, τῷ δὲ, quod Xyl. voluit, cum W. idem e Xyl. Leonic. Schott. Anon. Turn. Mez. fumente, pro vulg. τὸ μὲν, τὸ δὲ. Notatur nimirum e Turn. V. Bong. τὸ μὲν ἴσον, τῷ δὲ ὅμοιον, hisce e Turn. adjunctis: forte τῷ μὲν καὶ τῷ δὲ.

2 W. fufp. ᾧ τὴν.

3 Ita e Mez. recepi pro vulg. ὑφ' ȣ̃.

4 Vulgo locus ita eſt conſtitutus: τὸ δὲ ἰδέαν. καλȣμένη μὲν ȣ̃ν ὕλη. Jam Xyl. corrigendum monuit, & conſentiunt Turn. V. R. dedique cum W. accedentibus Anon. & Mez.

5 Has voces ὁριςὸν καὶ, quas uncis incluſi, ut ſententiae contrarias, delent Xyl. Mez. & R. Pro ὁριςὸν H. Steph. aliud adjectivum reponendum cenſuit, e. c. ἀπέραντον vel ἄτακτον. Notantur haec e Turn. & V. Judice W. forte ſolum καὶ delendum.

6 Ald. Baf. γενομένη.

7 W. fufp. λύσας αὐτός.

δυεῖν ὄντων, τρίτον ἐποίησε καὶ ποιεῖ, καὶ φυλάττει διαπαντὸς τὸ ἴσον [1] τῇ ὕλῃ, καὶ ὅμοιον τῇ ἰδέᾳ τὸν κόσμον· ἀεὶ γὰρ ἂν διὰ τὴν σύμφυτον ἀνάγκην τοῦ σώματος, ἐν γενέσει καὶ μετατροπῇ καὶ πάθεσι παντοδαποῖς, ὑπὸ τοῦ πατρὸς καὶ δημιουργοῦ βοηθεῖται [2] τῷ λόγῳ πρὸς τὸ παράδειγμα τὴν οὐσίαν ὁρίζοντος· ἢ καὶ [3] κάλλιον τοῦ συμμέτρου τὸ περίμετρον τῶν ὄντων.

## QUAESTIO III.

Cur nox sonos facilius reddat, quam dies [4]?

Θόρυβός τις, ἑστιωμένων ἡμῶν Ἀθήνῃσι παρ' Ἀμμωνίῳ, τὴν οἰκίαν περιήχησεν, ἔξωθεν ἐπιβοωμένων τὸν στρατηγόν· ἐστρατήγει δὲ τὸ τρίτον ὁ Ἀμμώνιος. ἐπεὶ δὲ πέμψας τῶν περὶ αὐτὸν τινὰς ἔπαυσε τὴν ταραχὴν, καὶ παρέπεμψαν τοὺς ἀνθρώπους, ἐζητοῦμεν ἡμεῖς, διὰ τί τῶν ἔξωθεν ὄντων συνεξακούουσιν οἱ ἐντὸς, οἱ δ' ἔξω τῶν ἐντὸς οὐχ ὁμοίως. καὶ ὁ Αμμώνιος ἔφη, τοῦτο μὲν ὑπ' Ἀριστοτέλους λελύσθαι· τὴν γὰρ φωνὴν τῶν ἔνδον ἔξω φερομένην εἰς ἀέρα πολὺν καὶ ἀναπεπταμένον εὐθὺς ἐξαμαυροῦσθαι καὶ διασπείρεσθαι· τὴν δ' ἔξωθεν εἴσω κατιοῦσαν, οὐδὲν τοιοῦτο πάσχειν, ἀλλὰ συνέχεσθαι καὶ διαμένειν εὔσημον· ἐκεῖνο δὲ μᾶλλον λόγου δεῖσθαι, τὸ νυκτὸς ἠχωδεστέρας εἶναι τὰς φωνὰς, καὶ πρὸς τῷ μεγέθει τὴν τρανότητα καθαρῶς συνδιαφυλάττειν. Ἐμοὶ μὲν οὖν (εἶπεν) ὁ φαύλως

1 W. deleri vult τὸ cum Mez.

2 W. sum secutus, ita dantem e Palat. Vatic. Venet. H. Mez. pro vulg. βοηθεῖσθαι.

3 W. iterum sum secutus, ita reponentem ex Anon. Turn. V. Mez. pro vulg. ἢ καὶ — *unde etiam pulchrius id, quod rerum mensuram complectitur, quam id quod eam aequat.* Addit simul W. aliquid ad nexum deesse videri.

4 Personae colloquii sunt Ammonius, Boëthus, Plutarchus, Thrasyllus, Aristodemus.

λως ἡ πρόνοια δοκεῖ μεμηχανῆσθαι τῇ ἀκοῇ σαφήνειαν, ὅτε τῆς ὄψεως ἀδὲν ἢ κομιδῇ τι μικρὸν ἔργον ἐςί· σκοτεινὸς γὰρ ὢν ὁ ἀὴρ κατ' Ἐμπεδοκλέα,

Νυκτὸς ἐρημαίης ἀλαώπιδος [1],

ὅσον τῶν ὀμμάτων ἀφαιρεῖται τᾶ προαισθάνεσθαι, διὰ τῶν ὤτων αποδίδωσιν. ἐπεὶ δὲ δεῖ καὶ τὰ δι' ἀνάγκης φύσει περαινόμενα τῶν αἰτίων ἀνευρίσκειν, καὶ τᾶτο τᾶ φυσικᾶ ἴδιόν ἐςιν, ἡ πρὸς τὰς ὑλικὰς καὶ ὀργανικὰς ἀρχὰς πραγματεία· τίς ἂν (ἔφη) πρῶτος ἡμῶν εὐπορήσειε λόγα τὸ πιθανὸν ἔχοντος.

II. Ἡσυχίας δὲ γενομένης, Βόηθος ἔφη, νέος μὲν ὢν ἔτι καὶ σοφιςεύων ἀπὸ [2] γεωμετρίας αἰτήμασι χρῆσθαι, καὶ λαμβάνειν ἀναποδείκτας ὑποθέσεις, νῦν δὲ χρήσεσθαί [3] τισι τῶν προαποδεδειγμένων ὑπ' Ἐπικάρα. Φέρεται τὰ ὄντα ἐν τῷ μὴ ὄντι· πολὺ γὰρ κενὸν ἐνδιέσπαρται καὶ μέμικται ταῖς τᾶ ἀέρος ἀτόμοις· ὅταν μὲν ἂν ᾖ διακεχυμένος, καὶ πλάτος ἔχων, καὶ περιδρομὴν ὑπὸ μανότητος, μικρὰ καὶ λεπτὰ τὰ μεταξὺ τῶν μορίων κενὰ λείπεται, καὶ πολλὴν αἱ ἄτομοι ἐγκατεσπαρμένην [4] χώραν ἐπέχασιν· ὅταν δὲ συςαλῇ [5] καὶ

1 Ita, me quidem judice, bene monuit legendum Xyl. pro vulg. ἀγλαώπιδος.

2 Mez. τοῖς ἀπ. γ. αἰ.

3 Dedi fic e R. mente pro vulg. χρήσασθαι. Ald. νῦν ἰδὲ χρήσασθαι. Turn. οἶδα vel νῦν δὲ χρήσεσθαι. Etiam W. fufp. χρήσεσθαι.

4 Vulgo legitur πολὺν, loco afterifcis notato. Hinc Xyl. notat, fe nefcire, an aliquid defit, fi πολλὴν legas. H. Steph. tefte, a quibusdam ifta lectio affertur: πολὺν ἄτομοι ἐγκατεσπαρμέναι; Turn. V. καὶ πολλὴν ἄτομοι ἐγκατεσπαρμένον χώραν; R. fufp. ἃ πολλὴν κατεσπαρμένα χώραν ἐπέχει. W. fum fecutus, ita reponentem e Palat. nifi quod fine ἐγ. habet ultimam vocem. Lectio Anon. confentit cum Turn. & V. Addit tamen W. vel fic vitium refidere in antecedentibus forte ita corrigendum ὑπὸ μανότητος μικρὰ καὶ πλατέα τὰ μεταξὺ τ. μ.

5 Mez. συςολῇ.

καὶ πίλησις εἰς ὀλίγον αὐτῶν γένηται, καὶ συμπέσωσιν ἀποβιασθεῖσαι πρὸς ἀλλήλας, πολλὴν εὐρυχωρίαν ἔξω καὶ διασπάσεις [1] μεγάλας ποιοῦσι· τοῦτο δὲ γίνεται νυκτὸς ὑπὸ ψυχρότητος· ἡ γὰρ θερμότης χαλᾷ καὶ διΐστησι καὶ λύει τὰς πυκνώσεις· διὸ πλείονα τόπον τὰ ζέοντα καὶ μαλασσόμενα καὶ τηκόμενα τῶν σωμάτων ἐπιλαμβάνει· καὶ τοὐναντίον αὖ πάλιν τὰ πηγνύμενα καὶ ψυχόμενα συγχωρεῖ πρὸς ἄλληλα καὶ συνάγεται, καὶ ἀπολείπει κενότητας [2] ἐν τοῖς περιέχουσιν ἀγγείοις καὶ τόποις, ἐξ ἂν ὑποκεχώρηκεν. ἡ δὲ φωνὴ προσφερομένη καὶ προστυγχάνουσα σώμασι πολλοῖς καὶ ἀθρόοις, ἢ τυφλοῦται παντάπασιν, ἢ διασπάσματα λαμβάνει καὶ [3] μεγάλας καὶ πολλὰς ἀντικρούσεις καὶ διατριβάς· ἐν δὲ κενῷ καὶ σωμάτων ἐρήμῳ διαστήματι λεῖον δρόμον ἔχουσα καὶ συνεχῆ καὶ ἄπταιστον ἐξικνεῖται πρὸς τὴν ἀκοήν, ὑπὸ τάχους ἅμα τῷ λόγῳ διασώζουσα τὴν σαφήνειαν. ὁρᾷς γάρ, ὅτι καὶ τῶν ἀγγείων τὰ κενὰ πληττόμενα, μᾶλλον ὑπακούει πληγαῖς, καὶ τὸν ἦχον ἀποτείνει μακράν, πολλάκις δὲ καὶ κύκλῳ περιφερόμενον διαδίδωσι πολύ [4]. τὸ δ' ἀγγεῖον ἐμπλησθέν, ἢ στερεοῦ σώματος, ἤ τινος ὑγροῦ, παντάπασι γίνεται κωφὸν καὶ ἄναυδον, ὁδὸν οὐκ ἐχούσης οὐδὲ χώραν, ᾗ δίεισι, τῆς φωνῆς. αὐτῶν δὲ τῶν σωμάτων χρυσὸς μὲν καὶ λίθος ὑπὸ πληρότητος ἰσχνόφωνα καὶ δυσηχῆ, καὶ ταχὺ κατασβέννυσι τοὺς φθόγγους ἐν αὐτοῖς· εὔφωνος δὲ καὶ λάλος ὁ χαλκός, ᾗ πολύκενος καὶ ὄγκον ἐλαφρὸς καὶ λεπτός, οὐ πολλοῖς συντεθλιμμένος

1 W. mavult διαστάσεις.

2 Vulgo καὶ κενότητας. R. καὶ deleri voluit, & abest a Bas. Delevi cum W. Mez. sequente.

3 Abest hoc καὶ ab Ald. & Bas. E. Turn. notatur, & μεγάλα pro μεγάλας.

4 R. susp. διαδίδωσιν ἐπὶ πολύ; W. autem πολὺν pro πολύ.

μένος ἐπαλλήλοις σώμασιν, ἀλλ' ἄφθονον [1] ἔχων τὸ τῆς ἐπιεικῶς καὶ ἀναφῶς μεμιγμένου ᾽ϛσίας, ἢ ταῖς τ' ἄλλαις κινήσεσιν εὐπορίαν δίδωσι, τήν τε φωνὴν εὐμενῶς ὑπολαμβάνυσα παρ.πέμπει· μέχρις ἂν ἀψάμενός [2] τις ὥσπερ ἐν ὁδῷ καταλάβῃ καὶ τυφλώσῃ τὸ κενόν· ἐνταῦθα δ' ἔςη καὶ ἀπεπαύσατο τῦ πρόσω χωρεῖν, διὰ τὴν ἀντίφραξιν [3]. ταῦτα (ἔφη) δοκεῖ μοι τὴν νύκτα ποιεῖν ἠχώδη, τὴν δὲ ἡμέραν ἧττον θερμότητι καὶ διαλύσει τῦ ἀέρος μακρὰ τὰ διαςήματα τῶν ἀτόμων ποιῦσαν. μόνον (ἔφη) μηδεὶς ἐνιςάσθω πρὸς τὰς πρώτας ὑποθέσεις.

III. Κἀγὼ, τῦ Ἀμμωνίυ κελεύοντος εἰπεῖν τι πρὸς αὐτὸν, αἱ μὲν πρῶταί σε τῶν ὑποθέσεων, (ἔφην) ὦ φίλε Βόηθε, περὶ πολὺ [4] τὸ κενὸν ἔχυσαι, μενέτωσαν· τῇ δὲ φωνῇ τὸ κενὸν ἐκ ὀρθῶς πρὸς σωτηρίαν [5] καὶ κίνησιν ὑποτίθεσθε [6]. σιωπῆς γὰρ οἰκεῖον καὶ ἡσυχίας τὸ ἀναφὲς καὶ ἀπαθὲς καὶ ἄπληκτον· ἡ δὲ φωνὴ, πληγὴ σώματος διηχῦς· διηχὲς δὲ τὸ συμπαθὲς αὐτῷ

1 Sic, R. probante, cum W. repofui ex Baf. Xyl. Turn, Prope accedit Ald. ἀλλὰ φθόνον; Vulgo ἀλλὰ φθόγγον, non diffentientibus, W. tefte, codicibus fcriptis, notatum in Leonic. Schott.

2 Vulgo μέχρις ἀναψάμενος. Pro hac alieniffima voce Xyl. legendum monuit ἂν ἁψάμενος. H. Steph. confentit, & idem e Turn. & V. affertur. Dedi cum W. accedentibus Anon. & Mez.

3 Non dubitavi fic e Xyl. mente dare, probantibus Mez. & W. pro vulg. ἀντίπραξιν.

4 R. fufp. περίπολυ, uno vocabulo — *admodum multum, nimis frequens.* W. autem cum Mez. καίπερ πολύ.

5 R. docente, aptum vocabulum — *ut poffit fonus a re, unde auditur, ad aures noftras viam trajicere, &* διασώζεσθαι, *falvus pervenire.*

6 Dedi fic e R. mente pro vulg. ὑποτίθεσθαι. W. legendum monet vel ὑποτίθεσαι, vel ὑποτίθεται cum Xyl. & Mez. vel ὑπετίθεσθε cum Mez.

αὐτῷ καὶ συμφυὲς, εὐκίνητον δὲ καὶ κοῦφον καὶ ὁμαλὸν καὶ ὑπήκοον, τοῦ [1] δι' εὐτονίαν καὶ συνέχειαν, οἷός ἐστι παρ' ἡμῖν ὁ ἀήρ. καὶ γὰρ ὕδωρ καὶ γῆ καὶ πῦρ, ἄφωνα καθ' ἑαυτὰ, φθέγγεται δὲ πνεύματος ἐμπεσόντος ἅπαντα, καὶ ψόφους καὶ πατάγους ἀναδίδωσι· χαλκῷ δὲ κενοῦ μὲν [2] οὐδὲν μέτεστιν, ὁμαλῷ δὲ πνεύματι καὶ λείῳ κεκραμένος εὔπληκτός ἐστι, καὶ ἠχώδης. εἰ δὲ δεῖ τῇ ὄψει τεκμαίρεσθαι, φαίνεται μᾶλλον ὁ σίδηρος ἔχων τι σαθρὸν, καὶ πολύκενον, καὶ τενθρηνῶδες· ἔστι δὲ κακόφωνος σφόδρα, καὶ τῶν μεταλλικῶν κωφότατος [3]. οὐδὲν οὖν ἔδει τῇ νυκτὶ παρέχειν πράγματα, συσπῶντας αὐτῆς τὸν ἀέρα καὶ συντείνοντας, ἑτέρωθι δ' αὖ χώρας καὶ κενότητας ἀπολιπόντας, ὥσπερ ἐμποδὼν ὄντα τῇ φωνῇ τὸν ἀέρα καὶ φθείροντα τὴν οὐσίαν, ἧς αὐτὸς οὐσία καὶ σχῆμα [4] καὶ δύναμίς ἐστιν. ἄνευ δὲ τούτων ἔδει [5] δή που τὰς ἀνωμάλους νύκτας, οἷον ὁμιχλώδεις [6] καὶ δυσχειμέρους, ἠχωδεστέρας εἶναι τῶν αἰθρίων καὶ κεκραμένων ὁμαλῶς, διὰ τὸ δεῦρο μὲν συνωθεῖν τὰς ἀτόμους, ἐκεῖ δὲ, ὅθεν μεθίστανται, χώραν ἔρημον ἀπολιπεῖν σωμάτων· καὶ τὸ δὴ προχειρότατον, ἡμέραν ψυχρὰν ἠχωδεστέραν εἶναι νυκτὸς ἀλεεινῆς καὶ θερινῆς· ὧν οὐδέτερον ἀληθές ἐστι. διὸ [7] τὸν λόγον τοῦτον ἀπολελοιπὼς, ἐπιβάλλω τὸν Ἀνα-

1 R. susp. ὑπήκοον αὐτοῦ (sc. τοῦ πλήττοντος σώματος) δι' εὐτονίαν; W. autem ὑπήκοον τοῦ πλήττοντος δι'.

2 Sic R. probante, e Bas. restitui cum W. accedentibus Xyl. & Mez. Vulgo κινουμένῳ μέν.

3 Sic pro vulg. κουφότατος Xyl. legendum monuit, dediqu e cum W. accedentibus Pol. & Mez.

4 R. quaerit, num σῶμα? W. idem susp. aut ὄχημα.

5 Pro ἔδει Ald. ἐπὶ, Bas. ἐπεὶ, unde Xyl. annotat, pro ἐπεὶ δή που se legere ἐπεὶ ἔδει που.

6 W. quaerit, an ἀνεμώδεις?

7 Pro διὸ Ald. dat ὁ; Turn. ὅθεν; Bas. prorsus omittit. Pro seq. ἀπολελοιπὼς W. susp. ἀποδεδωκώς.

Ἀναξαγόραν [1], ὑπὸ τοῦ ἡλίου λέγοντα κινεῖσθαι τὸν ἀέρα κίνησιν τρομώδη καὶ παλμοὺς ἔχουσαν, ὡς δῆλόν ἐστι τοῖς διὰ τοῦ φωτὸς ἀεὶ διάττουσι ψήγμασι μικροῖς καὶ θραύμασιν, ἃ δή τινες τίλας [2] καλοῦσιν. ταῦτ' οὖν φησιν ὁ ἀνὴρ [3] πρὸς τὴν θερμότητα σίζοντα καὶ ψοφοῦντα δι' ἡμέρας δυσηκόους τῷ ψόφῳ τὰς φωνὰς ποιεῖν, νυκτὸς δὲ παύεσθαι [4] τὸν σάλον αὐτῶν καὶ τὸν ἦχον.

IV. Ἐμοῦ δὲ ταῦτ' εἰπόντος, Ἀμμώνιος ἔφη· Γελοῖοι μὲν ἴσως φανέμεθα, καὶ Δημόκριτον ἐλέγχειν οἰόμενοι, καὶ Ἀναξαγόραν ἐπανορθοῦσθαι θέλοντες· οὐ μὴν ἀλλ' [5] ἀφαιρετέον γε τῶν Ἀναξαγόρου σωμάτων τὸν σιγμόν· οὔτε γὰρ πιθανὸς οὔτ' ἀναγκαῖος, ἀλλ' ὁ τρόμος ἀρκεῖ τῶν σωμάτων, καὶ ἡ κίνησις ἐν τῷ φωτὶ κλονουμένων τὰς φωνὰς διασπᾶν καὶ διαῤῥίπτειν πολλάκις. ὁ γὰρ ἀὴρ (ὥσπερ εἴρηται) σῶμα τῆς φωνῆς [6] καὶ οὐσίαν ἐμπαρέχων ἑαυτὸν, ἐὰν μὲν ᾖ σταθερὸς [7], εὐθύπορα καὶ λεῖα καὶ συνεχῆ τὰ τῶν ψόφων μόρια καὶ κινήματα πόῤῥωθεν διαδίδωσι· νηνεμία γὰρ ἠχῶδες καὶ γαλήνη, καὶ τοὐναντίον [8], ὡς Σιμωνίδης φησίν [9].

Z 2 Οὐδὲ

1 Post hanc vocem R. deesse suspicatur ἐλέγχειν, vel simile quid.

2 H. Steph. quaerit, annon τύλας sit scribendum?

3 Bas. ὁ ἀήρ. Xyl. correxit.

4 Ald. & Bas. φαίνεσθαι; Turn. & V. ἀφαιρεῖσθαι. Steph. dedit vulgatam.

5 Dedi sic, Xyl. jubente, & W. ex Anon. & Mez. commendante, e Turn. & V. pro vulg. οὐ μὴν absque ἀλλ'.

6 Turn. ταῖς φωναῖς.

7 Secutus sum W. ita e Palat. Leonic. Schott. reponentem pro vulg. ἐὰν μὲν ᾖ τὰ θέρους. R. susp. ἐὰν οὖν ᾖ τὰ ἀέρος εὐθ. Bas. ἐὰν μὲν ᾖ στατερός. Idem e Turn. exhibetur; V. ᾖ σταθέρος; Ald. ἐὰν μὲν ᾖς θέρος.

8 W. desiderat subjectum: forte ὥρα ἀνεμώδης periit similitudine proximi ὡς Σιμωνίδης. R. susp. ὡς καὶ Σιμωνίδης.

9 Distinguendo hos versus, W. sum secutus, ita notantem: „Sic

Οὐδὲ γὰρ ἐννοσίφυλλος ἀήτα
Τότε ὦρτ' ἀνέμων, ἅ τις
Κατεκώλυε σκιδναμένα μελιαδέα γᾶρυν
Ἀραρεῖν ἀκοαῖσι βροτῶν·

πολλάκις μὲν [1] γὰρ ἐδὲ τὸ σχῆμα τῆς φωνῆς ὁ τῦ ἀέρος σάλος ἔναρθρον ἐᾷ πρὸς τὴν αἴθησιν ἐξικνεῖσθαι καὶ διαμεμορφωμένον, ἀεὶ μέντοι [2] τι τῦ πλήθυς φέρει καὶ τῦ μεγέθυς. ἡ μὲν ὖν νὺξ αὐτὴ καθ' ἑαυτὴν ἐδὲν ἔχει κινητικὸν ἀέρος· ἡ δὲ ἡμέρα, μέγα, τὸν [3] ἥλιον, ὥσπερ αὐτὸς ὁ Ἀναξαγόρας εἴρηκεν.

V. Ὑπολαβὼν δὲ Θράσυλλος, ὁ Ἀμμωνίυ υἱός· Εἶτα (ἔφη) τί παθόντες, ὦ πρὸς Διός, τὰ [4] θεωρητὰ κινήματα τῦ ἀέρος οἰόμεθα δεῖν αἰτιᾶσθαι, τὸν δ' ἐμφανῆ σάλον καὶ σπαραγμὸν αὐτῦ παρορῶμεν; ὁ γὰρ δὴ μέγας ἡγεμὼν ἐν ὐρανῷ Ζεὺς ἔτος ὐ λανθάνων, ὔτ' ἀτρέμα διακινῶν τὰ σμικρότατα τῦ ἀέρος, ἀλλ' εὐθὺς ἐκφανεὶς ἀνίςησι καὶ κινεῖ πάντα πράγματα,

Δεξιὰ

„Sic fere Stephanus, ut videtur ex Fulv. Urſino Lyric. Carm. p. 172. leviter ab eo diſſentiens: non tamen verſus ſecundum illum diſtinguens, quod nos fecimus. Forte etiam legendum κιδναμένα" Baſ. ζηνοσίφυλλος — V. ξυνοσίφυλλος; Turn. εἰνοσίφυλλος. Xyl. de ἔνοσις, ſeu ἔνοσις, *concuſſio*, agitatio, monuit, unde Neptunus ἐνοσίχθων apud Plut. in Theſ. Junctim deinde legebatur ἀήτατό τε; R. diſcerni vocabula voluit ἀήτα (*ventus* vel *agitatio*) τότ' ὦρτο ἀνέμων; nec non deinde legi σκιδναμέναν; Ald. porro μελία δία; Baſ. μίλη ἄδεα, unde Xyl. notat, legendum μελιαδέα γᾶρυν; Ald. denique duobus vocabulis ἄρα ῥεῖν.

1 R. μὲν delendum cenſet.

2 R. monente, redit ad ſuperius νηνεμία γὰρ ἠχῶδες — *eſt quidem tranquillitas aëris apta perferendo; ſemper tamen de die fert aër, quantumvis tranquillus, aliquid de ſtrepitu multitudinis, quod ſonos rerum frangit.* W. pro φέρει legendum cenſet ἀφαιρεῖ vel φθείρει.

3 Ald. μετὰ τὸν ἥλ.

4 Ante τὰ vulgo repetitur εἶτα. Id delendum cenſuerunt Mez. R. W. In ind. var. e Turn. & V. notatur: forte εἶπας τὰ θεωρητά. Pro τὰ θεωρητὰ R. mavult τὰ ἀθεώρητα.

Δεξιὰ σημαίνων, λαὺς δ' ἐπὶ ἔργον ἐγείρων· οἱ δὲ ἕπονται, καθάπερ ἐκ παλιγγενεσίας νέα ἐφ' ἡμέρῃ [1] φρονέοντες, ὥς φησι Δημόκριτος, ἔτ' ἀφώνοις ἔτ' ἀπράκτοις [2] ἐνεργείαις· ἢ καὶ τὸν ὄρθρον ὁ Ἴβυκὸς ἐ κακῶς κλυτὸν προσεῖπεν, ἐν ᾧ κλύειν καὶ ἤδη [3] φθέγγεσθαι συμβέβηκε· τῆς δὲ νυκτὸς ἀκύμων τὰ πολλὰ καὶ ἄκλυτος [4] ὢν ὁ ἀὴρ, ἀναπαυομένων ἁπάντων, εἰκότως τὴν φωνὴν ἄθραυστον ἀναπέμπει καὶ ἀκέραιον πρὸς ἡμᾶς.

VI. Παρὼν ἦν Ἀριστόδημος [5] ὁ Κύπριος· Ἀλλ' ὅρα, (εἶπεν) ὦ Θράσυλλε, μὴ τῦτο μὲν αἱ νυκτομαχίαι καὶ νυκτοπορίαι τῶν μεγάλων στρατοπέδων ἐλέγχυσιν, ἐδὲν ἧττον ἠχωδεστέρας ποιῦσαι τὰς φωνὰς, καίπερ ἐν ταραχῇ καὶ σάλῳ τῦ ἀέρος ὄντος. ἔχει δέ τι καὶ τὸ παρ' ἡμᾶς αἴτιον· αὐτοὶ γὰρ ὧν φθεγγόμεθα νύκτωρ, τὰ πολλὰ θορυβώδη, καὶ μετὰ πάθυς ἐπείγοντος ἐγκελευόμενοί [6] τισιν, ἢ διαπυνθανόμενοι, συντόνυς ποιύμεθα τὰς γεγωνήσεις [7]. τὸ γὰρ ἐν ᾧ μάλιστα καιρῷ πεφύκαμεν ἡσυχίαν ἄγειν, ἐξανιστᾶν ἡμᾶς ἐπὶ πράξεις καὶ λόγυς, ἐ μικρὸν, ἐδ' ἀτρεμαῖόν ἐστιν, ἀλλὰ μέγα καὶ μεγάλης τινὸς ἀνάγκῃ χρείας ἐπιταχυνόμενον, ὥστε καὶ τὰς φωνὰς φέρεσθαι σφοδροτέρας.



1 i. e. εὐθὺς ἀφ' ἡμέρας, *statim ab initio diei.* Dedi sic, R. jubente, cum W. e Xyl. Schott. Anon. Mez. & aliis locis Plutarchi pro vulg. ἐφημέρῃ. Notatur quoque in ind. var. ἐφ' ἡμέρῃ, sed absque nota codicis.

2 W. susp. ἀταράχοις.

3 R. mavult κλύειν, καὶ δὴ καὶ φθ. *audire, adeoque etiam loqui*, ut δὴ significet necessitatem consecutionis. Mez. transponit vocabula ἤδη καί.

4 Turn. V. ἄκλυστος.

5 Male vulgo iterata post h. v. leguntur πρὸς ἡμᾶς. Ea delevi e W. mente.

6 Ita e W. mente dedi pro vulg. ἐγκελευόμεθα.

7 Bas. γεγαννήσεις. Xyl. correxit.

## QUAESTIO IV.

Cur facrorum certaminum aliud aliam habet coronam, palma omnibus eft communis? inibi etiam, cur magnas palmae glandes appellent nicolaos [1]?

Ἰσθμίων ἀγομένων ἐν τῇ δευτέρᾳ τῶν Σώσπιδος [2] ἀγωνοθεσιῶν τὰς μὲν ἄλλας ἑςιάσεις διεφύγομεν, ἑςιῶντος αὐτοῦ πολλοὺς μὲν ἅμα ξένους, πάντας δὲ πολλάκις τοὺς πολίτας· ἅπαξ δὲ τοὺς μάλιςα φίλους καὶ φιλολόγους οἴκοι δεχομένου, καὶ αὐτοὶ παρῆμεν. ἀπηρμένων δὲ τῶν πρώτων τραπεζῶν, ἧκέ τις Ἡρώδῃ τῷ ῥήτορι παρὰ γνωρίμου νενικηκότος ἐγκωμίῳ φοίνικα καὶ ςέφανόν τινα τῶν πλεκτῶν κομίζων. ὁ δὲ ταῦτα μὲν δεξιωσάμενος, ἀπέπεμψε πάλιν, ἔφη δ', ἀπορεῖν, τί δήποτε τῶν ἀγώνων ςέφανον ἄλλος ἄλλου ἔχει, τὸν δὲ φοίνικα κοινῇ πάντες. Οὐ γὰρ ἐμέ γοῦν (ἔφη [3]) πείθουσιν οἱ τὴν ἰσότητα τῶν φύλλων, οἷον ἀνταγωνιζομένων ἀεὶ καὶ συνεκτρεχόντων, ἀγῶνι καὶ ἁμίλλῃ παραπλήσιόν τι ποιεῖν φάσκοντες, αὐτήν τε τὴν νίκην παρὰ τὸ μὴ εἴκον ὠνομάσθαι· καὶ γὰρ ἄλλα πάμπολλα μονονοὺ μέτροις τισὶ καὶ ςαθμοῖς [4] ἀκριβῶς τὴν τροφὴν διανέμοντα τοῖς ἀντιζύγοις πετάλοις ἰσότητα θαυμαςὴν καὶ τάξιν ἀποδίδωσιν [5]. ἐπεὶ [6] πιθανώτεροι τούτων εἰσὶν οἱ

1 Perfonae colloquii funt Sofpis, Herodes, Protogenes, Praxiteles, Caphifus.

2 R. nomen hoc eft fufpectum. Quaerit, num Σώσιδος?

3 Sic Xyl. & R. legi voluerunt, dedique cum W. Vulgo ἔφην.

4 R. mavult καὶ ςάθμαις, *regulis veluti quibusdam*, a ςάθμη, amuffis vel regula, juxta quam lineae ducuntur.

5 In R. legitur ἐπιδίδωσιν. Unde defumtum, latet, cum priores edd. ἀποδίδωσιν, quod reftitui, exhibeant. Ad haec ipfe R. notat, aut effe legendum ἀποδίδωσι, *reddunt*, h. e. *edunt de fe*, aut εἰς ἰσότητα, crefcunt ad aequalitatem.

6 R. monet, ἐπεὶ, fi bene habeat, idem valere, atque *deinceps* ἔπειτα. Porro legi vult τούτων οὐδὲν εἰσιν, *nihilo, quam illi, probabiliora afferunt.*

οἱ τὸ κάλλος καὶ τὴν εὐφυΐαν ἀγαπῆσαι τὰς παλαιὰς, ὡς Ὅμηρον [1] ἔρνεϊ Φοίνικος ἀπεικάσαντα τὴν ὥραν τῆς Φαιακίδος ὑπονοοῦντες [2]. οὐ γὰρ ἀγνοεῖτε δήπουθεν, ὅτι καὶ ῥόδοις, καὶ λυχνίσιν [3], ἔνιοι δὲ καὶ μήλοις καὶ ῥοιαῖς ἔβαλλον, ὡς καλοῖς [4] γεραίροντες ἀεὶ τὰς νικηφόρους. ἀλλ' οὐδὲν οὕτως ἐπιφανὰς ἐκπρεπέστερον ἔχει τῶν ἄλλων ὁ Φοῖνιξ, ἅτε μηδὲ καρπὸν ἐν τῇ Ἑλλάδι φέρων ἐδώδιμον, ἀλλ' ἀτελῆ καὶ ἄπεπτον. εἰ γὰρ, ὥσπερ ἐν Συρίᾳ καὶ ἐν Αἰγύπτῳ, παρεῖχε τὴν βάλανον, ὄψει τε θεαμάτων καὶ γλυκύτητι τραγημάτων πάντων ἥδιστον [5], οὐκ ἂν ἦν ἕτερον αὐτῷ παραβάλλειν. ὁ γοῦν βασιλεὺς [6] (ὥς φασιν) ἀγαπήσας διαφερόντως τὸν Περιπατητικὸν φιλόσοφον, Νικόλαον, γλυκὺν ὄντα τῷ ἤθει, ῥαδινὸν δὲ τῷ μήκει τοῦ σώματος, διάπλεων δὲ τὸ πρόσωπον ἐπιφοινίσσοντος ἐρυθήματος, τὰς μεγίστας καὶ καλλίστας τῶν φοινικοβαλάνων Νικολάους ὠνόμασε· καὶ μέχρι νῦν οὕτως ὀνομάζονται.

II. Ταῦτ' εἰπὼν ὁ Ἡρώδης οὐκ ἀτερπέστερον ἐμβάλλειν ἔδοξε τοῦ ζητουμένου τὸ περὶ [7] τοῦ Νικολάου. διὸ καὶ μᾶλλον (ἔφη ὁ Σῶσπις [8]) προθυμητέον, ὡς ἑκα-



1 Odyss. VI, 163.

2 R. haec sic ordinanda susp. ὡς Ὅμηρον τὴν ὥραν τῆς Φαιακίδος ἔρνει Φοίνικος ἀπεικάζειν ὑπονοοῦντες, *qui existimant, veteres venusta & bene nata atque eleganter constructa corpora trunco palmae comparare amasse, quemadmodum Homerus ei pulchritudinem Phaeacidis puellae*, Nausicae, *comparavit.*

3 Ald. Bas. λύχνεσιν. Xyl. correxit. Cf. Plin. H. N. XXI, 10.

4 Secutus sum W. ita dantem e Palat. & Vatic. pro vulg. καλῶς. Pro seq. ἀεὶ W. mavult δή.

5 R. mavult aut ἡδίστην, aut ὄψει τε θέαμα, καὶ γλυκύτητι τράγημα τῶν πάντων ἥδιστον.

6 Augustus puta. R.

7 Inserui τὸ, quod vulgo abest, e mente Mez. R. & W.

8 abest ab Ald. & Bas. ὁ Σῶσπις. Hinc nomen hoc elisum esse Xyl. notat. Abesse quoque testatur W. ab ed. Xyl. nec non H. Venet. Palat. Vatic. additum autem in Leonic. Schott. Anon. Xyl. vers. Amiot. Turn. unde Steph. sumserit.

ἕκαστος αὐτόν τις ἔπεισε, συνεισενεγκεῖν [1] εἰς τὸ ζητέμενον. ἐγὼ δ' εἰσφέρω πρῶτος, ὅτι δεῖ τὴν τῶν νικηφόρων δόξαν ἄφθιτον, ὡς ἄνυςόν ἐςι, καὶ ἀγήρω διαμένειν· ὁ δὲ φοῖνιξ μακρόβιον μέν ἐςιν ἐν τοῖς μάλιςα τῶν φυτῶν, ὥς πε καὶ τὰ Ὀρφικὰ ταῦτα [2] μεμαρτύρηκε·

Ζῶον δ' ἶσον ἀκροκόμοισι φοινίκων ἔρνεσι [3],

μόνῳ δ' αὐτῷ χεδὸν ὑπάρχει τὸ κατὰ πολλῶν ὡς [4] ἀληθῶς λεγόμενον· τί δὲ τὄτ' ἔςι; τὸ ἐμπεδόφυλλον εἶναι καὶ ἀείφυλλον· ὄτε γὰρ δάφνην, ὄτ' ἐλαίαν, ὄτε μυρσίνην, ὄτ' ἄλλο τι τῶν μὴ φυλλορροεῖν λεγομένων, ὁρῶμεν ἀεὶ ταυτὰ φύλλα διατηρῦν, ἀλλὰ τοῖς πρώτοις ἀποῤῥέεσιν ἑτέρων ἐπιβλαςανόντων, ὥσπερ πόλεις [5], ἕκαςον ἀεὶ ζῶον διαμένει καὶ ἀμείλικτον [6]. ὁ δὲ φοῖνιξ ἐθὲν ἀποβάλλων ἀφ' αὐτῦ τῶν φυομένων, βεβαίως ἀείφυλλός ἐςι· καὶ τῦτο δὴ τὸ κράτος αὐτῦ μάλιςα τῆς νίκης τῷ ἰχυρῷ συνοικειῦσι.

III.

1 Vulgo haec ita leguntur ὡς ἕκαςον αὐτῷ τις συνέπεισεν, ἐνεγκεῖν. Hinc R. προθυμητέον ἕκαςον, ὡς αὐτῷ τι συνέπεσεν, *ut aliquid ipsi in mentem venit*, aut ὡς αὐτὸν τις ἀνέπεισεν, *ut aliquid cuique probabile videbitur.* Malui W. sequi, qui ἕκαςον αὐτῷ τις e Turn. & V. recepit, & sequentia sic corrigenda monuit, ut dedi.

2 Turn. V. ταὐτά.

3 R. monente, in Orphicis ita fuit: — Ζῶον δ' ἶσον ἀβροκόμοισι φοινίκων ἔρνεσσι, aut potius: Ζῶον δ' ἶσα μακροκόμοισι φοινίκων ἔρνεσσι — *vivebant, ut longe jubati rami palmarum*, ita ut ζῶον hic non *animal* significet, nec sit nomen substantivum, sed Verbum. W. susp. Ζῶν δ' ἶσον φοινίκων ἔρνεσιν ἀκροκόμοισι.

4 R. legi vult πολλῶν ἐκ ἀληθῶς.

5 R. mavult πόλις in Sing. Ad ἕκαςον, eodem monente, subaud. αὐτῶν — *eorum, quae dicuntur, folia non amittere*, aut *exuere.*

6 R. susp. ἀνέκλειπτον; idem W. vel ἀμετάλλακτον.

III. Παυσαμένε δὲ τῦ Σώσπιδος, Πρωτογένης, ὁ γραμματικὸς, ὀνόματι καλέσας Πραξιτέλην, τὸν περιηγητήν· Οὕτω δὴ τύτυς (ἔφη) τὺς ῥήτορας ἐάσομεν περαίνειν τὸ οἰκεῖον, ἐξ εἰκότων καὶ πιθανῶν ἐπιχειρῦντας· αὐτοὶ δ' ἀφ' ἱςορίας ὐδὲν ἂν ἔχοιμεν τῷ λόγῳ συμβάλλεσθαι; καίτοι δοκῶ μοι μνημονεύειν ἐν τοῖς Ἀττικοῖς ανεγνωκὼς ἔναγχος, ὅτι πρῶτος ἐν Δήλῳ Θησεὺς ἀγῶνα ποιῶν, ἀπέσπασε κλάδον τῦ ἱερῦ φοίνικος· ᾗ καὶ σπάδιξ ὠνομάσθη.

IV. Καὶ ὁ Πραξιτέλης ταῦτα [1] εἶπεν. Ἀλλὰ καὶ τῦ Θησέως αὐτῦ πυνθάνεσθαι φήσεσιν, ὧτινι λόγῳ φοίνικος, ὐ δάφνης, ὐδ' ἐλαίας, κλάδον ἀπέσπασεν ἀγωνοθετῶν. σκόπει δὴ, μὴ Πυθικόν ἐςι τὸ νικητήριον, ὡς Ἀμφικτυόνος [2]. κᾀκεῖ πρῶτον ἐπὶ τιμῇ τῦ θεῦ, δάφνῃ καὶ φοίνικι τὺς νικῶντας ἐκόσμησαν, ὅτε δὴ καὶ τῷ θεῷ μὴ δάφνας μηδ' ἐλαίας, ἀλλὰ φοίνικας ἀνατιθέντες· ὡς ἐν Δήλῳ Νικίας χορηγήσας Ἀθηναίων, καὶ ἐν Δελφοῖς Ἀθηναῖοι, καὶ Κύψελος πρότερον Κορίνθιος· ἐπεὶ καὶ φίλαθλος ἄλλως [3] καὶ φιλόνεικος ἡμῖν ὁ θεὸς αὐτὸς ἐν κιθαρίσει καὶ ᾠδῇ καὶ βολαῖς δίσκων· ὡς δ' ἔνιοι φασὶ, καὶ πυγμῇ ἁμιλλώμενος· ἀνθρώποις δὲ προσαμύνων ἀγωνιζομένοις, ὡς Ὅμηρος ἐμαρτύρησε, τὸν μὲν Ἀχιλλέα λέγοντα ποιήσας [4].

 Ἄνδρε

1 R. monente, aut Ταῦτα majore prima litera exarandum, ut sit initium sermonis Praxitelis, & idem significet, atque ταῦτα ἀληθῆ ἐςιν, vel ταῦτά σοι σύμφημι, aut legendum πρὸς ταῦτα. W. bene manet corrigendum Καὶ ὁ Πραξιτέλης, Ταῦτα, εἶπεν, ἄδηλα, καὶ τῦ Θησέως αὐτῦ πυνθάνεσθαι δεῖν φήσυσιν.

2 R. quaerit, num ὡς Ἀμφικτυόνων νομισάντων, *ut auctoribus instituti Amphictyonibus*, κᾀκεῖνοι πρῶτον, vel πρῶτοι, *&* *annon illi primi*.

3 Pro ἄλλως Turn. V. Bong. exhibent ἀλλ' ὦ. Pro seq. φιλόνεικος W. susp. φιλόνικος.

4 Iliad. XXIII, 659 sqq. & deinde v. 863 & 872.

"Ανδρε δύω περὶ τῶνδε κελεύομεν ὥπερ ἀρίςω,
Πὺξ μάλ' ἀναχομένω πεπληγέμεν· ᾧ δέ κ' Ἀπόλλων
Δώῃ καμμονίην.

τῶν δὲ τοξοτῶν, τὸν μὲν εὐξάμενον τῷ θεῷ, κατορθῶσαι καὶ λαβεῖν τὰ πρωτεῖα· τὸν δὲ γαῦρον ἀςοχῆσαι τῆ σκοπῆ, μὴ εὐξάμενον. καὶ μὴν ἐδ' Ἀθηναίες εἰκός ἐςιν Ἀπόλλωνι καθιερῶσαι τὸ γυμνάσιον ἀλόγως καὶ αὐτομάτως· ἀλλὰ παρ' ὃ τὴν ὑγίειαν ἔχομεν θεῦ, τῦτον εὐεξίαν τε διδόναι καὶ ῥώμην ἐπὶ τὰς ἀγῶνας ᾤοντο· κέφων δὲ καὶ βαρέων ἀγωνισμάτων ὄντων, πύκ]ῃ μὲν Ἀπόλλωνι Δελφὰς, δρομαίῳ δὲ Κρῆτας ἱςορᾶσι θύειν καὶ Λακεδαιμονίες. σκύλων δὲ Πυθοῖ καὶ ἀκροθινίων καὶ τροπαίων [1] ἀναθέσεις ἆρ' ἐ συμμαρτυρᾶσιν, ὅτι τῆς εἰς τὸ νικᾷν καὶ κρατεῖν δυνάμεως τῷ θεῷ τέτῳ πλεῖςον μέτεςιν;

V. Ἔτι δ' αὐτῦ λέγοντος, ὑπολαβὼν Κάφισος, ὁ Θέωνος υἱός· Ἀλλὰ ταῦτά γε (εἶπεν) ἐχ ἱςορίας, ἔτε περιηγητικῶν ὄδωδε βιβλίων [2], ἀλλ' ἐκ μέσων ἀνεσπασμένα τῶν Περιπατητικῶν τόπων εἰς τὸ πιθανὸν ἐπικεχείρηται, καὶ προσέτι τραγικῶς μηχανὴν ἄραντες ὀφείλετε δεδίττεσθαι [3] τῷ θεῷ τὰς ἀντιλέγοντας. ὁ μὲν ἔν θεὸς, ὥσπερ προσήκει, πᾶσιν ἴσος ἐςὶ μετὰ εὐμενείας· ἡμεῖς δὲ ἑπόμενοι Σώσπιδι (καλῶς γὰρ ὑφηγεῖται) πάλιν ἐχώμεθα τῦ φοίνικος ἀμφιλαφεῖς τῷ λόγῳ λαβὰς διδόντος [4]. Βαβυλώνιοι μὲν γὰρ ὑμνῦσι καὶ ᾄδεσιν ὡς ἑξήκοντα καὶ τριακόσια χρειῶν γένη παρέχον αὐτοῖς τὸ δένδρον· ἡμῖν δὲ τοῖς Ἕλλησιν ἥκιςα μέν ἐςι χρειώδης, ἀθλητικῇ δὲ φιλοσοφίᾳ

1 Ald. Baf. τρόπων. Turn. V. τριπόδων.

2 Secutus fum W. ita dantem e Palat. Vatic. Leonic. Schott. Xyl. pro vulg. βυβλίων.

3 R. legendum monet ἄραντες, ὦ φίλτατοι, δεδίττεσθε.

4 Sic, jubente R. e Baf. & Turn. repofui pro vulg. διδόντες, cum W. accedentibus Xyl. & Mez.

σοφίᾳ [1] καὶ τὸ ἄκαρπον ἂν εἴη. κάλλιστος γὰρ ὢν καὶ μέγιστος ὑπ' εὐταξίας [2], ἐ γόνιμός ἐστι παρ' ἡμῖν, ἀλλὰ τὴν τροφὴν ὥσπερ ἄθλησιν περὶ τὸ σῶμα τῆς ἀταξίας ἀναλισκέσης, σμικρὸν αὐτῷ καὶ φαῦλον εἰς [3] σπέρμα περίεστιν. ἴδιον δὲ παρὰ ταῦτα πάντα, καὶ μηδενὶ συμβεβηκὸς ἑτέρῳ τὸ μέλλον λέγεσθαι· φοίνικος γὰρ ξύλον ἂν ἄνωθεν ἐπιθεὶς βάρη [4] πιέζῃς, ἐ κάτω θλιβόμενον ἐνδίδωσιν, ἀλλὰ κυρτᾶται πρὸς τἀναντίον, ὥσπερ ἀνθιστάμενον τῷ βιαζομένῳ· τᾶτο δὴ καὶ περὶ τὰς ἀθλητικὰς ἀγῶνας [5] ἐστί· τὰς μὲν γὰρ ὑπ' ἀσθενείας καὶ μαλακίας εἴκοντας αὐτοῖς πιέζεσι κάμπτοντες, οἱ δ' ἐρρωμένως ὑπομένοντες τὴν ἄσκησιν, ἐ μόνον τοῖς σώμα-

1 R. docet, φιλοσοφία hic idem esse atque ἐμφιλοσόφημα, *locus speculationis*, unde scitam salutaremve sententiam elicias. Sumsit nimirum pro nomin. qualem Frft. exhibet, cum priores edd. jota subscribunt, quod restitui. W. corrigendum censet ἀθλητικῇ δὲ φιλοδοξίᾳ διὰ τὸ ἄκαρπον ἀνείθη, & vertit: *sed athletico gloriae studio propter sterilitatem consecratus est.*

2 R. explicat *pro continentia* vel *castitate*. W. susp. εὐεξίας.

3 Restitui εἰς pro vulg. εἰ e Bas. & Turn. jubente R. cum W. Accedunt Palat. Vat. Xyl. Mez. Locum ipsum R. sic refingendum censet: ἀλλὰ τὴν τροφὴν, ὥσπερ τοῖς ἀθληταῖς, περὶ τὸ σῶμα τῆς εὐταξίας ἀναλισκέσης, σμικρὸν αὐτῷ καὶ φαῦλον εἰς γονὴν σπέρμα περίεστιν — *quia castitas vel continentia arboris in ea, velut in athletis, nutrimentum in trunco consumit, vel in truncum insumit, parum quid seminis, idemque inidoneum generationi perficiendae, redundat*, vel *superest*. W. susp. ὡς εἰς ἄθλησιν τῆς εὐεξίας ἀναλισκέσης, περίσσωμα σμικρὸν αὐτῷ καὶ φαῦλον εἰς σπέρμα περίεστιν. Pro ἀταξίας H. Venet. habent εὐταξίας.

4 Secutus sum W. ita dantem e Palat. Leonic. Schott. Etiam Turn. V. Bong. dant βάρη, vel βάρει πιέζῃς. Vulgo βαρύ. Unde R. legi voluit βαρύ τι aut βάρος. Ald. Bas. βαρυπιέζῃς.

5 R. mavult ἀγωνιστὰς, ἀθλητικὰς appellatos, quia multa sunt genera ἀγωνιστῶν, ut illi intelligantur, qui gravibus corporis exercitiis in gymnasiis operam dant, eorumque edunt in suo corpore specimina publica.

σώμασιν ἀλλὰ καὶ τοῖς φρονήμασιν ἐπαίρονται καὶ αὔξονται.

## QUAESTIO V.

### Cur, qui navigant, ante diem aquam e Nilo hauriunt [1]?

Αἰτίαν τις ἐζήτησε, δι' ἣν οἱ ναύκληροι τὰς ὑδρείας [2] ἐκ τοῦ Νείλου νυκτὸς, οὐχ ἡμέρας, ποιοῦνται. καὶ τισὶ μὲν ἐδόκουν τὸν ἥλιον δεδιέναι, τῷ προθερμαίνειν τὰ ὑγρὰ μᾶλλον εὔσηπτα ποιοῦντα. πᾶν γὰρ τὸ θερμανθὲν καὶ χλιανθὲν, ἀεὶ πρὸς μεταβολὴν ἑτοιμότερόν ἐστι, καὶ προπέπονθεν ἀνέσει τῆς ποιότητος· ἡ δὲ ψυχρότης πιέζουσα, συνέχειν δοκεῖ καὶ φυλάττειν ἕκαστον, ἐν ᾧ πέφυκεν, οὐχ ἥκιστα δὲ [3] τὸ ὕδωρ. ὕδατος γὰρ ἡ ψυχρότης σχετικόν ἐστι φύσει· δηλοῦσιν αἱ χιόνες, τὰ κρέα δύσσηπτα τηροῦσαι πολὺν χρόνον. ἡ δὲ θερμότης τά τ' ἄλλα καὶ τὸ μέλι τῆς ἰδίας ποιότητος ἐξίστησι· φθείρεται γὰρ ἑψηθὲν, ἂν δ' ὠμὸν διαμένῃ, καὶ τοῖς ἄλλοις πρὸς τὸ μὴ φθείρεσθαι βοηθεῖ. μεγίστην δὲ τῇ αἰτίᾳ πίστιν παρεῖχε τὰ λιμναῖα τῶν ὑδάτων· χειμῶνος γὰρ οὐδὲν διαφέροντα τῶν ἄλλων ποθῆναι, τοῦ θέρους γίνεται πονηρὰ καὶ νοσώδη· διὸ χειμῶνι μὲν τῆς νυκτὸς ἀναλογεῖν δοκούσης, θέρει δὲ τῆς ἡμέρας, μᾶλλον οἴονται διαμένειν ἄτρεπτον καὶ ἀπαθὲς τὸ ὕδωρ, ἂν νυκτὸς λαμβάνηται. τούτοις ἐπιεικῶς οὖσι πιθανοῖς, ἐπανέκυψε λόγος ὥσπερ ἀτεχνῶς πίστιν ναυτικὴν βεβαιούμενος ἐμπειρίαν [4]. νυκτὸς γὰρ ἔφασαν λαμ-

[1] Personae colloquii non sunt nominatae.

[2] Sic e Bas. scribendam probavit hanc vocem R. dedique cum W. accedentibus Palat. Xyl. Mez. Vulgo ὑδρίας.

[3] Ald. omittit οὐχ & δέ.

[4] H. Steph. reponi voluit ὥσπερ ἄτεχνος πίστις; & ita e Turn. & V. notatur. R. legendum censuit ἐμπειρίᾳ, *nautarum de salubritate aquarum Nili nocte haustarum opinionem ipsa experientia confirmans.* W. susp. ἀτέχνῳ πίστει.

λαμβάνειν τὸ ὕδωρ, ἔτι τȣ̃ ποταμȣ̃ καθεςῶτος καὶ ἡσυχάζοντος, ἡμέρας δὲ πολλῶν ἀνθρώπων ὑδρευομένων, καὶ πλεόντων, πολλῶν δὲ θηρίων διαφερομένων, ἀναταραττόμενον, γίνεσθαι παχὺ καὶ γεῶδες· τὸ δὲ τοιȣ̃τον εὔσηπτον εἶναι· πάντα γὰρ τὰ μεμιγμένα τῶν ἀμίκτων ἐπισφαλέςερα πρὸς σῆψίν ἐςι· ποιεῖ γὰρ ἡ μίξις μάχην· ἡ δὲ μάχη μεταβολήν· μεταβολὴ δέ τις ἡ σῆψις. διὸ τάς τε μίξεις τῶν χρωμάτων οἱ ζωγράφοι φθορὰς ὀνομάζȣσι, καὶ τὸ βάψαι μιῆναι [1] κέκληκεν ὁ ποιητής, ἡ δὲ κοινὴ συνήθεια τὸ ἄμικτον καὶ καθαρὸν, ἄφθαρτον καὶ ἀκήρατον. μάλιςα δὲ γῆ μιχθεῖσα πρὸς ὕδωρ ἐξίςησι καὶ φθείρει τὸ πότιμον καὶ οἰκεῖον· ὅθεν εὔσηπτα μᾶλλόν ἐςι τὰ ςάσιμα καὶ κοῖλα, πολλῆς ἀναπιμπλάμενα γῆς, τὰ δὲ ῥέοντα φεύγει καὶ διακρȣ́εται τὴν προσφερομένην· καὶ καλῶς Ἡσίοδος [2] ἐπήνεσε

Κρήνης ἀενάȣ καὶ ἀποῤῥύτȣ, ἥ τ' ἀθόλωτος.

ὑγιεινὸν γὰρ τὸ ἀδιάφθορον· ἀδιάφθορον δὲ τὸ ἄμικτον καὶ καθαρόν. ȣ̓χ ἥκιςα δὲ αἱ τῆς γῆς διαφοραὶ τῷ λόγῳ μαρτυρȣ̃σι· τὰ γὰρ ὀρεινὴν διεξιόντα γῆν καὶ λιθώδη, ςεῤῥότερα τῶν ἑλείων καὶ πεδινῶν ἐςι· πολλὴν γὰρ ȣ̓κ ἀποσπᾷ γῆν. ὁ δὲ Νεῖλος ὑπὸ μαλθακῆς χώρας περιεχόμενος, μᾶλλον δὲ ὥσπερ αἷμα σαρκὶ κεκραμένος, γλυκύτητος μὲν ἀπολαύει, καὶ χυμῶν ἀναπίμπλαται δύναμιν ἐμβριθῆ καὶ τρόφιμον ἐχόντων, συμμιγὴς δὲ φέρεται καὶ θολερός· ἂν δ' ἀναταράττηται, καὶ μᾶλλον· ἡ γὰρ κίνησις ἀναμίγνυσι τῷ ὑγρῷ τὸ

1 Vulgo διῆναι. Hinc jam Xyl. monuit, se hoc vocabulum pro *tingere* apud Homerum non legisse, at μιαίνειν sic ab eo esse usurpatum. Consentit H. Steph. nec non R. cum Gataker. ad M. Antonin. 6, 30. in reponenda voce μιῆναι, quam dedi cum W. e Turn. V. Anon. Cf. Hom. Iliad. IV, 141.

2 Op. & d. v. 593. R. susp. κρήνης ὕδωρ ἀενάȣ.

τὸ γεῶδες· ὅταν δ' ἠρεμήσῃ, κάτω ῥέπον [1] διὰ βάρος ἄπεισιν. ὅθεν ὑδρεύονται τῆς νυκτὸς, ἅμα καὶ τὸν ἥλιον προλαμβάνοντες, ἀφ' ἧ τὸ λεπτότατον καὶ κεφότατον ἀεὶ τῶν ὑγρῶν αἱρόμενον διαφθείρεται.

## QUAESTIO VI.

De his, qui sero ad coenam veniunt, atque ibidem de vocabulis akratisma, ariston, deipnon [2].

Τῶν υἱῶν μȣ τȣ̀ς νεωτέρȣς ἐν θεάτρῳ προσδιατρίψαντας ἀκροάμασι, καὶ βράδιον ἐπὶ τὸ δεῖπνον ἐλθόντας, οἱ Θέωνος υἱοὶ κωλυσιδείπνȣς καὶ ζοφοδόρπιδας, καὶ τοιαῦτα μετὰ παιδιᾶς ἔσκωπτον· οἱ δ' αμυνόμενοι πάλιν ἐκείνȣς τρεχεδείπνȣς ἀπεκάλȣν. καί τις εἶπε τῶν πρεσβυτέρων, τρεχέδειπνον εἶναι τὸν ὑστερίζοντα τȣ̃ δείπνȣ. θᾶττον γὰρ, ἢ βάδην, ἐπειγόμενον, ὅταν βραδύνῃ, φαίνεσθαι· καὶ γὰρ Βάττȣ [3] παρὰ Καίσαρι γελωτοποιȣ̃ χάριεν [4] ἀπεμνημόνευσεν· ἐκεῖνος γὰρ ἐπιθυμοδείπνȣς ἐκάλει τȣ̀ς ὀψὲ παραγινομένȣς ἐπὶ δεῖπνον· ἀσχολȣμένȣς γὰρ αὐτȣ̀ς, ὅμως διὰ τὸ φιλόδειπνον ȣ̓κ ἀπολέγεσθαι τὰς κλήσεις.

II. Ἐγὼ δ' εἶπον [5], ὅτι καὶ Πολύχαρμος, ἐν Ἀθήναις δημαγωγῶν, καὶ τȣ̃ βίȣ διδȣ̀ς ἀπολογισμὸν ἐν ἐκκλη-

1 Dedi sic e R. mente, consensu Mez. & W. probata, pro vulg. καὶ ῥίπτον.

2 Personae colloquii sunt Filii Plutarchi, Filii Theonis, Theon, Plutarchus, Soclarus.

3 R. γὰρ delendum censuit, aut cum ἕτερος mutandum. Salmas. Γάββȣ legi voluit non indicato tamen auctore, vel teste. W. susp. Γαββάττȣ. Quis ille fuerit Caesar, haud liquet.

4 Sic R. legendum censuit, dedique cum W. idem e H. Palat. Vatic. sumente. Vulgo χάριν.

5 Sic H. Steph. scribendum monuit pro vulg. εἰπών, dedique cum W. idem e H. Palat. Vatic. sumente.

κλησία, ταῦτ' εἶπεν· Ἄνδρες Ἀθηναῖοι, τἄλλα [1] καὶ πρὸς τούτοις, οὐδέποτε, κληθεὶς ἐπὶ δεῖπνον, ὕστατος ἀφικόμην. δημοτικὸν γὰρ εὖ μάλα δοκεῖ τὸ τοιοῦτο, καὶ τοὐναντίον οἱ ἄνθρωποι τοὺς ὀψὲ παραγινομένους ἀναγκαζόμενοι [2] περιμένειν, ὡς ἀηδεῖς καὶ ὀλιγαρχικοὺς βαρύνονται.

III. Ὁ δὲ Σύλλαρος ὑπερδικῶν τῶν νεανίσκων· Ἀλλ' οὐδὲ τὸν Πιττακὸν, ἔφη, ζοφοδορπίδαν ὁ Ἀλκαῖος [3], ὡς ὀψὲ δειπνοῦντα, λέγεται προσειπεῖν, ἀλλ' ὡς ἀδόξοις τὰ πολλὰ καὶ φαύλοις ἡδόμενον συμπόταις· τὸ μέντοι πρότερον [4] δειπνεῖν ὄνειδος ἦν πάλαι, καὶ τὸ ἀκράτισμα φασὶν [5] οὕτως λέγεσθαι διὰ τὴν ἀκρασίαν.

IV. Ὑπολαβὼν δὲ ὁ Θέων, Ἥκιστα, εἶπεν, ἔδει [6] τοῖς τὸν ἀρχαῖον βίον διαμνημονεύουσι πιστεύειν. Φασὶ γὰρ, ἐκείνους, ἐργατικοὺς ἅμα καὶ σώφρονας ὄντας, ἕωθεν ἐσθίειν ἄρτον ἐν ἀκράτῳ, καὶ μηδὲν ἄλλο· διὸ τοῦτο μὲν, ἀκράτισμα καλεῖν, διὰ τὸν ἄκρατον· ὄψον δὲ, τὸ παρασκευαζόμενον εἰς δεῖπνον αὐτοῖς. ὀψὲ γὰρ δειπνεῖν, ἀπὸ τῶν πράξεων γενομένους. ἐκ τούτου καὶ τὸ

1 H. Steph. aliqua hic verba deesse notavit. R. monet, formulam hanc esse, qualis nostrum illud: *& caetera*, qua utuntur, qui operae caetera allegandi parcunt, vel qualis illa τοιαῦτα Demostheni usitatissima pro, & *quae sunt alia ejusmodi*. Casaub. ad Diog. Laërt. I, 81. locum hunc mutilum censuit, & supplendum τἄλλα τε μέτριός εἰμι. W. susp. Ταῦτα, εἶπεν, ἄνδρες Ἀθηναῖοι, τἀμά.

2 Turn. Bong. ἀναγκάζοντες.

3 Sic scribendum monuit Xyl. pro Ἄλκιος, quod in Ald. & Bas. legitur.

4 Xyl. deesse aliquid notat. R. aut legendum censet πρότερον τοῦ καιροῦ δ. aut saltim πρωΐτερον, *maturius quam tempestivum esset*. cf. Marsilii Cagnati Var. Observat. I, 17. W. susp. πρωϊαίτερον.

5 Dedi sic e R. mente pro vulg. φησίν.

6 W. legendum monet εἰ δεῖ.

τὸ δεῖπνον καὶ τὸ ἄριςον, ἀφ' ὅτε λάβοι τἔνομα, ζήτησιν παρέχε. καὶ τὸ μὲν ἄριςον ἐδόκει τῷ ἀκρατίσματι ταὐτὸν εἶναι, μάρτυρι [1] τῷ Ὁμήρῳ, λέγοντι τὰς περὶ τὸν Εὔμαιον

Ἐντύνοντας ἄριςον ἅμ' ἠοῖ φαινομένηφι.

καὶ πιθανὸν ἐδόκει, διὰ τὴν ἑωθινὴν ὥραν ἄριςον ὠνομάσθαι, καθάπερ τὸ αὔριον [2]. τὸ δὲ δεῖπνον, ὅτι τῶν πόνων διαναπαύει. πράξαντες γάρ τι δειπνἔσιν, ἢ μεταξὺ πράττοντες. ἔςι δὲ καὶ τἔτο παρ' Ὁμήρε λαβεῖν, λέγοντος [3].

Ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὠπλίσσατο δεῖπνον.

εἰ μὴ νὴ Δία τὸ ἄριςον αὐτόθεν ἀπραγμόνως προσφερόμενοι, καὶ ῥᾳδίως ἀπὸ τῶν τυχόντων, τὸ δὲ δεῖπνον ἤδη παρεσκευασμένον, ἐκεῖνο μὲν ῥᾷςον, τἔτο δὲ ὥσπερ διαπεπονημένον ἐκάλεσαν.

V. Ὑβριςὴς δ' ὢν καὶ φιλόγελως φύσει ὁ ἀδελφὸς ἡμῶν, Λαμπρίας, ἔφη, μυρίῳ τὰ Ῥωμαϊκὰ δείξειν οἰκειότερα τῶν Ἑλληνικῶν ὀνόματα, τοσαύτης ἀδείας τἔ φλυαρεῖν δεδομένης. τὸ μὲν γὰρ δεῖπνον φασὶ Κοῖνα διὰ τὴν κοινωνίαν καλεῖσθαι· καθ' ἑαυτὲς γὰρ ἠρίςων ἐπιεικῶς οἱ πάλαι Ῥωμαῖοι, συνδειπνἕντες [4] τοῖς φίλοις. τὸ δ' ἄριςον ἐκλήθη Πράνδιον ἀπὸ τῆς ὥρας· ἔνδιον γὰρ τὸ δειλινὸν, καὶ τὴν μετ' ἄριςον ἀνάπαυσιν, ἐνδιάζειν· ἢ [5] πρωϊνήν τινα σημαίνοντες ἐδωδὴν ἢ τροφὴν,

1 R. docente, idem atque ἐπὶ vel σὺν μάρτυρι, licet malit μάρτυρι τῷ Ὁμήρῳ χρωμένοις λέγοντι. Odyss. XVI, 1. 2. Bas. ἀρτύνοντας pro ἐντύν.

2 Locum hunc se non intelligere fatetur R. cum credibile non sit, veteres dixisse αὔριον pro ἄριςον. Kaltw. susp. leg. αὔριον, ab αὔρα.

3 Iliad. XI, 86.

4 R. ante h. v. susp. deesse σπανίως vel ὀλιγάκις.

5 R. susp. ἐνδίασιν· ἢ ἄνω ἐκάλεν ὡς πρωϊνὴν — *aut prandium appellabant veteres Romani eo, ut significarent.* Salmas. καὶ τὸ μετ' ἄριςον ἀναπαύειν.

φὴν, ᾗ χρῶνται, πρὶν ἐνδεεῖς γενέϑαι. καὶ μὴν ἵνα ἀφῶ τὰ ςρώματα, ἔφη, τὸν οἶνον, τὸ μέλι, τἔλαιον, τὸ γεύσαϑαι, τὸ προπιεῖν, ἕτερα πάμπολλα τοῖς αὐτοῖς [1] ὀνόμασι καταφανῶς χρώμενα· τίς ἐκ ἂν εἴποι ἐπὶ κῶμον [2] Ἑλληνικῶς Καμέσσατον λέγεϑαι; καὶ τὸ κεράσαι Μισκῆραι, καϑ' Ὅμηρον·

Ἡ δ' αὖτ' ἐν κρητῆρι μελίφρονα οἶνον ἔμισγε [3].

καὶ Μένσαν [4] μὲν, τὴν τράπεζαν, ἀπὸ τῆς ἐν μέσῳ ϑέσεως [5]· Πᾶνα δὲ, τὸν ἄρτον, ὡς ἀνιέντα τὴν πεῖναν· τὸν δὲ ςέφανον, Κορῶναν, ἀπὸ τῆς κεφαλῆς· ὡς Ὅμηρος τὸ κράνος ἐκάλεσέ πε ςεφάνην [6]. τὸ δὲ καῖρε, Δέρε [7]· καὶ Δεντὴς, τὰς ὀδόντας· καὶ Λάβρα, τὰ χείλη, ἀπὸ τῦ λαμβάνειν τὴν βορὰν δι' αὐτῶν. καὶ τέτων ἂν ἀκεςέον ἀγελαςεὶ λεγομένων, ἢ μηδ' ἐκείνοις εὐκόπως [8] ἔτως διὰ [9] τῶν ὀνομάτων, ὥσπερ τριχίων, τὰ

1 R. mavult τοῖς αὐτοῖς ἡμῖν ὀνόμ. *iisdem, quod patet, nominibus gaudentia, quibus illa penes nos gaudent.*

2 Ald. ἐπὶ βωμὸν; Turn. ἐπίκωμον; Baſ. ἐπὶ κωμόν. Xyl. correxit. Ald. deinde κωμίσαιτο; Baſ. κωμίσσατον; Turn. κωμισάτωρ.

3 Odyſs. X, 356.

4 Baſ. μῆνσαν; Turn. μῆνσα.

5 Inserui ἀπὸ, quod vulgo abeſt, ex H. Steph. mente. Dedi deinde πᾶνα, W. ſecutus, qui ita e Leonic. Schott. Turn. Mez. repoſuit pro vulg. πᾶν; H. Steph. voluit πᾶνεμ.

6 Vulgo εἴκασέ πε ςεφάνῃ. Ald. & Baſ. ςεφάνην. Hinc H. Steph. retinendum fuiſſe notat hunc accuſativum, & εἴκασε mutandum in ἐκάλεσε. Dedi ſic e Turn. & V. Locus Homeri eſt Iliad. VII, 12.

7 Corrupta haec eſſe, patet. Xyl. ſuſp. καίδερε δέρειν. H. Steph. conſentit; nec non W. At R. ſuſp. τὸ δὲ καῖραι, ῥάδερε· Aliter P. Leopardus Emendat. 8, 11.

8 H. Steph. mavult εὐσκόπως. Ita e Turn. notatur. W. mutandum cenſet in εὐκόλως.

9 Mez. delet διὰ; R. mavult ἔτως, νὴ Δία, τ. ὀ. W. judice forte ſanum, & poſt τριχίων ſupplendum ὤν.

τὰ μὲν ἐκκόπτουσι μέρη, τὰ δὲ καθαίρουσι παραδύσεις διδομεν [1].

## QUAESTIO VII.

De symbolis Pythagoricis: in quibus praecipitur, hirundinem domo non esse recipiendam, et lectum, quando ex eo surgimus, conturbari debere [2].

Σύλλας, ὁ Καρχηδόνιος [3], εἰς Ῥώμην ἀφικομένῳ μοι διὰ χρόνου, τὸ ὑποδεκτικὸν (ὡς Ῥωμαῖοι καλοῦσι) καταγγείλας δεῖπνον, ἄλλους τε τῶν ἑταίρων παρέλαβεν οὐ πολλοὺς, καὶ Μοδεράτου τινὰ τοῦ Πυθαγορικοῦ μαθητὴν, ὄνομα Λεύκιον, ἀπὸ Τυῤῥηνίας. οὗτος οὖν ὁρῶν Φιλῖνον τὸν ἡμέτερον ἐμψύχων απεχόμενον, οἷον εἰκὸς, εἰς τοὺς Πυθαγόρου [4] λόγους προήχθη· καὶ Τυῤῥηνὸν ἀπέφηνεν, οὐ πατρόθεν, ὥσπερ ἕτεροί τινες, ἀλλ' αὐτὸν ἐν Τυῤῥηνίᾳ καὶ γεγονέναι, καὶ τετράφθαι, καὶ πεπαιδεῦσθαι τὸν Πυθαγόραν· ἰσχυριζόμενος, οὐχ ἥκιστα τοῖς συμβόλοις, οἷόν ἐστι καὶ τὸ συνταράττειν ἀναστάντας ἐξ εὐνῆς τὰ στρώματα, καὶ χύτρας τύπον ἀρθείσης ἐν σποδῷ μὴ ἀπολιπεῖν, ἀλλὰ συγχεῖν, καὶ χελιδόνας οἰκίᾳ μὴ δέχεσθαι, μηδὲ σάρον [5] ὑπερβαίνειν, μηδὲ γαμψώνυχον οἴκοι τρέφειν· ταῦτα γὰρ ἔφη τῶν Πυθαγορικῶν λεγόντων καὶ γραφόντων, μόνους ἔργῳ Τυῤῥηνοὺς ἐξευλαβεῖσθαι καὶ φυλάττειν.

II. Λεχθέντων δὲ τούτων ὑπὸ τοῦ Λευκίου, μάλιστα τὸ τῶν χελιδόνων ἀτοπίαν ἔχειν ἐδόκει, ζῶον ἀσινὲς καὶ φιλάνθρωπον εἴργεσθαι τοῖς γαμψωνύχοις ὁμοίως, ἀγριω-

1 R. susp. καθαιροῦσι παρασδύσεις δίδομεν, i. e. δώσομεν, ut ἄπιμεν pro *abibimus* — aut διδῶμεν, demus.

2 Personae colloquii sunt Sylla, Lucius, Plutarchus, Philinus.

3 Turn. V. Bong. ὁ Χαλκηδόνιος.

4 R. mavult εἰς τοὺς περὶ Π. λ.

5 Cf. Vol. VIII. p. 375. quaest. rom. nr. CXII.

ἀγριωτάτοις ἐσὶ καὶ φονικωτάτοις· καὶ γὰρ ᾧ μόνῳ τινὲς τῶν παλαιῶν ᾤοντο λύειν τὸ σύμβολον, ὡς πρὸς τὰς διαβολὰς καὶ ψιθύρας τῶν συνήθων ἠνιγμένον, ἐδ' αὐτὸς ὁ Λεύκιος ἐδοκίμαζεν· ψιθυρισμᾶ μὲν γὰρ ἥκισα χελιδόνι μέτεσι, λαλιᾶς δὲ [1] καὶ πολυφωνίας ἐ μᾶλλον, ἢ κίτταις καὶ πέρδιξι καὶ ἀλεκτορίσιν. Ἆρ' ἐν (ὁ Σύλλας ἔφη) διὰ τὸν μῦθον τὸν περὶ τὴν παιδοφονίαν ἀφοσιᾶνται τὰς χελιδόνας, ἄποθεν ἡμᾶς πρὸς ἐκεῖνα τὰ πάθη διαβάλλοντες, ἐξ ὧν τὸν Τηρέα καὶ τὰς γυναῖκας, τὰ μὲν δρᾶσαι, τὰ δὲ [2] παθεῖν ἄθεσμα καὶ σχέτλια λέγεσι, καὶ μέχρι νῦν Δαυλίδας ὀνομάζεσι τὰς ὄρνιθας· Γοργίας δὲ, ὁ σοφισὴς, χελιδόνος ἀφείσης ἐπ' αὐτὸν ἀπόπατον, ἀναβλέψας πρὸς αὐτήν· Οὐ καλὰ ταῦτα (εἶπεν) ὦ Φιλομήλα. ἢ καὶ τᾶτο κοινόν ἐσι [3]. τὴν γὰρ ἀηδόνα, ταῖς αὐταῖς τραγῳδίαις ἔνοχον ἔσαν, ἐκ ἀπείργεσιν, ἐδὲ ξενηλατᾶσιν.

III. Ἴσως (ἔφην ἐγὼ) καὶ ταῦτα ἔχει λόγον, ὦ Σύλλα. σκόπει δὲ, μὴ πρῶτον μὲν, ᾧ λόγῳ τὸ γαμψώνυχον ἐ προσίενται, τέτῳ καὶ ἡ χελιδὼν ἀδοξεῖ παρ' αὐτοῖς· σαρκοφάγος γάρ ἐσι, καὶ μάλισα τὰς τέττιγας, ἱερὰς καὶ μεσικὰς ὄντας, ἀποκτίννυσι καὶ σιτεῖται· καὶ πρόσγειος αὐτῆς ἡ πτῆσίς ἐσι, τὰ μικρὰ καὶ λεπτὰ τῶν ζώων ἀγρευέσης, ὥς φησιν Ἀρισοτέλης· ἔπειτα μόνη τῶν ὁμορόφων ἀσύμβολος ἐνοικεῖ, καὶ ἀτελὴς ἐνδιαιτᾶται. καίτοι ὅγε πελαργὸς, ἔτε σκέπης μετέχων, ἔτ' ἀλέας, ἔτ' ἀδείας τινὸς, ἢ βοη-

Aa 2

1 Abest δὲ ab Ald.

2 Sic Xyl. legendum monuit pro vulg. τὰς μὲν, τὰς δὲ, & dedi cum W. In ultimo consentit H. Venet. Palat. Vatic. De re ipsa, satis nota, cf. Ovid. Metam. VI, 420 sqq.

3 *Estne haec quoque caussa*, ob quam hirundo quibusdam videri queat ex aedibus ejicienda, non hirundini soli, sed aliis quoque avibus, *communis?* R. At W. cum Mez. susp. κενὸν pro κοινόν.

βοηθείας παρ' ἡμῖν, ἐπίβαθρόν τι γῆς [1] δίδωσι· τὰ γὰρ ἐπίβελα καὶ πολέμια τῶν ἀνθρώπων, φρύνες καὶ ὄφεις, ἀναιρεῖ περιϊών. ἡ δὲ [2] πάντων τυχᾶσα τέτων, ὅταν ἐκθρέψῃ καὶ τελειώσῃ τὲς νεοσσὲς, ἄπεισιν ἀχάριςος γενομένη καὶ ἄπισος [3]. ὃ δὲ δεινότατόν ἐςι, μόνα τῶν συνοίκων μυῖα καὶ χελιδὼν ἐχ ἡμερᾶται πρὸς ἄνθρωπον, ἐδ' ἀνέχεται ψαῦσιν, ἐδ' ὁμιλίαν ἐδὲ κοινωνίαν ἔργε τινὸς ἢ παιδιᾶς· ἡ μὲν μυῖαι φοβεμένη, τῷ πάσχειν κακῶς καὶ διασοβεῖσθαι πολλάκις· ἡ δὲ χελιδὼν, τῷ φύσει μισάνθρωπος εἶναι, καὶ δι' ἀπιςίαν ἀτιθάσσευτος ἀεὶ καὶ ὕποπτος. εἴπερ ἒν δεῖ τὰ τοιαῦτα μὴ κατ' εὐθυωρίαν, ἀλλ' ἀνακλάσαντας, ὥσπερ ἐμφάσεις ἑτέρων ἐν ἑτέροις θεωρεῖν, παράδειγμα τὰς χελιδόνας τᾶ ἀβεβαίε καὶ ἀχαρίςε θέμενος, ἐκ ἐᾷ τὲς ἕνεκα καιρᾶ προσφερομένες [4] καὶ ὑποδυομένες, ποιεῖσθαι συνήθεις ἐπὶ πλέον, ἑςίας καὶ οἴκε, καὶ τῶν ἁγιωτάτων μεταδιδόντας.

IV. Ταῦτ' εἰπὼν ἐγώ μοι δοκῶ ποιῆσαι [5] λόγων ἄδειαν· εὐθαρσῶς γὰρ ἤδη τοῖς ἄλλοις συμβόλοις προσῆγον, ἠθικὰς ἐπιεικῶς ποιέμενοι [6] τὰς λύσεις αὐτῶν. τῆς μὲν γὰρ χύτρας τὸν τύπον, ἔφη Φιλῖνος, ἀφανίζειν

1 R. susp. ςέγης, *mercedem dat datae sibi veniae pedis in tecto* ponendi.

2 R mavult ἤδη δέ.

3 Ald. Bas. ἄπτυςος. Hinc Xyl. susp. κατάπτυςος.

4 R. susp. προσφθειρομένας, vulgatam tamen defendi posse monens.

5 R. susp. ταῦτα εἰπὼν ἐγὼ μὲν ἀνεπαυόμην, δοκῶν ἱκανὴν τῆς ἀπορίας λύσιν ἀποδῦναι. τοῖς δ' ἄλλοις ἐποίησα λόγων ἄδειαν — *his dictis, finem dicendo faciebam, quum idonea, ut mihi quidem videbar, ratione huic quaestioni satisfecissem. At reliquis ex ratione ingenio suo et sermoni indulgendi portam amplam aperueram.* W. susp. ἐδόκεν ποιῆσαι, vel, μοι δοκεῖν, ἐποίησα.

6 Ald. Bas. ποιέμενος. Xyl. correxit ποιέμενοι. Turn. V. Bong. ποιεμένοις.

ζειν αὐτὰς, διδάσκοντας, ὅτι δεῖ μηδὲν ὀργῆς ἔνδηλόν [1] ἀπολιπεῖν ἴχνος, ἀλλ' ὅταν ἀναζέσασα [2] παύσηται καὶ καταςῇ, πᾶσαν ἐξηλεῖφθαι [3] μνησικακίαν. ἡ δὲ τῶν ςρωμάτων συντάραξις ἐνίοις μὲν ἐδόκει μηθὲν ἔχειν ἀποκεκρυμμένον, ἀλλ' αὐτόθεν φαίνεσθαι, τὸ μὴ πρέπον ἀνδρὶ, συγκεκοιμημένης γαμετῆς, χώραν ὁρᾶσθαι καὶ τύπον ὥσπερ ἐκμαγεῖον ἀπολιπόμενον. ὁ δὲ Σύλλας μᾶλλον εἴκαζε κοιμήσεως μεθημερινῆς ἀποτροπὴν εἶναι τὸ σύμβολον, ἀναιρεμένης ἕωθεν εὐθὺς τῆς πρὸς τὸν ὕπνον παρασκευῆς· ὡς νυκ'ὸς ἀναπαύεσθαι δεῖν, ἡμέρας δὲ πράττειν ἀναςάντας, καὶ μὴ περιορᾶν οἷον ἴχνος [4] σώματος· ἐδὲν γὰρ ἀνδρὸς ὄφελος καθεύδοντος, ὥσπερ ἐδὲ τεθνηκότος. τέτοις δὲ συμμαρτυρεῖν ἐδόκει καὶ τὸ παρεγγυᾶν τὰς Πυθαγορικὰς τοῖς ἑταίροις, μηδενὸς ἀφαιρεῖν βάρος, συνεπιτιθέναι δὲ καὶ συνεπιφορτίζειν· ὡς μηδεμίαν σχολὴν, μηδὲ ῥᾳςώνην, ἀποδεχομένες.

## QUAESTIO VIII.

### Quare Pythagorici de animalibus maxime pisces pro cibo sint aversati [5].

Ἐπεὶ δὲ [6] τέτων λεγομένων ὁ Λεύκιος, ἔτε ψέγων, ἔτ' ἐπαινῶν, ἀλλ' ἡσυχίαν ἄγων, σιγῇ δὲ καὶ [7] καθ'



1 R. quaerit, num ἔναυλον, tamen ipse monens, non opus esse.

2 Ita Xyl. & H. Steph. scribendum monuerunt pro vulg. ἀναζέσας, dedique cum W. idem ex Anon. reponente.

3 Vulgo ἐξαλεῖφθαι; Turn. & V. ἐξαλείφεσθαι vel ἐξαληλίφθαι. R. legi vult aut ἐξαλειφθῆναι, aut ἐξαληλίφθαι. W. susp. ἐξηλίφθαι. Ex usitatis hujus verbi formis alterutra sumenda videbatur, aut ἐξηλεῖφθαι aut ἐξαληλίφθαι.

4 R. susp. ἴχνος νεκρᾶ σώματος.

5 Personae colloquii sunt Empedocles, Sylla, Lucius, Tyndares, Nestor.

6 Ab his, quae vulgo priori quaestioni junguntur, ordiri voluerunt novam quaestionem Xyl. & H. Steph. Cum W. non solum sententiae legi, sed & auctoritati cod. Palat. obsecuto, ea in suum locum referenda censui.

7 R. καὶ deleri voluit.

καθ' ἑαυτὸν ὁρῶν ἥκεν, ὀνομασὶ καλέσας τὸν Σύλλαν ὁ Ἐμπεδοκλῆς· Λεύκιος, εἶπεν, ὁ ἑταῖρος, εἰ μὲν ἄχθεται τοῖς λεγομένοις, ὥρα πεπαῦσθαι καὶ ἡμᾶς· εἰ δὲ [1] ταῦτα τῶν ὑπὸ τὴν ἐχεμυθίαν ἐςὶν, ἀλλ' ἐκεῖνό γε [2] δοκῶ μήτ' ἄῤῥητον εἶναι, μήτ' ἀνέξοισον πρὸς ἑτέρους, ὅτι δὴ μάλιςα τῶν ἰχθύων ἀπείχοντο· καὶ γὰρ ἱςορεῖται τοῦτο περὶ τῶν παλαιῶν Πυθαγορικῶν· καὶ τοῦ καθ' ἡμᾶς Ἀλεξικράτους ἐνέτυχον μαθηταῖς, ἄλλα μέν ἐςιν ὅτε μετρίως προσφερομένοις, καὶ νὴ Δία θύουσιν, ἰχθύος δὲ μὴ γεύσασθαι τὸ παράπαν ὑπομένουσιν [3]. ἣν δὲ Τυνδάρης, ὁ Λακεδαιμόνιος, αἰτίαν ἔλεγε [4] τῆς ἐχεμυθίας, τοῦτο γέρας εἶναι τοὺς ἰχθῦς καλεῖν

1 Turn. V. εἰ δή.

2 Pro γε Ald. τε; nec non deinde ὅτε δὲ pro ὅτι δή.

3 R. fusp. ἰχθύος δὲ γεύεσθαι τὸ παράπαν οὐχ ὑπομένουσιν.

4 Locus misere turbatus. Cum in Baf. δὲ legatur post ἔλεγε, ita ferme Plutarchum dedisse conjicit R. αἰτίαν τῆς ἐχεμυθίας ἔλεγε, ταύτην οὐκ ἀποδέχομαι (vel simile quid) ἔλεγε δέ. Abest deinde ἔλλοπας ab Ald. & Baf. Pro τῷ παυσαμένῳ R. legi vult τὸν παυσάμενον, addens, videri Empedoclem illum veterem Agrigentinum significari. Turn. denique & V. a vulgata lectione admodum discrepant, ita dantes: τὰ δόγματα σιγῶντα χρόνον ἐτῶν πέντε οὐκ ἔλασσω. Kaltw. Gallicam sequens Ricardi interpretationem, ita loci sententiam exprimit: „*Ich für meine Person bin ganz der Meinung des Lakedämoniers Tyndares, welcher behauptete, die grosse Achtung, die sie dem Stillschweigen erwiesen, sey die wahre Ursache davon. Jener alte Pythagoreer, gleiches Namens mit mir, der zuerst aufhörte, die Lehren nach pythagorischer Art in dunkeln Allegorien vorzutragen, nannte die Fische Ellopes, das heißt, Thiere, die die Stimme gebunden und in sich selbst verschlossen haben. Ueberhaupt betrachteten diese Philosophen das Stillschweigen als eine Gottheit, weil auch die Götter den Weisen alles, was sie wollen, ohne Stimme durch Werke und Handlungen zu verstehen geben.* Teste W. locus multis corruptelis ac difficultatibus impeditus. Quaerit, ubi Tyndares hoc dixerit? addens, nec verbis nec sententia constare reliqua,

καλεῖν ἔλλοπας, οἷον ἰλλομένην τὴν ὄπα καὶ καθειργομένην ἔχοντας· καὶ τὸν ὁμώνυμον ἐμοὶ τῷ παυσαμένῳ Πυθαγορικῶς περαίνειν τὰ δογματα, σέγουσαι Φρενὸς, ἀλλ' ὅπερ ἐλάσσω, καὶ ὅλως θεὸν ἡγεῖσθαι τὴν σιωπὴν τοὺς ἄνδρας, ἅτε δὴ καὶ τῶν θεῶν ἔργοις καὶ πράγμασιν ἄνευ Φωνῆς ἐπιδεικνυμένων, ἃ βούλονται τοῖς ξυνετοῖς.

II. Τοῦ δὲ Λευκίου πρᾴως καὶ ἀφελῶς εἰπόντος, ὡς ὁ μὲν ἀληθὴς ἴσως λόγος καὶ νῦν ἀπόθετος καὶ ἀπόῤῥητος εἴη, τοῦ δὲ πιθανοῦ καὶ εἰκότος οὐ Φθόνος ἀποπειρᾶσθαι· πρῶτος Θέων, ὁ γραμματικὸς, εἶπεν, ὅτι Τυῤῥηνὸν μὲν ἀποδεῖξαι Πυθαγόραν μέγα ἔργον εἴη καὶ οὐ ῥᾴδιον· Αἰγυπτίων δὲ τοῖς σοφοῖς συγγενέσθαι πολὺν χρόνον ὁμολογεῖται, ζηλῶσαί τε πολλὰ καὶ δοκιμάσαι μάλιστα τῶν περὶ τὰς ἱερατικὰς ἁγιστείας [1]· οἷον ἐστι καὶ τὸ τῶν κυάμων· οὔτε γὰρ σπείρειν, οὔτε σιτεῖσθαι κύαμον Αἰγυπτίους, ἀλλ' οὐδὲ ὁρῶντας ἀνέχεσθαί φησιν ὁ Ἡρόδοτος [2]· ἰχθύων δὲ καὶ τοὺς ἱερεῖς ἴσμεν ἔτι νῦν ἀπεχομένους· ἁγνεύοντες δὲ καὶ τὸν ἅλα Φεύγουσιν, ὡς μήτ' ὄψον προσφέρεσθαι μηδὲν [3] ἅλεσι θαλαττίοις μεμιγμένον. ἄλλοι μὲν οὖν ἄλλας αἰτίας Φέρουσιν· ἔστι δ' ἀληθὴς μία, τὸ πρὸς τὴν θάλατταν ἔχθος, ὡς ἀσύμφυλον ἡμῖν καὶ ἀλλότριον, μᾶλλον δὲ ὅλως πολέμιον τῇ Φύσει τοῦ ἀνθρώπου στοιχεῖον. οὐ γὰρ τρέφεσθαι τοὺς θεοὺς ἀπ' αὐτῆς, ὥσπερ οἱ Στωϊκοὶ τοὺς ἀστέρας, ὑπολαμβάνουσιν, ἀλλὰ τοὐναντίον εἰς ταύτην ἀπόλλυσθαι τὸν πατέρα καὶ σωτῆρα τῆς χώρας, ὃν Ὀσίριδος ἀποῤ-

 ῥοὴν

liqua, & hanc emendandi rationem proponens: τὴν δὲ αἰτίαν Τυνδάρης ὁ Λακεδαιμόνιος ἡμῖν ἔλεγε, τῆς ἐχεμυθίας τοῦτο γέρας εἶναι, καὶ τοὺς ἰχθῦς καλεῖν ἔλλοπας — καὶ τὸν ὁμώνυμον ἐμοὶ τῷ ἀπεωσμένῳ Πυθαγορικῷ παραινεῖν τὰ δόγματα στέγειν ἔσω Φρενὸς ἔλλοπος οὔτι ἐλάσσω· καὶ ὅλως θεῖον ἡγεῖσθαι —.

1 R. mavult μάλιστα τὰ περὶ τὰς ἱερατικὰς ἁγνείας.

2 cf. L. II, c. 37.

3 Pro μηδὲν Ald. Bas. μήτε.

ῥοὴν ὀνομάζουσι· καὶ θρηνοῦντες τὸν ἐν τοῖς ἀριστεροῖς μέρεσι γεννώμενον, ἐν τοῖς δεξιοῖς [1] φθειρόμενον, αἰνίττονται τὴν τοῦ Νείλου τελευτὴν καὶ φθορὰν ἐν τῇ θαλάττῃ γινομένην. ὅθεν οὔτε τὸ ὕδωρ πότιμον αὐτῆς, οὔτε ὧν τρέφει τι καὶ γεννᾷ, καθαρὸν [2] ἡγοῦνται καὶ οἰκεῖον, οἷς μήτε πνεύματος κοινοῦ, μήτε συμφύλου νομῆς μέτεστιν, ἀλλὰ ὁ σώζων πάντα τἄλλα καὶ τρέφων ἀὴρ, ἐκείνοις ὀλέθριός ἐστιν, ὡς παρὰ φύσιν καὶ χρείαν γεγονόσι καὶ ζῶσιν. οὐ δεῖ δὲ θαυμάζειν, εἰ τὰ ζῶα διὰ τὴν θάλατταν ἀλλότρια, καὶ οὐκ ἐπιτήδεια καταμίγνυσθαι εἰς αἷμα καὶ πνεῦμα νομίζουσιν αὐτῶν, οἵ γε μηδὲ τοὺς κυβερνήτας ἀξιοῦσι προσαγορεύειν ἀπαντῶντες, ὅτι τὸν βίον ἀπὸ θαλάττης ἔχουσι.

III. Ταῦτ' ἐπαινέσας ὁ Σύλλας προσεῖπε περὶ τῶν Πυθαγορικῶν, ὡς μάλιστα μὲν ἐγεύοντο τῶν ἱεροθύτων ἀπαρχόμενοι τοῖς θεοῖς· ἰχθύων δὲ θύσιμος οὐδεὶς, οὐδὲ ἱερεύσιμός ἐστιν. ἐγὼ δὲ, παυσαμένων ἐκείνων, Αἰγυπτίοις [3] μὲν, ἔφην, ὑπὲρ τῆς θαλάττης πολλοὺς μαχεῖσθαι καὶ φιλοσόφους καὶ ἰδιώτας, ἐκλογιζομένους, ὅσοις ἀγαθοῖς εὐπορώτερον καὶ ἡδίω τὸν βίον ἡμῶν πεποίηκεν. ἡ δὲ τῶν Πυθαγορικῶν πρὸς τὸν ἰχθὺν ἐκεχειρία, διὰ τὸ μὴ σύμφυλον, ἄτοπος καὶ γελοῖα [4], μᾶλλον δ' ἀνήμερος ὅλως, καὶ Κυκλώπειόν τι [5] τοῖς ἄλλοις γέρας νέμουσα τῆς συγγενείας καὶ τῆς οἰκειότητος, ὀψοποιουμένης καὶ ἀναλισκομένης [6] ὑπ' αὐτῶν.

1 Mez. ἐν δὲ τοῖς δεξ.

2 R. susp. τρέφει τε καὶ γεννᾷ, καθαρόν τι ἡγ.

3 Sic R. legendum monuit cum Xyl. — *adversus Aegyptios pugnabunt multi* — dedique cum W. accedente Mez. Vulgo Αἰγυπτίους.

4 Secutus sum W. ita dantem e Palat. & Turn. Vulgo γελοῖον, quod Xyl. servans, proxime ἀνήμερον dedit. R. voluit γελοῖος.

5 Alluditur, Kaltw. monente, ad Odyss. IX, 369.

6 W. docente, legendum ὀψοποιουμένοις καὶ ἀναλισκομένοις.

τῶν. καίτοι βόλον ἰχθύων πρίαθαί ποτε φασὶ τὸν Πυθαγόραν, εἶτ' ἀφεῖναι κελεῦσαι τὴν σαγήνην, ἐχ ὡς ἀλλοφύλων καὶ πολεμίων ἀμελήσαντα τῶν ἰχθύων, ἀλλ' ὡς ὑπὲρ φίλων καὶ οἰκείων γεγονότων αἰχμαλώτων λύτρα καταβαλόντα. διὸ τἐναντίον (ἔφην) ὑπονοεῖν τῶν ἀνδρῶν ἡ [1] ἐπιείκεια καὶ πρᾳότης δίδωσι, μή ποτ' ἄρα μελέτης ἕνεκεν τȣ̃ δικαίȣ καὶ συνηθείας ἐφείδοντο μάλιϛα τῶν ἐναλίων, ὡς τἆλλα μὲν αἰτίαν ἀμωσγέπως παρέχοντα τȣ̃ κακῶς πάσχειν τῷ ἀνθρώπῳ, τȣ̀ς δ' ἰχθῦς ἐδὲν ἀδικȣ̃ντας ἡμᾶς, ἐδ' ἂν [2] πάνυ πεφύκασι δυναμένȣς. πάρεϛι δὲ τῶν τε λόγων καὶ τῶν ἱερῶν εἰκάζειν τοῖς παλαιοῖς, ὡς ȣ̓ μόνον ἐδωδὴν, ἀλλὰ καὶ φόνον, ζώȣ μὴ βλάπτοντος, ἔργον ἐναγὲς καὶ ἄθεσμον ἐποιȣ̃ντο· πλήθει δ' ἐπιχεομένῳ καθειργόμενοι, καὶ χρησμȣ̃ τινος (ὥς φασιν) ἐκ Δελφῶν ἐπικελευσαμένȣ τοῖς καρποῖς ἀρήγειν φθειρομένοις, ἤρξαντο μὲν καθιερεύειν· ἔτι δὲ ὅμως ταραττόμενοι καὶ δειμαίνοντες, ἔρδειν μὲν ἐκάλȣν καὶ ῥέζειν [3], ὥς τι μέγα δρῶντες τὸ θύειν ἔμψυχον· ἄχρι δὲ νῦν παραφυλάττȣσιν ἰσχυρῶς τὸ μὴ σφάττειν, πρὶν ἐπινεῦσαι κατασπενδόμενον· ȣ̔́τως εὐλαβεῖς πρὸς ἅπασαν ἀδικίαν ἦσαν [4]. καίτοι, ἵνα τἆλλα ἐάσωμεν, εἰ μόνον ἀλεκτορίδων ἀπείχοντο πάντες, ἢ δασυπόδων, ȣ̓κ ἂν ἦν χρόνȣ βραχέος ὑπὸ πλήθȣς, ȣ̓́τε πόλιν οἰκεῖν, ȣ̓́τε καρπῶν ὄναθαι· διὸ τῆς ἀνάγκης ἐπαγȣ́σης [5] τὸ πρῶτον, ἤδη καὶ δι' ἡδονὴν [6] ἔργον παῦσαι τὴν σαρκοφα-



1 Vulgo abeſt ἡ. Dedi articulum R. jubente. Conſentit W. cum Mez.

2 Pro ἂν Turn. dat εἰ.

3 Baſ. ῥαίζειν. Xyl. correxit.

4 Sic cum W. dedi e Baſ. accedentibus Palat. & Xyl. pro vulg. εἰσὶν.

5 H. Steph. ſcribendum monet ἐπειγȣ́σης.

6 R. ſuſp. τὸ πρῶτον ἥπτοντο τῶν κρεῶν ἀνάγκῃ, νῦν δ' ἤδη καὶ δι' ἡδονήν.

κοφαγίαν. τὸ δὲ τῶν θαλαττίων γένος οὐ τὸν [1] ἀέρα τὸν αὐτὸν, οὔτε ὕδωρ ἀναλίσκον ἡμῖν, οὔτε καρποῖς προσιὸν, ἀλλὰ ὥσπερ ἑτέρῳ κόσμῳ περιεχόμενον, καὶ χρώμενον ὅροις ἰδίοις, οὓς ὑπερβαίνουσιν αὐτοῖς ἐπίκειται δίκη ὁ θάνατος, οὔτε μικρὰν, οὔτε μεγάλην τῇ γαστρὶ πρόφασιν κατ' αὐτῶν δίδωσιν· ἀλλὰ παντὸς ἰχθύος ἄγρα καὶ σαγηνεία, λαιμαργίας καὶ φιλοψίας περιφανῶς ἔργον ἐστὶν, ἐπ' οὐδενὶ δικαίῳ ταραττούσης τὰ πελάγη, καὶ καταδυομένης εἰς τὸν βυθόν. οὔτε γὰρ τρίγλαν ἐστὶ δήπου ληϊβότειραν [2], οὔτε σκάρον τρυγηφάγον, οὔτε κεστρεῖς τινας ἢ λάβρακας σπερμολόγους προσειπεῖν, ὡς τὰ χερσαῖα κατηγοροῦντες [3], ὀνομάζομεν· ἀλλ' οὐδ' ὅσα γαλῇ καὶ μυίᾳ κατοικιδίῳ [4] μικρολόγως ἐγκαλοῦμεν, ἔχοι τις ἂν αἰτιάσασθαι τὸν μέγιστον ἰχθῦν. ὅθεν ἀνεῖργοντες [5] ἑαυτοὺς οὐ νόμῳ μόνῳ τῆς πρὸς ἄνθρωπον ἀδικίας, ἀλλὰ καὶ φύσει τῆς προς ἅπαν τὸ μὴ βλάπτον [6], ἥκιστα τῶν ὄψων ἐχρῶντο τοῖς ἰχθύσιν, ἢ τὸ παράπαν οὐκ ἐχρῶντο. καὶ γὰρ ἄνευ τῆς ἀδικίας ἀκρασίαν τινὰ καὶ λιχνείαν ἐμφαίνειν ἔοικεν ἡ περὶ ταῦτα πραγματεία πολυτελὴς οὖσα καὶ περίεργος. ὅθεν Ὅμηρος οὐ μόνον τοὺς Ἕλληνας ἰχθύων ἀπεχομένους πεποίηκε περὶ τὸν Ἑλλήσποντον στρατοπεδεύοντας, ἀλλ' οὐδὲ τοῖς ἁβροβίοις [7] Φαίαξιν, οὐδὲ τοῖς ἀσώτοις μνηστῆρσιν, ἀμφοτέροις οὖσι νησιώ-

1 R. mavult οὔτε ἀέρα.

2 Ald. Bas. ληϊβωτέραν. Turn. Bong. ληιβοτῆραν. Xyl. correxit.

3 Sic e Bas. legendum monuit R. dedique cum W. accedentibus Xyl. H. Palat. Vatic. pro vulg. κατηγοροῦντος.

4 Secutus sum W. ita dantem e Palat. pro vulg. γαλῆς καὶ μυίας κατοικιδίων. Xyl. in duobus prioribus consentit. R. maluit μυὸς, *muris*.

5 Ita uno vocabulo legendum monuit R. pro vulg. ὅθεν ἂν εἴργοντες. Idem W. e Mez. correxit.

6 Vulgo τῆς ἅπαντα μὴ βλάπτον. Restitui, R. jubente, lectionem Bas. & Xyl. cum W.

7 Ald. Bas. ἀβροβίοις. Xyl. correxit.

νησιώταις, θαλάττιον παρατέθεικεν ὄψον. οἱ δ' Ὀδυσσέως ἑταῖροι, τοσαύτην πλέοντες θάλατταν, ἐδαμοῦ καθῆκαν ἄγκιστρον, ἐδὲ πόρκον, ἐδὲ δίκτυον, ἀλφίτων παρόντων·

Ἀλλ' ὅτε δὴ νηὸς ἐξέφθιτο ἤϊα πάντα [1],

μικρὸν ἔμπροσθεν, ἢ ταῖς τοῦ ἡλίου βουσὶν ἐπιχειρεῖν, ἰχθῦς ἀγρεύοντες, οὐκ ὄψον, ἀλλὰ τροφὴν ἀναγκαίαν ἐποιοῦντο,

Γναμπτοῖς ἀγκίστροισιν· ἔτειρε δὲ γαστέρα λιμός·

ὑπὸ τῆς αὐτῆς ἀνάγκης ἰχθύσι τε χρωμένων καὶ τὰς τοῦ ἡλίου βοῦς κατεσθιόντων. ὅθεν οὐ παρ' Αἰγυπτίοις μόνον, ἐδὲ Σύροις, ἀλλὰ καὶ παρ' Ἕλλησι, γέγονεν ἁγνείας μέρος ἀποχὴ ἰχθύων, μετὰ τοῦ δικαίου [2] καὶ τὸ περίεργον (οἶμαι) τῆς βρώσεως ἀποδιοπομπουμένοις.

IV. Ὑπολαβὼν δὲ ὁ Νέστωρ· Τῶν δ' ἐμῶν (ἔφη) πολιτῶν, ὥσπερ Μεγαρέων, ἐδεὶς λόγος· καίτοι πολλάκις ἀκήκοας ἐμοῦ λέγοντος, ὅτι ἀεὶ οἱ [3] τοῦ Ποσειδῶνος ἱερεῖς, οὓς ἱερομνήμονας καλοῦμεν, ἰχθῦς οὐκ ἐσθίουσιν· ὁ γὰρ θεὸς λέγεται φυτάλμιος. οἱ δὲ, ἀφ' Ἕλληνος τοῦ παλαιοῦ, καὶ πατρογενείῳ Ποσειδῶνι θύουσιν, ἐκ τῆς ὑγρᾶς τὸν ἄνθρωπον οὐσίας φῦναι δόξαντες [4], ὡς καὶ Σύροι· διὸ καὶ σέβονται τὸν ἰχθῦν, ὡς ὁμογενῆ καὶ σύντροφον, ἐπιεικέστερον Ἀναξιμάνδρου φιλοσοφοῦντες· οὐ γὰρ ἐν τοῖς αὐτοῖς ἐκεῖνος ἰχθῦς καὶ ἀνθρώπους, ἀλλ' ἐν ἰχθύσιν ἐγγενέσθαι τὸ πρῶτον ἀνθρώπους ἀποφαίνεται, καὶ τραφέντας, ὥσπερ οἱ παλαιοὶ [5], καὶ γενο-

1 Odyss XII, 329. & deinde v. 332.

2 W. mavult ἀδίκου.

3 R. mavult transpositis vocabulis ὅτι οἱ ἀεὶ; W. susp. ὅτι δὴ οἱ.

4 Turn. V. δοξάζοντες.

5 Quid haec sibi velint, dubium est. Certe huic loco non sunt apta, ne vertendo quidem cum Xyl. *ut veteres putant.* W. aptius censet ὡσπερεὶ παιδείᾳ, vertitque: *&* *veluti educati.* Referenda huc videtur lectio e Turn. notata ἁπαλεῖς. Sed quid inde lucri?

γενομένους ἱκανοὺς ἑαυτοῖς βοηθεῖν, ἐκβληθῆναι τηνικαῦτα, καὶ γῆς λαβέσθαι. καθάπερ οὖν τὸ πῦρ τὴν ὕλην, ἐξ ἧς ἀνήφθη, μητέρα καὶ πατέρα οὖσαν, ἤσθιεν· ὡς ὁ τὸν Κήϋκος γάμον εἰς τὰ [1] Ἡσιόδου παρεμβαλὼν εἴρηκεν· οὕτως ὁ Ἀναξίμανδρος τῶν ἀνθρώπων πατέρα καὶ μητέρα κοινὸν ἀποφήνας τὸν ἰχθὺν, διέβαλε πρὸς τὴν βρῶσιν.

## QUAESTIO IX.

### Fierine possit, ut propter cibos novi exsistant morbi [2]?

Φίλων, ὁ ἰατρὸς, διεβεβαιοῦτο, τὴν καλουμένην ἐλεφαντίασιν οὐ πρὸ πολλοῦ πάνυ χρόνου γνώριμον γεγονέναι· μηδένα γὰρ τῶν παλαιῶν ἰατρῶν τοῦ πάθους τούτου πεποιῆσθαι λόγον, εἰς ἕτερα μικρὰ καὶ γλίσχρα καὶ δυσθεώρητα [3] τοῖς πολλοῖς ἐνταθέντων [4]. ἐγὼ δὲ καὶ μάρτυν αὐτῷ παρεῖχον ἐκ φιλοσοφίας Ἀθηνόδωρον, ἐν τῷ προτέρῳ τῶν ἐπιδημίων ἱστοροῦντα, πρῶτον ἐν τοῖς κατ' Ἀσκληπιάδην χρόνοις οὐ μόνον τὴν ἐλεφαντίασιν ἀλλὰ καὶ τὸν ὑδροφόβαν [5] ἐκφανῆ γενέσθαι. θαυμάζοντες οὖν οἱ παρόντες, εἰ νέα πάθη τότε πρῶτον ἔσχεν ἐν

1 Sic R. dari voluit — scil. ποιήματα, dedique cum W. ex Baf. & Xyl. pro vulg. εἰς τάς.

2 Personae colloquii sunt Philon, Diogenianus, Plutarchus. Graeca quaestionis hujus inscriptio vulgo a latina differt, quae lectionem Baf. διὰ σιτία pro καὶ δι' ἃς αἰτίας exhibentem sequitur. Ald. διασιτίας; V. δίας αἰτίας.

3 Turn. καὶ οὐ δυσθεώρητα.

4 Dedi sic e R. mente, ut redeat ad ἰατρῶν — cum tamen illi cogitationem sermonemque ad alia minuta & obscura intenderint. Ald. ἐνταθέντας, idque consentientibus Venet. H. recepit W. In Baf. ἐνταθέντα legitur, quod W. a Steph. sumtum esse notat ex Leonic. & Pol.

5 Turn. V. Anon. τὴν ὑδροφοβίαν, quod R. probat.

ἐν τῇ φύσει γένεσιν καὶ σύςασιν [1], ὀχ ἧττον ᾤοντο θαυμάσιον εἶναι τὸ λαθεῖν τηλικαῦτα συμπτώματα χρόνον τοσῦτον· ἐῤῥύησαν δέ πως μᾶλλον οἱ πλείες ἐπὶ τὸ δεύτερον, ὡς ἀνθρώπινον μᾶλλον [2]. ἥκιςα τὴν φύσιν ἔν γε τύτοις φιλόκαινον εἶναι, καὶ νέων πραγμάτων, ὥσπερ ἐν πόλει, τῷ σώματι δημιυργὸν ἀξιῦντες.

II. Ὁ δὲ Διογενιανὸς ἔφη, καὶ τὰ τῆς ψυχῆς νοσήματα καὶ πάθη κοινήν τινα καὶ πάτριον ὁδὸν βαδίζειν. καίτοι παντοδαπὸν μὲν (εἶπεν) ἡ μοχθηρία καὶ πολύτολμον, αὐτοκρατὲς δὲ ἡ ψυχὴ καὶ κύριον ὑπ' αὐτῆς [3], εἰ βέλοιτο, μεταβάλλειν καὶ τρέπεσθαι ῥαδίως [4]. ἔχει δέ τινα τάξιν τὸ ἄτακτον αὐτῆς, καὶ τὰ μέτρα τηρεῖ τοῖς πάθεσιν, ὥσπερ ἡ θάλαττα ταῖς ὑπερεκχύσεσι [5], καὶ καινὸν ὐδὲν, ὐδὲ τοῖς παλαιοῖς ἀνιςόρητον, ἐξέφυθηκε κακίας εἶδος· ἀλλὰ πολλὰς μὲν ἐπιθυμιῶν διαφορὰς, μυρία δὲ κινήματα φόβυ, καὶ σχήματα τῆς λύπης, καὶ ἡδονῆς μορφὰς, ἔργον ἐςὶ μὴ ἀπειπεῖν ἐξαριθμύμενον·

Οὐ μέν τι [6] νῦν γε κἀχθὲς, ἀλλ' ἀεί ποτε,
Ζῇ ταῦτα, καὶ ὐδεὶς οἶδεν, ἐξ ὅτυ ἐφάνη·

πόθεν γε δὴ σώματι νόσημα καινὸν, ἢ πάθος ὀψίγονον, ἰδίαν [7] μὲν, ὥσπερ ἡ ψυχὴ, κινήσεως ἀρχὴν οἴκοθεν ὐκ ἔχοντι, συνημμένῳ δὲ κοιναῖς πρὸς τὴν φύσιν αἰτίαις καὶ κεκραμένῳ κρᾶσιν, ἧς καὶ τὸ ἀόρι-

ςυν

1 Dedi sic e R. mente, W. consensu probata. Vulgo ςάσιν. Occurrit eadem vox c. 2.

2 R. susp. μᾶλλον ὄν.

3 W. susp. ἀπ' αὐτῆς; Mez. ὑφ' ἑαυτῆς.

4 R. post ῥαδίως videtur deesse ἢ μή.

5 Sic recte legi in Bas. monuit R. dedique cum W. accedentibus Ald. Xyl. Mez. Palat. Vatic. Vulgo ὑπεκχύσεσι.

6 Secutus sum W. ita ex Ald Bas. Xyl. Palat. Vatic. dantem pro vulg. μέντοι, quod Steph. ex Pol. habuit. Ald. quidem & Bas. dant μήν τι. In Sophoclis Antigon. v. 456 sq. legitur ὐ γάρ τι; nec non deinde κὐδεὶς οἶδεν ἐξ ὅτυ 'φάνη.

7 Secutus sum W. ita ex H. & Mez. dantem. Vulgo ἰδίᾳ.

σου [1] ἐντὸς ὅρων πλανᾶται, καθάπερ πλοῖον ἐν περιδρόμῳ σαλεῦον. οὔτε γὰρ ἀναίτιος νέου σύστασίς ἐστι, τὴν ἐκ μὴ ὄντος παρανόμως ἐπεισάγουσα γένεσιν καὶ [2] δύναμιν τοῖς πράγμασιν· αἰτίαν δὲ καινὴν ἔργον ἐξευρεῖν, μὴ καινὸν ἀέρα, καὶ ξένον ὕδωρ, καὶ τροφὰς ἀγεύστους τοῖς προτέροις ἐξ ἑτέρων τινῶν κόσμων ἢ μετακοσμίων ἀποφήναντι δεῦρο νῦν πρῶτον ἐπιῤῥεούσας. ἐκ τούτων γὰρ νοσοῦμεν, οἷς καὶ ζῶμεν· ἴδια δὲ σπέρματα νόσων οὐκ ἔστιν· ἀλλ' αἱ τούτων μοχθηρίαι πρὸς ἡμᾶς, καὶ ἡμῶν περὶ ταῦτα πλημμέλειαι τὴν φύσιν ἐπιταράττουσιν· αἱ δὲ ταραχαὶ διαφορὰς ἀϊδίους [3] ἔχουσι πολλάκις νέοις χρωμένας ὀνόμασι· τὰ γὰρ ὀνόματα τῆς συνηθείας εἰσὶ, τὰ δὲ πάθη, τῆς φύσεως· ὅθεν ἀφωρισμένοις τούτοις ἐκεῖνα ποικιλλόμενα τὴν ἀπάτην πεποίηκεν. ὡς δὲ τοῖς τοῦ λόγου μορίοις καὶ ταῖς πρὸς ἄλληλα τούτων συντάξεσι καινὸν ἐγγενέσθαι βαρβαρισμὸν ἢ σολοικισμὸν ἐξαίφνης δυνατόν [4] ἐστιν, οὕτως αἱ τοῦ σώματος κράσεις ὡρισμένας ἔχουσι τὰς ὀλισθήσεις καὶ παραβάσεις, τρόπον τινὰ τῇ φύσει καὶ τῶν παρὰ φύσιν ἐμπεριεχομένων [5]. ταύτῃ γε κομψοὶ καὶ οἱ μυθογράφοι· τὰ γὰρ παντάπασιν ἔκφυλα [6] καὶ τεράστια τῶν ζώων γενέσθαι λέγουσιν ἐν τῇ γιγαντομαχίᾳ, τῆς σελήνης ἐκτρεπομένης, καὶ τὰς ἀνατολὰς οὐχ ὅθεν εἴωθεν ποιουμένης· οἱ δὲ καὶ τὰ νοσήματα τὴν φύσιν, ὥσπερ

1 Iterum hoc loco Ald. & Baf. ἄριστον; Xyl. correxit.

2 Abest καὶ a Baf. Hinc Xyl. notat, deesse aliquid, nisi δύναμιν abundet.

3 W. dubius est, an legendum ἰδίους, vel ἀρχαίας.

4 Turn. V. οὐ δυνατὸν; Mez. ἀδύνατον; ita Xyl. vertit. W. judice, difficile dictu est vulgatane an nova lectio vera sit, cum utraque suas habeat difficultates.

5 Ald. Baf. ἐμπειρίαν ἐχομένων. Xyl. correxit. W. mavult deinde Καὶ ταύτῃ γε κομψοί.

6 Dedi sic, Xyl. & H. Steph. jubentibus, e Turn. V. Bong. Salm. cum W. Accedunt Leonic. Schott. Mez. Vulgo ἔμφυλα.

ὥσπερ τέρατα, γεννᾶν ἀξιȣσι, μήτε πιθανὴν, μήτ' ἀπίθανον αἰτίαν τῆς ἐξαλλαγῆς πλάσσοντες, ἀλλὰ τὸ ἄγαν καὶ τὸ μᾶλλον ἐνίων παθῶν καινότητα καὶ διαφορὰν ἀποφαίνοντες, ȣκ ὀρθῶς, ὦ μακάριε Φίλων [1]. ἐπίτασις γὰρ καὶ αὔξησις μέγεθος καὶ πλῆθος προστίθησι, τȣ̃ δὲ γένȣς ȣκ [2] ἐκβιβάζει τὸ ὑποκείμενον· ὥσπερ ȣδὲ τὴν ἐλεφαντίασιν οἴομαι, σφοδρότητα τῶν ψωρικῶν τινος τȣτων [3] ȣ̃σαν, ȣδὲ τὸν ὑδροφόβαν τῶν ςομαχικῶν ἢ τῶν μελαγχολικῶν. καίτοι τȣτό γε θαυμαςὸν, εἰ μηδὲ Ὅμηρος ἀγνοῶν ἐλάνθανεν ἡμᾶς [4]. τὸν γὰρ λυσσητῆρα κύνα δῆλός ἐςιν ἀπὸ τȣ̃ πάθȣς τȣτȣ προσαγορεύων, ἀφ' ȣ̃ καὶ ἄνθρωποι λυσσᾶν λέγονται.

III. Ταῦτα τȣ̃ Διογενιανȣ̃ διελθόντος, ὁ Φίλων αὐτός τε μέτρια διελέχθη πρὸς τὸν λόγον αὐτȣ̃, καί με συνειπεῖν παρεκάλει τοῖς ἀρχαίοις ἰατροῖς, ὡς ἀμελείας ἢ ἀγνοίας τῶν μεγίςων ὀφλισκάνȣσιν, εἴ γε μὴ [5] ταῦτα τὰ πάθη νεώτερα φαίνεται τῆς ἐκείνων ἡλικίας. πρῶτον ȣ̃ν ὁ Διογενιανὸς ȣκ ὀρθῶς ἀξιȣ̃ν ἔδοξεν ἡμῖν, τὰς ἐπιτάσεις καὶ ἀνέσεις μὴ ποιεῖν διαφορὰς, μηδὲ τȣ̃ γένȣς ἐκβιβάζειν· ȣ̃τω γὰρ ȣ̃τ' ὄξος ὀξίνȣ φήσομεν διαφέρειν, ȣ̃τε πικρότητα ςρυφνότητος, ȣ̃τε πυρῶν

1 W. requirit ſententiae rationem, forte reſtituendam ita ordinandis verbis: οἱ δὲ — ἀξιȣ̃σι, μή τε ἱκανὴν μή τε ἄμυθον αἰτίαν τῆς ἐξαλλαγῆς πλάσσοντες. Ἄλλοι δὲ τὸ ἄγαν καὶ τὸ μᾶλλον ἐνίων παθῶν — ἀποφαίνονται· ȣκ ὀρθῶς, ὦ μακάριε Φίλων.

2 abeſt ȣκ ab Ald. & Baſ. expreſſit autem Xyl.

3 R. ſuſp. παθῶν. Dedi deinde τὸν ὑδροφ. pro vulg. τὸ ὑδροφ. cum W. e Xyl. & Mez. jubente H. Steph. Etiam h. l. Turn. V. τὴν ὑδροφοβίαν cum Anon.

4 Iliad. VIII, 299.

5 Dedi ſic e Turn. & V. nec non Xyl. verſ. cum W. accedentibus Pol. & Mez. pro vulg. εἴ γε δή. R. idem corrigendum monuit, aut legendum deinde πάθη μὴ νεώτ.

ρῶν αἶραν, οὔτε μίνθον ἡδύοσμιον [1]. καίτοι περιφανῶς ἐκστάσεις αὗται καὶ μεταβολαὶ ποιοτήτων εἰσὶν, αἱ μὲν ἀνέσεις μαραινομένων, αἱ δ' ἐπιτάσεις σφοδρυνομένων· ἢ μηδὲ φλόγα πνεύματος λευκοῦ, μηδὲ φλογὸς αὐγὴν, μηδὲ πάχνην δρόσου, μηδὲ χάλαζαν ὄμβρου διαφέρειν λέγωμεν, ἀλλ' ἐπιτάσεις εἶναι ταῦτα πάντα καὶ σφοδρότητας· ὥρα [2] δὲ καὶ τυφλότητα μηθὲν ἀμβλυωπίας φάναι διαφέρειν, μηδὲ ναυτίας χολέραν, ἀλλὰ τῷ [3] μᾶλλον καὶ ἧττον παραλλάττειν. καίτοι ταῦτα πρὸς λόγον οὐδέν ἐστιν· ἂν γὰρ αὐτὴν λέγωσι δεξάμενοι τὴν ἐπίτασιν καὶ τὴν σφοδρότητα νῦν γεγονέναι, πρῶτον, ἐν ποσῷ γινομένης τῆς καινότητος [4], οὐκ ἐν ποιῷ, μένει τὸ παράδοξον ὁμοίως· ἔπειτα, τοῦ Σοφοκλέους ἐπὶ τῶν, ὅτι μὴ πρότερον ἦν, ἀπιστουμένων, εἰ γέγονε νῦν, οὐ φαύλως εἰπόντος,

Ἅπαντα τὰ γένη τὸ πρῶτον ἦλθεν ἅπαξ [5],

δοκεῖ καὶ λόγον ἔχειν, τὸ μὴ μετὰ δρόμου, καθάπερ ὕσπληγγος μιᾶς πεσούσης, ἐκδραμεῖν τὰ πάθη πρὸς τὴν γένεσιν, ἄλλων δὲ ἄλλοις ἀεὶ κατόπιν ἐπιγινομένων, ἕκαστον ἐν χρόνῳ τινὶ λαβεῖν τὴν πρώτην γένεσιν [6]. εἰκά-

1 Secutus sum W. ita e Palat. dantem pro vulg. οὔτε μίνθον, ἢ ἡδύοσμον. Potuisset quoque reponi lectio Bas. & Xyl. a R. probata οὔτε μίνθης ἡδύοσμον. Mez. μίνθον ἡδύοσμου.

2 Sic R. jubente, e Bas. Xyl. & Turn. restitui pro vulg. ὅρα, cum W. Accedunt H. Palat. Vatic. Mez.

3 Ald. Bas. τό.

4 Sic in R. e Bas. & Xyl. restitutum legitur pro vulg. καινότητας.

5 R. haec ita interpretatur: „Fuit tempus, quum de unaquaque specie rerum aliquod exemplum singulare primum nasceretur, quod ante se non haberet aliud sibi simile, eaeque rerum species non simul omnes effusae, sed seorsim unae post alteras venerunt." W. notante, Valckenar. Diatr. Fragm. Eurip. p. 222. conjicit Ἅπαντα τ' ἀγέννητα πρῶτον ἦλθ' ἅπαξ.

6 Vulgo haec ita leguntur ἐδόκει καὶ λόγον ἔχειν, τοῦ μὲν δρόμου, κ. ὕσ. μ. πεσούσης, ἐ. τ. π. πρ. τ. γένεσιν, ἄλλων δὲ ἄλλοις

εἰκάσαι δ' ἄν τις (ἔφην ἐγὼ) τὰ μὲν ἀπ' ἐνδείας, ὅσα τε καῦμα προσπίπτον ἢ ψύχος ἐμποιεῖ, ταῦτα πρῶτον τοῖς σώμασι παραγενέσθαι· πλησμονὰς δὲ καὶ θρύψεις καὶ ἡδυπαθείας ὕστερον ἐπελθεῖν μετ' ἀργίας καὶ χολῆς δι' ἀφθονίαν τῶν ἀναγκαίων πολὺ περίττωμα ποιούσας, καὶ πονηρὸν, ἐν ᾧ ποικίλα νοσημάτων εἴδη, παντοδαπάς τε τούτων ἐπιπλοκὰς πρὸς ἀλλήλας καὶ μίξεις, ἀεί τι νεωτερίζειν. τὸ μὲν γὰρ κατὰ φύσιν τέτακται καὶ διώρισται· τάξις γὰρ, ἢ τάξεως ἔργον, ἡ φύσις· ἡ δὲ ἀταξία, καθάπερ ἡ Πινδαρικὴ ψάμμος, ἀριθμὸν περιπέφευγε· καὶ τὸ παρὰ τὴν φύσιν εὐθὺς ἀόριστον καὶ ἄπειρόν ἐστιν. ἀληθεύειν μὲν γὰρ, ἁπλῶς, ψεύδεσθαι δὲ, ἀπειραχῶς παρέχει τὰ πράγματα· καὶ ῥυθμοὶ καὶ ἁρμονίαι λόγους ἔχουσιν· ἃ δὲ πλημμελοῦσιν ἄνθρωποι περὶ λύραν καὶ ᾠδὴν καὶ ὄρχησιν, οὐκ ἄν τις περιλάβοι. καίτοι καὶ Φρύνιχος, ὁ τῶν τραγῳδιῶν ποιητὴς, περὶ αὐτοῦ φησιν, ὅτι

Σχήματα δ' ὄρχησις τόσα μοι πόρεν, ὅσσ' ἐνὶ πόντῳ
Κύματα ποιεῖται χείματι νὺξ ὀλοή.

καὶ Χρύσιππος τὰς ἐκ δέκα μόνων ἀξιωμάτων συμπλοκὰς πλήθει φησὶν ἑκατὸν μυριάδας ὑπερβάλλειν. ἀλλὰ τοῦτο μὲν ἤλεγξεν Ἵππαρχος, ἀποδείξας, ὅτι τὸ μὲν κατα-

ἄλλοι ἀεὶ κατόπιν ἐπιγινόμενον ἕκαστον, ἐν χρ. τ. λ. τ. πρ. γ. In his corrigendis restitui partim, quae leguntur in Bas. nimirum τὸ μὴ pro τοῦ μὲν, nec non ἄλλοις pro ἄλλοι, partim secutus sum Turn., dando μετὰ δρόμου pro δρόμου. Idem V. videtur voluisse, e quo notatur μετὰ δρόμον; R. voluit δρόμῳ. Denique dedi δοκεῖ pro ἐδόκει & ἐπιγινομένων pro ἐπιγινόμενον e W. mente, qui pro δρόμου maluit ἀθρόως. Intelligi hoc certe debet, &, meo quidem sensu, potest in μετὰ δρόμου more simul currentium e carceribus. Notat porro W. locum & obscuritate & varietate lectionis vexatum esse, & ita forte corrigendum, ut dedi. Ald. habet ἐκδρομὴν; Turn. V. Bong. ἐκδρομεῖν, vitiose sine dubio pro ἐκδραμεῖν; Ald. porro σίνεσιν pro γένεσιν, & R. tandem voluit ἄλλῳ δὲ ἄλλο ἀεί.

καταφατικὸν περιέχει συμπεπλεγμένων μυριάδας δέκα, καὶ πρὸς ταύταις χίλια τεσσαράκοντα ἐννέα· τὸ δ' ἀποφατικὸν αὐτῇ [1], μυριάδας τριακονταμίαν, καὶ πρὸς ταύταις ἐνακόσια πεντήκοντα δύο. Ξενοκράτης δὲ τὸν τῶν συλλαβῶν ἀριθμὸν, ὃν τὰ στοιχεῖα μιγνύμενα πρὸς ἄλληλα παρέχει, μυριάδων ἀπέφηνεν εἰκοσάκις καὶ μυριάκις μυρίων. τί δὴ θαυμαστόν ἐστιν, εἰ, τοσαύτας μὲν ἐν ἑαυτῷ τοῦ σώματος δυνάμεις ἔχοντος, τοσαύτας δὲ διὰ σίτων καὶ ποτῶν ἐπεισαγομένου ποιότητας ἑκάστοτε, χρωμένου δὲ κινήσεσι καὶ μεταβολαῖς, μήτε καιρὸν ἕνα [2] μήτε τάξιν ἀεὶ μίαν ἐχούσαις, αἱ πρὸς ἀλλήλας συμπλοκαὶ τούτων ἁπάντων ἔστιν ὅτε καινὰ καὶ ἀσυνήθη νοσήματα φέρουσιν· οἷον ὁ Θουκυδίδης ἱστορεῖ [3] τὸν Ἀθήνησι λοιμὸν γενέσθαι, τεκμαιρόμενος αὐτοῦ τὸ μὴ σύντροφον μάλιστα τῷ τὰ σαρκοφάγα μὴ γεύεσθαι τῶν νεκρῶν. οἱ δὲ περὶ τὴν ἐρυθρὰν θάλασσαν νοσήσαντες, ὡς Ἀγαθαρχίδας ἱστόρηκεν, ἄλλοις τε συμπτώμασιν ἐχρήσαντο καινοῖς καὶ ἀνιστορήτοις, καὶ δρακόντια μικρὰ τὰς κνήμας διεσθίοντα καὶ τοὺς βραχίονας ἐξέκυψεν, ἁψαμένων δ' αὖθις ἀνεδύετο, καὶ φλεγμονὰς ἀκαρτερήτους ἐνειλούμενα τοῖς μυώδεσι παρεῖχεν· καὶ τοῦτο τὸ πάθος οὔτε πρότερον οἶδεν οὐδεὶς, οὔτε ὕστερον ἄλλοις, ἀλλὰ ἐκείνοις γε [4] μόνοις γενόμενον, ὡς ἕτερα πολλά. καὶ γάρ ἐν δυσουρίᾳ τις γενόμενος πολὺν χρόνον ἐξέδωκε κριθίνην καλάμην γόνατα ἔχουσαν. καὶ τὸν ἡμέτερον ξένον Ἔφηβον Ἀθήνησιν ἴσμεν ἐκβάλλοντα μετὰ πολλοῦ σπέρματος θηρίδιον δασὺ καὶ πολλοῖς ποσὶ ταχὺ βαδίζον. τὴν δὲ Τίμωνος ἐν Κιλικίᾳ τηθὴν Ἀριστοτέλης ἱστόρηκε φωλεύειν τοῦ ἔτους ἑκά-

1 R. legendum monet αὖ pro αὐτοῦ.

2 absuerunt a R. vocabula μήτε καιρὸν ἕνα.

3 L. II. c. 48. 50.

4 Sic e Turn. & V. dedi pro vulg. ἐκείνοις τε. R. τε delendum censuit, W. mutandum in τότε vel γε.

ἑκάστε δύο μῆνας, μηδενὶ πλὴν μόνῳ τῷ ἀναπνεῖν, ὅτι ζῇ, διάδηλον ὄντα. καὶ μὴν ἔν γε τοῖς Μελωνείοις [1] σημεῖον ἡπατικᾶ πάθες ἀναγέγραπται, τὸ τὰς κατοικιδίας μῦς ἐπιμελῶς παραφυλάττειν καὶ διώκειν· ὃ νῦν ὐδαμᾶ γινόμενον ὁρᾶται. διὸ μὴ θαυμάζωμεν, ἂν γένηταί τι τῶν ὐ πρότερον ὄντων, μηδ' ἄν τι τῶν πρότερον ὄντων ὕστερον [2] ἐκλέλοιπεν· αἰτία γὰρ ἡ τῶν σωμάτων φύσις, ἄλλην ἄλλοτε λαμβάνεσα κρᾶσιν. τὸ μὲν ὖν ἀέρα καινὸν ἐπεισάγειν, ἢ ξένον ὕδωρ, εἰ μὴ βέλεται Διογενιανὸς, ἐάσωμεν. καίτοι τὲς γε Δημοκριτείες [3] ἴσμεν καὶ λέγοντας καὶ γράφοντας, ὅτι καὶ [4] κόσμων ἐκτὸς φθαρέντων, καὶ σωμάτων ἀλλοφύλων ἐκ τῆς ἀποῤῥοίας [5] ἐπιῤῥεόντων, ἐνταῦθα πολλάκις ἀρχαὶ παρεμπίπτεσι λοιμῶν καὶ παθῶν ὐ συνήθων. ἐάσωμεν δὲ καὶ τὰς φθορὰς κατὰ μέρος [6] παρ' ἡμῖν ὑπό τε σεισμῶν καὶ αὐχμῶν καὶ ὄμβρων, αἷς καὶ τὰ πνεύματα καὶ τὰ νάματα γηγενῆ φυσιν ἔχοντα συννοσεῖν ἀνάγκη καὶ συμμεταβάλλειν. ἀλλὰ τὴν περὶ τὰ σιτία καὶ τὰ ὄψα καὶ τὰς ἄλλας διαίτας τῶ σώματος ἐξαλλαγὴν, ὅση γέγονεν, ὐ παραλειπτέον· πολλὰ γὰρ τῶν ἀγεύςων καὶ ἀβρώτων πρότερον, ἥδιςα νῦν γέγονεν, ὥσπερ οἰνόμελι καὶ μήτρα. λέγεσι δὲ



1 R. notante, Reines. Var. Lect. 1, 10. correxit Μενωνείοις, ut opus indicetur, a Menone, discipulo Aristotelis, confectum. Ita vertendo exprimit Kaltw.

2 Vulgo ἂν γένηταί τι τῶν ὐ πρότερον ὄντων, καὶ ὕστερον ἐκλ. Abest καὶ in Ald. Bas. Xyl. H. Venet. Palat. Vatic. Sumsit id Steph. ex Leonic. & Schott. Jam Xyl. lacunam bene observavit, eamque supplendam monuit πρότερον ὄντων, ἤ τι τῶν πρότερον ὄντων ὕς. ἐκλ. Non dubitavi recipere, quod W. e Mez. probat. R. voluit καὶ ὕστερον ἐκλελοιπότων.

3 Ald. V. Δημοκρίτε.

4 Hoc καὶ delendum censet R.

5 Ald. ἀπορίας. Turn. Schott. Mez. ἀπειρίας.

6 W. susp. τὰς κατὰ μέρος. Ald. τῆς φθορᾶς.

μηδὲ ἐγκέφαλον ἐσθίειν τὰς παλαιὰς· διὸ καὶ Ὅμηρον εἰπεῖν.

— τίω δέ μιν ἐν Καρὸς αἴσῃ,

τὸν ἐγκέφαλον ὅτως, διὰ τὸ ῥίπτειν καὶ ἀποβάλλειν μυσαττομένες, προσειπόντα [1]· σικύε δὲ, πέπονος [2], καὶ μήλε Μηδικᾶ, καὶ πεπέρεως πολλὰς ἴσμεν ἔτι τῶν πρεσβυτέρων γεύσασθαι μὴ δυναμένες. ὑπό τε δὴ τέτων εἰκός ἐςι ξενοπαθεῖν τὰ σώματα καὶ παραλλάττειν ταῖς κράσεσιν, ἡσυχῇ ποιότητα καὶ περίττωμα ποιέντων ἴδιον, τὴν δὲ τάξιν αὖ τῶν [3] ἐδεςῶν καὶ μετακόσμησιν, ἐ μικρὰν ἔχειν διαφοράν. αἱ γὰρ καλέμεναι ψυχραὶ τράπεζαι [4] πρότερον, ὀςρέων, ἐχίνων, ὠμῶν

1 Vulgo locus hic ita exhibetur: λέγεσι δὲ, μηδ' ἐγκέφαλον ὅτως διὰ τὸ ῥίπτειν καὶ ἀποβάλλειν, μυσαττομένες πρὸς εἰπόντα. Jam Xyl. eum lacerum esse monuit, & sensum ex Eusath. ad Iliad. IX, 378. illustravit. R. auctoritatem Casauboni sequens ad Athenaeum p. 137, legi voluit μηδ' ἐγκεφάλε ἅπτεσθαι τὰς παλαιὰς, ἀλλὰ ῥιπτεῖν καὶ ἀποβάλλειν, μυσαττομένες καὶ τὸν προσειπόντα — *dicuntur quòque veteres non tantum non comedisse cerebrum, sed etiam procul abjecisse* (dum carnes conciderent & coctioni compararent) *tanto cum horrore, ut etiam illum abhorrerent, qui partem hanc corporis vel nominaret solummodo.* Equidem secutus sum W. ita notantem: „Sic Palat. diserte & accedit Eustathius Il. IX, 378. Vulgo haec desunt. Forte plura etiam exciderunt apud Eustathium servata: de quibus in Animadversionibus." — quin & cerebrum antiquitus abominabantur & projiciebant: unde factum ajunt, ut apud Homerum Achilles de Agamemnone *non pluris eum facio quam Carem*, eoque loco *Carem* notare cerebrum ita vocatum, quia abjici & negligi cum aversatione illud moris fuerit.

2 Sic scribendum monuit Salmas dedique pro vulg. πέπωνος.

3 Ald. Bas. αὐτῶν uno vocabulo.

4 Locum hunc de frigidis mensis depravatum esse Xyl. notavit. Ita nimirum legebatur: αἱ γὰρ κ. ψ. τράπεζαι, πρότερον ὀςρέων ἔχειν ὠμῶν λαχάνων, ὥσπερ ἐλαφρῶν. ὁ πλάτων ἀπ' ἐρᾶς. &c. H. Steph. ex Anon. & Turn. recepit ἐχίνων. R. comma pone πρότερον promovendum monuit — *mensae olim*

ὠμῶν λαχάνων, ὥσπερ ἔλεγεν ὁ Πλάτων, ἀπ' ἀρχῆς ἐπὶ σόμα μεταχθεῖσαι, τὴν πρώτην ἀντὶ τῆς ἐσχάτης τάξιν ἔχουσι. μέγα δὲ καὶ τὸ τῶν καλουμένων προπομάτων· οὐδὲ γὰρ ὕδωρ οἱ παλαιοὶ, πρὶν ἐντραγεῖν, ἔπινον· οἱ δὲ νῦν ἄσιτοι προμεθυσθέντες, ἅπτονται τῆς τροφῆς διαβρόχῳ τῷ σώματι καὶ ζέοντι, λεπτὰ καὶ τομὰ [1] καὶ ὀξέα προσφέροντες, ὑπέκκαυμα τῆς ὀρέξεως, εἶτα οὕτως ἐμφορούμενοι τῶν ἄλλων. οὐδενὸς δὲ πρὸς μεταβολὴν, καὶ τὸ ποιῆσαι νοσημάτων καινῶν γένεσιν ἀσθενέστερόν ἐστιν ἡ περὶ τὰ λουτρὰ τῆς σαρκὸς πολυπάθεια, καθάπερ σιδήρου, πυρὶ μαλασσομένης καὶ ῥεούσης, εἶτα βαφὴν ὑπὸ ψυχροῦ καὶ σόμωσιν ἀναδεχομένης·

Ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι [2]· τοῦτο γὰρ ἄν τις εἰπεῖν μοι δοκεῖ τῶν ὀλίγον ἡμῶν ἔμπροσθεν γεγονότων·, βαλανείου θύρας ἀνοιχθείσης. ἐκεῖνοι γὰρ οὕτως ἀνειμένοις ἐχρῶντο καὶ μαλακοῖς, ὡς' Ἀλέξανδρος μὲν, ὁ βασιλεὺς, ἐν τῷ λουτρῶνι πυ-

 ρέττων

*olim frigidae dictae*: Item comma post ὠμῶν delendum — *cruda olera*, non cocta, quae ex aceto cruda comeduntur, acetaria. Utrumque observavi; posterius cum W. Pro ὠμῶν Anon. Mez. ὠῶν. Pro lectione ἐλαφρῶν ὁ Πλάτων, in qua Xyl. Venet. Palat. Vatic. H. cum Ald. & Bas. consentiunt, Steph. dedit vulgatam. W. adnotat, Platonis nomen plerisque de hoc loco agentibus displicuisse doctis hominibus, Muret. ad Senec. Ep. CXIV. H. Mercurial. V. L. IV, 11. Turn. V. Amiot. Mez. corrigentibus ὁπλιτῶν; Salmas. Ex. Plin. p. 898. ὥσπερ ψιλῶν ὁπλιτῶν. R. hanc Salmas. conjecturam se nullo modo probare posse declarat, cum sit proverbium Platoni usurpatum. W. addit, se Stephanianam, non ut probabilem, sed ut minus improbabilem altera reliquisse. Cf. Reines. Var. Lect. I, 35. 36.

1 Turn. V. ὠμά.

2 Ald. Bas. ita hunc versum corrupte exhibent: ἔνθα μὲν εἰσαχέρωντες πυρὶ φλεγέθων ῥέουσι. Xyl. ex Hom. Odyss. X, 513. corrigendum monuit. Salmas. pro Ἀχέροντα legi vult Ἀχέρωντι; & ita dant Turn. V.

ῥέττων ἐκάθευδεν· αἱ δὲ Γαλατῶν γυναῖκες εἰς τὰ βαλανεῖα, πόλτε χύτρας εἰσφέρεσαι μετὰ [1] τῶν παίδων ἤσθιον, ὁμε λεόμεναι. νῦν δὲ λυττῶσιν ἔοικε τὰ βαλανεῖα, καὶ ὑλακτεσι καὶ σπαράττεσιν· ὁ δὲ ἑλκόμενος ἀὴρ ἐν αὐτοῖς, ὑγρε μίγμα καὶ πυρὸς γεγονὼς, ἐδὲν ἐᾷ τε σώματος ἡσυχίαν ἄγειν, ἀλλὰ πᾶσαν ἄτομον κλονεῖ καὶ ταράσσει καὶ μεθίστησιν ἐξ ἕδρας, ἄχρις ἐ κατασβέσωμεν αὐτὲς πεπηρωμένες καὶ ζέοντας. ἐδὲν ἔν, (ἔφην) ὦ Διογενιανὲ, δεῖται ὁ λόγος αἰτιῶν ἐπεισοδίων ἔξωθεν, ἐδὲ μετακοσμίων· ἀλλ᾽ αὐτόθεν ἡ περὶ τὴν δίαιταν μεταβολὴ, τὰ μὲν ἔν γεννᾷν [2], τὰ δ᾽ ἀφανίζειν τῶν νοσημάτων, ἐκ ἀδύνατός ἐσι.

## QUAESTIO X.

### Cur autumnalibus somniis minimum fidei adhibendum sit [3]?

Προβλήμασιν Ἀριστοτέλες φυσικοῖς ἐντυγχάνων Φλῶρος εἰς Θερμοπύλας κομισθεῖσιν, αὐτός τε πολλῶν ἀποριῶν (ὅπερ εἰώθασι πάσχειν ἐπιεικῶς αἱ φιλόσοφοι φύσεις) ὑπεπίμπλατο, καὶ τοῖς ἑτέροις [4] μετεδίδε, μαρτυρῶν αὐτῷ [5] τῷ Ἀριςοτέλει, λέγοντι, τὴν πολυμάθειαν πολλὰς ἀρχὰς [6] ποιεῖν. τὰ μὲν ἔν ἄλλα

1 W. ad haec adnotat: „Sic Palat. Vulgo, & Vatic. εἰσφέρεσαι ὁ μετά. Ald. εἰσφέροντες ὁ μετά. Bas. Xyl. εἰσφέροντες μετά. Steph. ex Ald. ὁ retinuit: ceterum εἰσφέρεσαι dedit ex Schott. Jannot. Leonic. Amon." In R. omissum est ὁ ante μετά. Pro seq. λεόμεναι Bas. λεομένων. Ald. λεόμενον.

2 R. mavult τὰ μὲν ἐγγεννᾷν.

3 Personae colloquii sunt Florus, Plutarchus, Plutarchi filii, Favorinus.

4 W. mavult τοῖς ἑταίροις.

5 R. susp. ἔτω — *ea ratione comprobans dictum Aristotelis.*

6 R. susp. πολλὰς ἀποριῶν ἀρχάς. W. pro ἀρχὰς susp. ταραχάς.

ἄλλα μεθ' ἡμέραν ὀυκ ἄχαριν ἡμῖν ἐν τοῖς περιπάτοις διατριβὴν παρέχε· τὸ δὲ λεγόμενον περὶ τῶν ἐνυπνίων, ὡς ἐςιν ἀβέβαια καὶ ψευδῆ μάλιςα περὶ τὰς Φυλλοχόυς μῆνας, ὀυκ οἶδ' ὅπως [1], ἑτέροις λόγοις πραγματευσαμένυ τῦ Φαβωρίνυ μετὰ τὸ δεῖπνον, ἀνέκυψε [2]. τοῖς μὲν ὖν σοῖς ἑταίροις [3], ἐμοῖς δὲ υἱοῖς, ἐδόκει λελυκέναι τὴν ἀπορίαν Ἀριςοτέλης· καὶ ὀυδὲν ᾤοντο δεῖν ζητεῖν ὀυδὲ λέγειν, ἀλλ' ἢ τὰς καρπὰς, ὥσπερ ἐκεῖνος, αἰτιᾶσθαι. νέοι γὰρ ὄντες ἔτι καὶ σφριγῶντες πολὺ πνεῦμα γεννῶσιν ἐν τῷ σώματι καὶ ταραχῶδες. ὀυ γὰρ τὸν οἶνον εἰκός ἐςι μόνον ζεῖν [4] καὶ ἀγανακτεῖν, ὀυδὲ τὄλαιον, ἂν ᾖ νεαργὸν, ἐν τοῖς λύχνοις ψόφον ἐμποιεῖν, ἀποκυματιζόσης τὸ πνεῦμα τῆς θερμότητος· ἀλλὰ καὶ τὰ σιτία τὰ πρόσφατα καὶ τὴν ὀπώραν ἅπασαν ὁρῶμεν ἐντεταμένην καὶ οἰδῶσαν, ἄχρι ἂν ἀποπνεύσῃ τὸ φυσῶδες καὶ ἄπεπτον. ὅτι δέ ἐςι τῶν βρωμάτων ἔνια δυσόνειρα καὶ ταρακτικὰ τῶν καθ' ὕπνον ὄψεων, μαρτυρίοις ἐχρῶντο τοῖς τε κυάμοις καὶ τῇ κεφαλῇ τῦ πολύποδος, ὧν ἀπέχεσθαι κελεύυσι τὰς δεομένυς τῆς διὰ τῶν ὀνείρων μαντικῆς.

II. Ὁ δὲ Φαβωρῖνος αὐτὸς τὰ μὲν ἄλλα δαιμονιώτατος Ἀριςοτέλυς ἐραςής ἐςι, καὶ τῷ περιπάτῳ νέμει μερίδα τῦ πιθανῦ πλείςην· τότε μέντοι λόγον τινὰ τῦ Δημοκρίτυ παλαιὸν, ὥσπερ ἐκ καπνῦ καθελὼν ἠμαυρωμένον, οἷος ἦν ἐκκαθαίρειν καὶ διαλαμπρύνειν· ὑποθέμενος τῦτο δὴ τὀυπιδήμιον, ὅ φησι Δημόκριτος, ἐγκαταβυσσῦσθαι τὰ εἴδωλα διὰ τῶν πόρων εἰς τὰ σώματα, καὶ ποιεῖν τὰς κατὰ τὸν ὕπνον ὄψεις ἐπαναφερόμενα.



1 Turn. V. ὅπως ἦν, vel πρὸς ἑτέροις.

2 R. mavult ἐπανέκυψε, ut fit idem, ac fi dixiffet ἀνέκυψεν ἐπὶ ἑτέροις λόγοις, *poft alios habitos fermones, artificio Favorini, exftitit, vel prodiit hoc argumentum.*

3 Alloquitur Soffium Senecionem.

4 Sic H Steph. reponendum cenfuit pro vulg. ζῆν, & correxit Salmas. dedique cum W. ex Turn. V. Anon. Mez.

φοιτᾷν δὲ ταῦτα πανταχόθεν ἀπιόντα καὶ σκευῶν καὶ ἱματίων καὶ φυτῶν, μάλιστα δὲ ζώων ὑπὸ σάλου πολλοῦ καὶ θερμότητος, οὐ μόνον ἔχοντα μορφοειδεῖς τοῦ σώματος ἐκμεμαγμένας ὁμοιότητας, (ὡς Ἐπίκουρος [1] οἴεται, μέχρι τούτου Δημοκρίτῳ συνεπόμενος, ἐνταῦθα δὲ προλιπὼν τὸν λόγον) ἀλλὰ [2] καὶ τῶν κατὰ ψυχὴν κινημάτων καὶ βουλευμάτων ἑκάστῳ [3] καὶ ἠθῶν καὶ παθῶν ἐμφάσεις ἀναλαμβάνοντα συνεφέλκεσθαι, καὶ προσπίπτοντα μετὰ τούτων, ὥσπερ ἔμψυχα, φράζειν καὶ διαστέλλειν [4] τοῖς ὑποδεχομένοις τὰς τῶν μεθιέντων αὐτὰ δόξας καὶ διαλογισμοὺς καὶ ὁρμάς, ὅταν ἐνάρθρους καὶ ἀσυγχύτους φυλάττοντα προσμίξῃ τὰς εἰκόνας. τοῦτο δὲ μάλιστα ποιεῖ, δι' ἀέρος λείου τῆς φορᾶς γινομένης ἀκωλύτου καὶ ταχείας. ὁ δὲ φθινοπωρινός, ἐν ᾧ φυλλοχοεῖ τὰ δένδρα, πολλὴν ἀνωμαλίαν ἔχων καὶ τραχύτητα, διαστρέφει καὶ παρατρέπει πολλαχῇ τὰ εἴδωλα, καὶ τὸ ἐναργὲς αὐτῶν ἐξίτηλον καὶ ἀσθενὲς ποιεῖ τῇ βραδυτῆτι τῆς πορείας ἀμαυρούμενον, ὥσπερ αὖ πάλιν πρὸς ὀργώντων καὶ διακαιομένων ἐκθρώσκοντα πολλὰ καὶ ταχὺ κομιζόμενα, τὰς ἐμφάσεις νεαρὰς καὶ σημαντικὰς ἀποδίδωσιν.

III. Εἶτα διαβλέψας πρὸς τοὺς περὶ τὸν Αὐτόβουλον, καὶ μειδιάσας· Ἀλλ' ὁρῶ (εἶπεν) ὑμᾶς οἵους τ' ὄντας ἤδη σκιαμαχεῖν πρὸς τὰ εἴδωλα, καὶ δόξῃ παλαιᾷ, καθάπερ γραφῇ, προσφέροντας ἁφὴν [5], οἴεσθαί τι

1 Parentheſi concludendo haec ſecutus ſum Xyl. ita in verſione ad expediendam ſententiam diſtinguentem.

2 Tolerabilius eſſet, H. Steph. judice, ἄλλα: ſed tamen ita, ut ne hoc quidem ſatisfaciat.

3 R. ſuſp. βουλευμάτων τῶν ἑκάστῳ προσόντων.

4 W. ſuſp. διαγγέλλειν.

5 R. mavult βαφὴν — *veterem picturam recentibus coloribus inductis renovare.* W. vertit: *& putare, te aliquid profecturum, ſi veteri placito, tanquam picturae, tactu explorationem adhibuiſſes.*

τι ποιεῖν. καὶ ὁ Αὐτόβουλος· Πάνυ ποικίλλων (ἔφη) πρὸς ἡμᾶς· οὐ γὰρ ἀγνοοῦμεν, ὅτι τὴν Ἀριστοτέλους δόξαν εὐδοκιμῆσαι βουλόμενος, ὥσπερ σκιὰν αὐτῇ τὴν Δημοκρίτου παραβέβληκας. ἐκείνην οὖν τρεψόμεθα, κἀκείνῃ μαχούμεθα κατηγορούσῃ τῶν νέων καρπῶν καὶ τῆς φίλης ὀπώρας οὐ προσηκόντως. τὸ γὰρ θέρος αὐτοῖς μαρτυρεῖ [1] καὶ τὸ μετόπωρον, ὅτε μάλιστα χλωρὰν καὶ φλοιοῦσαν (ὡς Ἀντίμαχος ἔφη) τὴν ὀπώραν γεννωμένην ἄρτι προσφερόμενοι τοὺς καρποὺς [2], ἧττον ἀπατηλοῖς καὶ ψεύδεσιν ἐνυπνίοις σύνεσμεν· οἱ δὲ φυλλοχόοι μῆνες ἤδη τῷ χειμῶνι παρασκηνοῦντες ἐν πέψει τὰ σιτία, καὶ τὰ περιόντα τῶν ἀκροδρύων ἰσχνὰ καὶ ῥυσσὰ καὶ πᾶν ἀφεικότα τὸ πληκτίζον ἐκεῖνο καὶ μανικὸν, ἔχουσι. καὶ μὴν οἴνου γε [3] τὸν νέον οἱ πρωϊαίτατα πίνοντες Ἀνθεστηριῶνι πίνουσι μηνὶ μετὰ χειμῶνα· καὶ τὴν ἡμέραν ἐκείνην ἡμεῖς μὲν Ἀγαθοῦ Δαίμονος, Ἀθηναῖοι δὲ Πιθοιγίαν [4] προσαγορεύουσι. γλεύκους [5] δὲ ζέοντος ἀεὶ ἀφαιρεῖσθαι καὶ τοὺς ἐργάτας δεδι-



1 i. e. συνηγορεῖ, *aestas causam eorum*, recentium fructuum, *dicit, eosque commendat.*

2 H. Steph. susp. legendum χλωρᾶς καὶ φλοιούσης, & τῆς ὀπώρας γεννωμένης. Hi genitivi e Turn. & V. ita notantur: χλωρᾶς καὶ φλοιούσης ὀπώρας γεινομένης (γεννωμένης). Pro φλοιοῦσαν Valckenar. ad Eur. Phoen. p. 312. corrigit φλύουσαν. R. e Salmas. affert φλυοῦσαν, aut φλέουσαν, aut φλοῦσαν. Mavult idem γενομένην pro γεννωμένην, & delendum censet τοὺς καρποὺς, aut accipiendum pro appositione & explicatione praemissi τὴν ὀπώραν, aut legendum τούς τ' ἄλλους καρπούς.

3 Dedi γε pro vulg. τε e R. mente.

4 Vulgo Πιθοιγία. Inde H. Steph. efficiendum censuit vel Πιθοιγίαν vel Πιθοίγια. E Turn. utrumque notatur. V. πιθοίγια, quod R. probavit. Secutus sum W. Πιθοιγίαν dantem e Palat. Xyl. Anon. & monentem, frequentius esse Πιθοίγια.

5 Sic reponendum monuit H. Steph. dedique R. jubente, cum W. accedentibus Xyl. & Mez. Vulgo γλεύκει. Pro ἀεὶ ἀφαιρεῖσθαι W. susp. ἐμφορεῖσθαι; Mez. ἀπαρύεσθαι, quod Xyl. vertendo expressit. R. pro ἀεὶ mavult ἔτι.

δεδιότας ὁρῶμεν. ἀφέντες ὖν τὸ συκοφαντεῖν τὰ τῶν θεῶν δῶρα, μετίωμεν ἑτέραν ὁδὸν, ἣν ὑφηγεῖται τὔνομα τῦ χρόνυ, καὶ [1] τῶν ὑπηνεμίων καὶ ψευδῶν ὀνείρων. φυλλοχόος γὰρ ὀνομάζεται, διὰ ψυχρότητα καὶ ξηρότητα τηνικαῦτα τῶν φύλλων ἀποῤῥεόντων· πλὴν εἴ τι θερμόν ἐςιν ἢ λιπαρὸν, ὡς ἐλαῖαι καὶ δάφναι καὶ φοίνικες· ἢ διερὸν, ὡς μυρσίνη καὶ κιττός. τύτοις γὰρ ἡ κρᾶσις βοηθεῖ, τοῖς δ' ἄλλοις ὔ. ὐ γὰρ παραμένει τὸ ἐχέκολλον καὶ συνεκτικὸν, ἢ πυκνυμένης ψυχρότητι τῆς ἰκμάδος, ἢ ξηραινομένης δι' ἔνδειαν ἢ δι' ἀσθένειαν. ἔςι μὲν ὖν καὶ φυτοῖς ὑγρότητι ἢ [2] θερμότητι τεθηλέναι καὶ αὐξάνεσθαι, μᾶλλον δὲ τοῖς ζώοις· καὶ τὐναντίον, η ψυχρότης καὶ ἡ ξηρότης ὀλέθριον. διὸ χαριέντως Ὅμηρος [3] εἴωθε διερὺς βροτὺς καλεῖν, καὶ τὸ μὲν χαίρειν ἰαίνεσθαι· ῥιγεδανὸν δὲ καὶ κρυερὸν, τὸ λυπηρὸν καὶ τὸ φοβερόν. ὁ δ' ἀλίβας καὶ ὁ σκελετὸς, ἐπὶ τοῖς νεκροῖς γέγονε [4], λοιδορυμένης τὰ ὀνόματα τῆς ξηρότητος. ἔτι, τὸ μὲν αἷμα κυριωτάτην [5] τῶν ἐν ἡμῖν ἔχον δύναμιν, ἅμα καὶ θερμόν ἐςι καὶ ὑγρόν· τὸ δὲ γῆρας, ἀμφοῖν ἐνδεές. ἔοικε δὲ τῦ ἐνιαυτῦ περιϊόντος [6] οἷον γῆρας εἶναι τὸ φθινόπωρον· ὔπω [7] γὰρ ἥκει τὸ ὑγρὸν, ὐκέ-

1 R. hoc καὶ cum commate delendum cenſuit.

2 Pro ἢ Turn. V. Boug. καί.

3 Odyſs. VI, 201. 156 Iliad. XIX, 325. Odyſs. XI, 211. R. ſuſp διερὺς βροτὺς τὺς ζῶντας vel ἐῤῥωμένυς καλεῖν.

4 Xyl. ſe malle notat λέγεται, & ſic habere Euſtathium, verba haec adducentem ad Odyſs. VI, 201. R. ſic diſtinguit & legit: ἐπὶ τοῖς νεκροῖς, γέγονε λοιδορυμένης ὀνόματα τῆς ξ. *ſiccitatis improbatae & traductae nomina facta ſunt* ἀλίβας *&* σκελετός, *quae de mortuis uſurpantur.* W. rectius ſorte cum R. τὰ ante ὀνόμ. deleri notat.

5 ab Ald. & Baſ. abeſt μέν. Eaedem κυριώτατον.

6 aut ſic, aut προϊόντος legendum monuit R. pro vulg. περιιόντος.

7 Ald. Baſ. ὔτω. Xyl. correxit.

ὀκέτι δὲ τὸ θερμὸν ἔῤῥωται· δεῖγμα δὲ [1] γεγονὸς ἀτεχνῶς ξηρότητος ἅμα καὶ ψυχρότητος, ἐπισφαλῆ ποιεῖ τὰ σώματα πρὸς τὰς νόσους. τοῖς δὲ σώμασι τὰς ψυχὰς συμπαθεῖν ἀνάγκη, καὶ μάλιστα παχυνομένου [2] τοῦ πνεύματος ἀμαυροῦσθαι τὸ μαντικὸν, ὥσπερ κάτοπτρον ὁμίχλης αναπιμπλάμενον. οὐδὲν οὖν τρανὸν, οὐδὲν [3] ἔναρθρον οὐδ' εὔσημον ἐν ταῖς φαντασίαις ἀποδίδωσι, μέχρι οὗ τραχὺ [4] καὶ ἀλαμπὲς καὶ συνεσταλμένον ἐστίν.

1 W. corrigi vult μίγμα. Pro δε Ald. Baf. δή.

2 Palat. παχυνομένου, quod Xyl. vertit.

3 Hoc οὐδὲν in οὐδὲ mutandum cenfet R.

4 Xyl. corrigit παχὺ; quod R. probat.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΣΥΜΠΟΣΙΑΚΩΝ ΠΡΟΒΛΗΜΑΤΩΝ
## ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

---

## PROOEMIUM.

Τὸ ἔνατον τῶν Συμποσιακῶν, ὦ Σόσσιε Σενεκίων, περιέχει [1] λόγυς τὺς Ἀθήνησιν ἐν τοῖς Μυσείοις [2] γενομένυς, καὶ μάλιστα τὴν ἐννεάδα ταῖς Μύσαις προσήκειν. ὁ δ' ἀριθμὸς ἂν ὑπερβάλλῃ τὴν συνήθη δεκάδα τῶν ζητημάτων, ὐ θαυμαστέον· ἔδει γὰρ πάντα ταῖς Μύσαις ἀποδῦναι τὰ τῶν Μυσῶν, καὶ μηδὲν ἀφελεῖν, ὥσπερ ἀφ' ἱερῶν, πλείονα καὶ καλλίονα τύτων ὀφείλοντας αὐταῖς.

## QUAESTIO I.

### De verfibus opportune, aut fecus, pronunciatis 3.

Ἀμμώνιος Ἀθήνησι στρατηγῶν ἀπόδειξιν ἔλαβε [4] τῷ Διογενίῳ τῶν γράμματα καὶ γεωμετρίαν καὶ τὰ ῥητο-

1 R. hunc locum ita integrandum fufp. Σενεκίων, σοὶ πέμπω, διὰ τὸ περιέχειν. Baf. τῷ μάλιστα — προσήκειν; Turn. Bong. τῷ καὶ μάλιστα.

2 *in feſto Muſarum.* R.

3 Perfonae colloquii funt Ammonius, Plutarchus, Eraton, Ludimagiftri, Familiares multi Ammonii.

4 Xyl. leg. fufp. ἔλαχε, favente huic conjecturae proxime fequentis quaeftionis initio. H. Steph. tefte, quidam particulam σὺν deeffe putant ante τῷ, & pro Διογενίῳ fcribunt Διογενιανῷ, quod nomen in aliis hujus operis locis legitur. Turn. V. quibuscum confentit Anon. σὺν τῷ Διογενιανῷ; Mez. ex Amiot. χαριζόμενος τῷ Διογενιανῷ. R. docente, fententia eft: *Ammonius a Diogeniano acceperat ſpecimen puerorum*, h. e. prae-

ῥητορικὰ καὶ μυσικὴν μανθανόντων ἐφήβων· καὶ τὺς εὐδοκιμήσαντας τῶν διδασκάλων ἐπὶ δεῖπνον ἐκάλεσε. παρῆσαν δὲ καὶ τῶν ἄλλων Φιλολόγων συχνοὶ, καὶ πάντες ἐπιεικῶς οἱ συνήθεις. ὁ μὲν ὖν Ἀχιλλεὺς μόνοις τῶν ἠγωνισμένων τοῖς μονομαχήσασι δεῖπνον κατήγγειλε, βυλόμενος, (ὥς Φασιν) εἴ τις ἐν τοῖς ὅπλοις ὀργὴ πρὸς ἀλλήλυς καὶ χαλεπότης γένοιτο, ταύτην ἀφεῖναι καὶ καταθέσθαι τὺς ἄνδρας ἑςιάσεως κοινῆς καὶ τραπέζης μετασχόντας [1]. τῷ δ' Ἀμμωνίῳ συνέβαινε τὐναντίον· ἀκμὴν γὰρ ἡ τῶν διδασκάλων ἅμιλλα καὶ φιλονεικία [2] σφοδροτέραν ἔλαβεν ἐν ταῖς κύλιξι γενομένων· ἤδη δὲ καὶ προτάσεις καὶ προκλήσεις ἦσαν ἄκριτοι καὶ ἄτακτοι.

II. Διὸ πρῶτον μὲν ἐκέλευσεν ᾆσαι τὸν Ἐράτωνα πρὸς τὴν λύραν· ᾄσαντος δὲ τὰ πρῶτα τῶν ἔργων·

Οὐκ ἄρα μῦνον ἔην ἐρίδων γένος [3].

ἐπήνεσεν ὡς τῷ καιρῷ πρεπόντως [4] ἁρμοσάμενον· ἔπειτα περὶ ςίχων εὐκαιρίας ἐνέβαλε λόγον, ὡς μὴ μόνον χάριν, ἀλλὰ καὶ χρείαν ἔςιν ὅτε μεγάλην ἐχύσης. καὶ ὁ μὲν ῥαψῳδὸς εὐθὺς ἦν διὰ ςόματος πᾶσιν, ἐν τοῖς Πτολεμαίυ γάμοις ἀγομένυ [5] τὴν ἀδελφὴν, καὶ πρᾶγμα

praesederat in illo examine, quo Diogenianus ludum suum produxerat, eoque in examine viderat & audiverat ludimagistrum pueros interrogantem & hos respondentes suaeque doctrinae specimina edentes.

1 Iliad. XXIII, 810.

2 Sic, R. jubente, revocavi e Bas. cum W. accedentibus Palat. Vatic. Venet. Xyl. Mez. Vulgo φιλονεικίαν.

3 Hesiod. O. & d. v. 11.

4 Vulgo ἐπήνεσά πως. Secutus sum W. ita e Collat. Mor. & Mez. dantem. Deinde Ald. Bas. τὸ καιρῷ προτρέποντος ἁρμοσ. Xyl. correxit. Ex Turn. affertur: ὡς τῷ καιρῷ πρέποντως.

5 abest ἀγομένυ ab Ald. & Bas.

πρᾶγμα δρᾶν ἀλλόκοτον νομιζομένε καὶ ἄθεσμον [1], ἀρξάμενος ἀπὸ τῶν ἐπῶν ἐκείνων·

Ζεὺς δ' Ἥρην ἐκάλεσσε κασιγνήτην ἄλοχόν τε [2].

καὶ ὁ παρὰ Δημητρίῳ, τῷ βασιλεῖ, πρόθυμος ἦν ᾄδειν μετὰ τὸ δεῖπνον, ὅτε [3] προσέπεμψεν αὐτῷ τὸν υἱὸν, ἔτι παιδάριον ὄντα, τὸν Φίλιππον, ἐπιβαλὼν εὐθὺς

Τὸν παῖδά μοι τόνδ' ἀξίως Ἡρακλέυς
Ἡμῶν τε θρέψαι [4]

καὶ Ἀνάξαρχος ὑπ' Ἀλεξάνδρε μήλοις βαλλόμενος παρὰ δεῖπνον, ἐπαναςὰς καὶ εἰπών·

Βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί [5].

πάντων δ' ἄριςος Κορίνθιος παῖς αἰχμάλωτος, ὅτε ἡ πόλις ἀπώλετο, καὶ Μόμμιος ἐκ τῶν ἐλευθέρων τὲς ἐπιςαμένες γράμματα παῖδας εὐθυσκοπῶν [6] ἐκέλευσε γράψαι ςίχον, ἔγραψε·

Τρὶς

1 Ald. ἀλλόκοτον. ὃ μὲν ἐκ ἐᾷ θεσμὸν; Baſ. ἀλλόκοτον * ομενε καὶ ἄθεσμον. Hinc Xyl. lacunam explendam cenſuit vocabulo νομιζομένε. E Steph. in rell. tranſiit οἰομένε. Notat autem ipſe Steph. legendum potius λεγομένε vel νομιζομένε, licet οἰομένε ex vet. exemplari aſſeratur. Deeſſe praeterea ante ἀρξάμενος aliqua ſuſpicatur. R. quoque legi vult νομιζομένε aut κρινομένε, aut φαινομένε aut δοκῦντος, *quum Ptolemaeus aliis videretur impium facinus audere.* Etiam W. ſuſp. aut οἰομένων, vel νομιζομένε, quod dedi. Turn. καὶ ἄθεσμον ἔφη ἀρξάμενος, vel ἀλλόκοτον ἐκ οἰόμενοι ἐδὲ ἄθεσμον.

2 Iliad. XVIII, 356.

3 Neceſſe duxi, ſaltim hoc vocabulum e Xyl. mente reponere pro vulg. ὥςε. W. ſuſp. ἀπρόθυμοι ἂν ᾄδειν, ὅτε προσέπ.

4 Euripidis haec eſſe, R. ſuſp.

5 Baſ. Frft. χειρί. Hinc R. χερὶ legendum monuit, eſſe Euripideum Jambum, & ſic quoque recitare Diog. Laërt. 9, 60. notans. Anaxarchus ſimul cum dicto rejiciebat pomum ad Alexandrum, qui primus jecerat. Eum Anaxarchus deum, ſe hominem appellabat. Legi deinde vult R. ἄριςα, *omnium optime*, ſc. ἐποίησε, *ſe geſſit*, vel *ſe dedit.*

6 Ald. Baſ. H. Palat. Vatic. Venet. εὐσυσκοπῶν. Xyl. inde effici voluit εὐθὺς σκοπῶν aut ἐπισκοπῶν. In ἐπισκοπῶν Mez. con-

Τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ' ὄλοντο [1].

καὶ γὰρ παθεῖν τι τὸν Μόμμιόν Φασι καὶ δακρύσαι, καὶ πάντας αφεῖναι ἐλευθέρες τὲς τῷ παιδὶ προσήκοντας. ἐμνήσθη τε καὶ τῆς Θεοδώρε τε [2] τραγῳδε γυναικὸς 'ε προσδεξαμένης αὐτὸν ἐν τῷ συγκαθεύδειν, ὑπογύε τε ἀγῶνος ὄντος· ἐπεὶ δὲ νικήσας εἰσῆλθε πρὸς αὐτὴν, ἀσπασαμένης, καὶ εἰπέσης·

Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεσί σοι.

III. Ἐκ δὲ τέτε πολλὰ καὶ τῶν [3] ἀκαίρων ἐνίοις ἐπῄει λέγειν, ὡς ἐκ ἄχρηστον εἰδέναι καὶ Φυλάττεσθαι. οἷον Πομπηΐῳ Μάγνῳ Φασὶν ἀπὸ τῆς μεγάλης ἐπανήκοντι ςρατείας [4] τὸν διδάσκαλον [5] τῆς θυγατρὸς ἀπόδειξιν διδόντα, βιβλίε κομισθέντος ἐνδεναι τῇ παιδὶ τοιαύτην ἀρχήν·

Ἠλυ-

consentit. H. Steph. notat, quosdam ἐξῆς σκοπῶν reponendum censere, & post αἰχμάλωτοι desiderat articulum οἱ, qui jungatur cum ἔγραψε. Turn. V. Bong. εὐσκοπῶν vel ἐξῆς σκοπῶν. Prius notatur quoque e Leonic. Schott; posterius ex Anon. — Correctiones veteris lectionis, W. judice. H. Steph. nescio unde εὐθυσκοπῶν dedit. R. legit aut ἐς εὔσκοπον, aut ἐς σύσκοπον — *in loco conspicuo*, addens tamen, posterius extra usum esse.

1 Odyss. V, 306.

2 Addidi articulum, qui vulgo abest, e R. & W. mente. ἐμνήσθη, quod praecessit, monet R. referendum esse ad Ammonium, si quidem bene habeat: suspicari autem se, Plutarchum dedisse ἐμνήσθην, — *ipse ego subjiciebam exemplum uxoris*.

3 Articulum τῶν, qui vulgo abest, addi voluit R. & dedi cum W. Palat. sequente.

4 Ita R. legendum monuit pro vulg. ςρατιᾶς. Addit autem: „Quaenam vero illa *magna bellica expeditio*? pugnan ad Pharsalum? Existimo. Sed habebatne tunc filiam parvulam adhuc a paedagogo graecas literas docendam? Inquiratur. An ἀπὸ μεγάλης ςρατείας leg. absque τῆς?" W. ςρατείας leg. conjicit.

5 Vulgo τὸν δὲ διδάσκ. Delevi δὲ cum W. auctoritate Bas. Xyl. Palat. Mez.

Ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι [1].
Κασσίῳ δὲ Λογγίνῳ λόγου προσπεσόντος ἀδεσπότου, τὸν υἱὸν ἐπὶ ξένης τεθνᾶναι, καὶ τὸ ἀληθὲς οὐκ ἔχοντι [2] εἰπεῖν, οὐδ' ἀνελεῖν τὸ ὕποπτον, εἰσελθὼν συγκλητικὸς ἀνὴρ πρὸς αὐτὸν ἤδη πρεσβύτερος· Οὐ καταφρονήσεις, (ἔφη) Λογγῖνε, λαλιᾶς ἀπίστου καὶ κακοήθους φήμης, ὥσπερ οὐκ εἰδὼς οὐδ' ἀνεγνωκὼς τό·

Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται [3];

ὁ δ' ἐν Ῥόδῳ στίχον αἰτήσαντι γραμματικῷ ποιουμένῳ δεῖξιν ἐν τῷ θεάτρῳ προτείνας·

Ἔῤῥ' ἐκ νήσου θᾶσσον, ἐλέγχιστε ζωόντων [4].

ἄδηλον, εἴτε παίζων ἐφύβρισεν, εἴτ' ἄκων ἠστόχησε. ταῦτα μὲν οὖν παρηγόρησεν ἀστείως τὸν θόρυβον.

## QUAESTIO II.

### Cur A principem inter literas locum obtineat [5]?

Ἔθους δ' ὄντος ἐν τοῖς Μουσείοις κλήρους περιφέρεσθαι, καὶ τοὺς συλλαχόντας ἀλλήλοις προτείνειν φιλόλογα ζητήματα, φοβούμενος ὁ Ἀμμώνιος, μὴ τῶν ὁμοτέχνων τινὲς ἀλλήλοις συλλάχωσι, προσέταξεν ἄνευ κλήρου γεωμέτρην γραμματικῷ προτεῖναι, καὶ ῥητορικῷ μουσικόν· εἶτ' ἔμπαλιν ἀναστρέφειν τὰς ἀνταποδόσεις.

II.

1 Iliad. III, 428.

2 Ald. Baſ. καὶ τ' ἀληθὲς ἔχοντος εἰπεῖν. Xyl. particulam negantem ingeſſit. R. leg. ſuſp. καὶ οὐδενὸς οὐδὲ τ' ἀληθὲς ἔχοντος εἰπεῖν. W. pro εἰπεῖν ſuſp. εὑρεῖν vel ἑλεῖν.

3 Heſiod. Op. & d. v. 761.

4 Odyſs. X, 72.

5 Perſonae colloquii ſunt Ammonius, Hermias, Protogenes. Vulgo huic titulo ſubjicitur titulus Problematis III. & ambo problemata in unum continuantur. W. quem ſecutus ſum, reſtituit verum ordinem auctoritate Indicis ſingulorum Librorum, & fide codicum Palat. & Vatic. Eandem obſervavit diſtinctionem Kaltw.

II. Πρϐτεινεν ϐν Ἑρμείας [1] ὁ γεωμέτρης Πρωτογένει, τῷ γραμματικῷ, πρῶτος, αἰτίαν εἰπεῖν, δι' ἣν τὸ ἄλφα προτάττεται τῶν γραμμάτων ἁπάντων. ὁ δὲ τὴν ἐν ταῖς σχολαῖς λεγομένην ἀπέδωκε· τὰ μὲν γὰρ φωνήεντα τῷ δικαιοτάτῳ λόγῳ πρωτεύειν [2] τῶν ἀφώνων καὶ ἡμιφώνων· ἐν δὲ τϐτοις τῶν μὲν μακρῶν ὄντων, τῶν δὲ βραχέων, τῶν δ' ἀμφοτέρων [3] καὶ διχρόνων λεγομένων, ταῦτ' εἰκότως τῇ δυνάμει διαφέρειν· αὐτῶν δὲ τϐτων πάλιν ἡγεμονικωτάτην ἔχειν τάξιν, τὸ προτάττεσθαι τῶν ἄλλων δυοῖν, ὑποτάττεσθαι δὲ μηδετέρῳ πεφυκὸς, οἷόν ἐστι τὸ ἄλφα· τϐτὶ γὰρ ϐτε τϐ ἰῶτα δεύτερον, ϐτε τϐ υ ταττόμενον ἐθέλει ὁμολογεῖν, ϐδὲ ὁμοπαθεῖν [4], ὥστε συλλαβὴν μίαν ἐξ ἀμφοῖν γενέσθαι, ἀλλ' ὥσπερ ἀγανακτϐν καὶ ἀποπηδῶν ἰδίαν ἀρχὴν ζητεῖν ἀεί· ἐκείνων δὲ ὁποτέρῳ [5] βϐλει προταττόμενον ἀκολϐθϐντι καὶ συμφωνϐντι χρῆσθαι καὶ συλλαβὰς ὀνομάτων ποιεῖν, ὥσπερ τϐ αὔριον, καὶ τϐ αὐλεῖν, καὶ τϐ Αἴαντος, καὶ τϐ αἰδεῖσθαι, καὶ μυρίων ἄλλων. διὸ τοῖς τρισὶν, ὥσπερ οἱ πένταθλοι, περίεστι καὶ νικᾷ, τὰ μὲν πολλὰ τῷ φωνᾶεν εἶναι, τὰ δ' αὖ φωνάεντα ἐν τῷ δίχρονον [6], ταῦτα δ' αὐτὰ τῷ πεφυκέναι καθηγεῖσθαι, δευτερεύειν δὲ μηδέποτε, μηδ' ἀκολϐθεῖν.

III. Παυσαμένϐ δὲ τϐ Πρωτογένϐς, καλέσας με ὁ Ἀμμώνιος· Οὐδὲν (ἔφη) σὺ τῷ Κάδμῳ βοηθεῖς ὁ Βοιώτιος, ὅν φασι τὸ ἄλφα πάντων προτάξαι, διὰ τὸ Φοίνικας ϐτω καλεῖν τὸν βϐν, ϐ δεύτερον, ϐδὲ τρίτον, (ὥσπερ

1 Vulgo ὁ Ἑρμείας. Delevi articulum, W. jubente.

2 Dedi ſic e W. mente, poſtulante totius ſententiae conſtructione, pro vulg. πρωτεύει.

3 Palat. Vatic. ἀμφότερον.

4 Baſ. ὁπαδεῖν; Ald. ὁπαθεῖν; Turn. V. Bong. ὀνοπαθεῖν.

5 Dedi ſic cum W. e Baſ. & Xyl. Vulgo ὁπότερον. H. Steph. legi voluit ὁποτέρϐ ἂν βϐλῃ. Anon. Turn. Mez. ὁποτέρϐ.

6 Turn. τῷ φωνῆεν εἶναι, τὰ δὲ αὖ φωνήεντα τῷ δίκρονον.

(ὥσπερ Ἡσίοδος) ἀλλὰ πρῶτον τιθέμενον [1] τῶν ἀναγκαίων; Οὐδέν· (ἔφην ἐγὼ) τῷ γὰρ ἐμῷ πάππῳ βοηθεῖν, εἴ τι δύναμαι, δίκαιός εἰμι μᾶλλον, ἢ τῷ τοῦ Διονύσου. Λαμπρίας γὰρ, ὁ ἐμὸς πάππος, ἔλεγε, πρώτην φύσει φωνὴν τῶν ἐνάρθρων ἐκφέρεσθαι διὰ τῆς τοῦ ἄλφα δυνάμεως· τὸ γὰρ ἐν τῷ στόματι πνεῦμα ταῖς περὶ τὰ χείλη μάλιστα πλάττεσθαι [2] κινήσεσιν, ὧν πρώτην ἀνοιγομένων τὴν ἄνω διάστασιν ἐᾶν ἐξιέναι τοῦτον τὸν ἦχον, ἁπλοῦν ὄντα κομιδῇ καὶ μηδεμιᾶς δεόμενον πραγματείας· μηδὲ τὴν γλῶτταν παρακαλοῦντα, μηδ' ὑπομένοντα, ἀλλὰ κατὰ χώραν ὑποκειμένης ἐκείνης ἐκπεμπόμενον· ᾗ καὶ τὰ νήπια ταύτην πρώτην ἀφιέναι φωνήν· ὠνομάσθαι δὲ καὶ τὸ αἴειν [3] ἐπὶ τῷ φωνῆς αἰσθάνεσθαι, καὶ πολλὰ τῶν ὁμοίων, ὥσπερ καὶ τὸ ᾄδειν, καὶ τὸ αὐλεῖν, καὶ τὸ ἀλαλάζειν. οἶμαι δὲ καὶ τὸ αἴρειν [4] καὶ τὸ ἀνοίγειν οὐκ ἄπο τρόπου τῇ τῶν χειλῶν ἀνοίξει καὶ ἄρσει, καθ' ἣν οὗτος ἐκπίπτει τοῦ στόματος ὁ φθόγγος, ὠνομάσθαι. διὸ καὶ τὰ τῶν ἀφώνων γραμμάτων ὀνόματα, πλὴν ἑνὸς, ἅπαντα προσχρῆται τῷ ἄλφα, καθάπερ φωτὶ τῆς περὶ αὐτὰ τυφλότητος· τοῦ δὲ πῖ μόνον ἄπεστιν ἡ δύναμις αὕτη· τὸ γὰρ φῖ καὶ τὸ χῖ, τὸ μέν ἐστι πῖ, τὸ δὲ κάππα δασυνόμενον.

QUAE-

1 Xyl. judice, desunt ad haec ὃν νομίζουσι δεῖν, aut idem facientia. Mez. corrigit καὶ οὐ δ. W. susp. βοῦν, ὃν οὐ. Ut aliquis sit verborum nexus, sequi malui Turn. e quo τιθέμενον notatur pro vulg. τίθεσθαι.

2 Dedi sic cum W. ex Ald. Bas. Xyl. Palat. Venet. Vatic. pro vulg. πράττεσθαι, quod ex Steph. in rell. transiit.

3 Secutus sum W. ita e Xyl. dantem, ut minus ceteris corrupto. Bas. nimirum habet φωνήν· ὠνομάσθαι δὲ τὸ ἀεὶ ἐπὶ τ. φ. αἰ. Steph. φωνὴν ὀνομάσαι, καὶ τὸ ἀεὶ εἶναι ἐπὶ τ. φ. αἰ. Frft. ὠνομάσαι. R. ὠνομάσθαι; Turn. V. Amiot. Mez. pro ἀεὶ εἶναι exhibent αἴειν. Id W. inde recepit, & vertit: & *αἴειν dici audire, id est, vocem sentire.* Etiam H. Steph. teste, lectio affertur φωνήν· ὠνομάσθαι δὲ τὸ αἴειν ἐπὶ τοῦ φ. αἰ.

4 Frft. & R. αἰείρειν. Restitui αἴρειν ex edd. prioribus.

# QUAESTIO III.

## Qua proportione numeri Vocalium & Semivocalium comparentur [1]?

Πρὸς ταῦτα [2], τοῦ Ἑρμείου φήσαντος, ἀμφοτέρους ἀποδέχεσθαι τοὺς λόγους· Τί οὖν, ἔφην, οὐ καὶ [3] σὺ διῆλθες ἡμῖν, εἴ τις ἐστὶ λόγος τοῦ ἀριθμοῦ τῶν στοιχείων, ὥς γε μοι δοκεῖ; τεκμήριον δὲ ποιοῦμαι τὸ μὴ κατὰ τύχην τῶν ἀφώνων καὶ ἡμιφώνων πρὸς τ' ἄλληλα καὶ πρὸς τὰ φωνήεντα γεγονέναι τὸ πλῆθος, ἀλλὰ κατὰ τὴν πρώτην ἀναλογίαν, ἀριθμητικὴν δὲ καλουμένην ὑφ' ὑμῶν [4]. ἐννέα γὰρ ὄντων καὶ ὀκτὼ καὶ ἑπτὰ, οὕτω τὸν μέσον ἀριθμὸν ὑπερέχειν καὶ ὑπερέχεσθαι συμβέβηκε· τῶν δ' ἄκρων ὁ μέγιστος πρὸς τὸν ἐλάχιστον ἔχει λόγον, ὃν ὁ [5] τῶν Μουσῶν πρὸς τὸν τοῦ Ἀπόλλωνος. ἡ γὰρ ἐννεὰς δή που ταῖς Μούσαις, ἡ δὲ ἑβδομὰς τῷ Μουσηγέτῃ προσκεκλήρωται· συντεθέντα δ' ἀλλήλοις διπλασιάζει [6] τὸν μέσον εἰκότως, ἐπεὶ καὶ τὰ ἡμίφωνα τῆς ἀμφοῖν τρόπον τινὰ κοινωνεῖ δυνάμεως.



1 Personae colloquii sunt Hermias, Plutarchus, Zopyrion.

2 Ald. πρὸς γὰρ τά; Bas. πρὸς δὲ ταῦτα.

3 Sic H. Steph. legendum censuit, dedique cum W. e Turn. V. Mez. Vulgo Τί οὖν, ἔφην αὖ, καὶ σύ.

4 Secutus sum W. ὑφ' dantem ex Turn. V. Bong. Leonic. Anon. ὑμῶν ex Mez. Idem Xyl. expressit. Ald. Bas. Xyl. Palat. Vatic. Venet. ἀφ' ἡμῶν. Steph. & rell. ἐφ' ἡμῶν.

5 Vulgo haec ita leguntur: ἐννέα γὰρ ὄντων καὶ ὀκτὼ, οὕτω τὸν μέσον ἀριθμὸν ὑπερέχειν καὶ ὑπερέχεσθαι· συμβεβηκότων δὲ ἄκρων ὁ μ. π. τ. ἐ. ἔ. λόγον, ὁ τῶν Μ. π. τ. τ. Ἀ. Xyl. inserendum notavit καὶ ἑπτὰ, & legendum οὕτω, nec non συμβέβηκε· τῶν δ' ἄ. & H. Steph. conjecit λόγον, ὃν ὁ &c. Utrumque W. probavit cum Mez.

6 Sic dedi e Xyl. mente. Vulgo διπλασιάζειν.

II. Καὶ ὁ Ἑρμείας [1]. Ἑρμῆς (ἔφη) λέγεται θεῶν ἐν Αἰγύπτῳ γράμματα πρῶτος εὑρεῖν· διὸ καὶ τὸ τῶν γραμμάτων Αἰγύπτιοι πρῶτον ἶβιν γράφουσιν, ὡς Ἑρμεῖ προσήκουσαν, οὐκ ὀρθῶς κατά γε τὴν ἐμὴν δόξαν, ἀναύδῳ καὶ ἀφθόγγῳ προεδρίαν ἐν γράμμασιν ἀποδόντες. Ἑρμεῖ δὲ μάλιστα τῶν ἀριθμῶν ἡ τετρὰς ἀνάκειται· πολλοὶ δὲ καὶ τετράδι μηνὸς ἱσαμένου γενέσθαι τὸν θεὸν ἱστοροῦσι. τὰ δὲ δὴ πρῶτα [2] καὶ Φοινίκεια διὰ Κάδμον ὀνομασθέντα [3], τετράκις ἡ τετρὰς γενομένη παρέσχε· καὶ τῶν αὖθις ἐφευρεθέντων δὲ, Παλαμήδης τε πρότερος τέτταρα, καὶ Σιμωνίδης αὖθις ἄλλα τοσαῦτα προσέθηκε [4]. καὶ μὴν ὁ πάντων ἀριθμῶν πρῶτος τέλειος, ἡ μὲν τριὰς, ὡς ἀρχὴν καὶ μέσον [5] ἔχουσα καὶ τέλος, ἡ δὲ ἑξὰς, ὡς ἴση τοῖς αὐτῆς [6] μέρεσι γινομένη δῆλόν ἐστι· τούτων τοίνυν ἡ μὲν ἑξὰς ὑπὸ τῆς τετράδος πολλαπλασιασθεῖσα, ὑπὸ δὲ τοῦ πρώτου κύβου πρῶτος τέλειος [7], τὸ τῶν τεττάρων καὶ εἴκοσι παρέσχηκε πλῆθος.

III. Ἔτι δ' αὐτοῦ λέγοντος, ὁ γραμματιστὴς Ζωπυρίων δῆλος ἦν καταγελῶν, καὶ παρεφθέγγετο· παυσαμένου δὲ, οὐ κατέσχεν, ἀλλὰ φλυαρίαν τὰ τοιαῦτα πολλὴν ἀπεκάλει· μηδενὶ γὰρ λόγῳ, συντυχίᾳ δέ τινι, καὶ

1 Secutus sum W. ita ex sua conjectura dantem. Kaltw. idem vertendo expressit. Vulgo δυνάμεως καὶ θερμασίας.

2 Ald. Bas. πρῶτον.

3 Sic in R. exstitit, quod W. e Palat. sumsit. Vulgo ὠνομασθέντα. Xyl. locum ita legit & vertit: τὰ δὲ δὴ πρῶτον εὑρεθέντα ἑκκαίδεκα γράμματα, καὶ Φοιν.

4 Cf. Plin. H. N. L. VII, 56.

5 Ita e Bas. restitui, quod W. e Mez. sumsit. Vulgo μέσην.

6 Secutus sum W. ita e Palat. & Mez. dantem. Vulgo αὐτοῦ.

7 Vulgo πρῶτον κύβον πρῶτος τέλεος. Corrupta haec esse, facile patet. Xyl. jam id monuit. H. Steph. leg. conjecit πρῶτον κύβον τέλειον, & ita e V. & Turn. notatur. At non magis haec probanda sunt. Verissimam esse correctionem, quam e Mez. & Amiot. dedi, W. probatam, res ipsa loquitur.

καὶ τὸ πλῆθος τῶν γραμμάτων γεγονέναι τοσοῦτον, καὶ τὴν τάξιν οὕτως ἔχουσαν, ὥσπερ (ἔφη) καὶ τὸ τῆς Ἰλιάδος τὸν πρῶτον στίχον τῷ τῆς Ὀδυσσείας ἰσοσύλλαβον εἶναι, καὶ πάλιν τῷ τελευταίῳ τὸν τελευταῖον ἐκ τύχης καὶ αὐτομάτως ἐπηκολουθηκέναι.

## QUAESTIO IV.

### Utram Veneris manum sauciarit Diomedes [1]?

Μετὰ δὲ ταῦτα, τὸν μὲν Ἑρμείαν, βουλόμενόν τι προβαλεῖν τῷ Ζωπυρίωνι, ἀπεκωλύσαμεν. ὁ δὲ ῥήτωρ Μάξιμος ἄποθεν ἠρώτησεν αὐτὸν ἐκ τῶν Ὁμήρου, ποτέραν χεῖρα τρώσειεν τῆς Ἀφροδίτης ὁ Διομήδης. ταχὺ δὲ τοῦ Ζωπυρίωνος ἀντερομένου, ποτέρῳ σκέλει χωλὸς ἦν ὁ Φίλιππος· Οὐχ ὅμοιον· (εἶπεν ὁ Μάξιμος) οὐδεμίαν [2] γὰρ ὁ Δημοσθένης ἀπολογίαν περὶ τούτου δέδωκε· σὺ δ' ἂν [3] ἀπορεῖν ὁμολογήσῃς, ἕτεροι δείξουσιν, ὅπου τὴν τετρωμένην χεῖρα φράζοι τοῖς νοῦν ἔχουσιν ὁ ποιητής. ἔδοξεν οὖν ἡμῖν ὁ Ζωπυρίων διηπορῆσθαι, καὶ τὸν Μάξιμον, ἐκείνου σιωπῶντος, ἠξιοῦμεν ἐπιδεικνύναι.

II. Πρῶτον οὖν (ὁ Μάξιμος ἔφη) τῶν ἐπῶν οὕτως ἐχόντων·

Ἔνθ' ἐπορεξάμενος [4] μεγαθύμου Τυδέος υἱὸς
Ἄκρην οὔτασε χεῖρα, μετάλμενος ὀξέϊ δουρί·

δῆλόν ἐστιν, ὅτι τὴν ἀριστερὰν [5] πατάξαι βουλόμενος, οὐκ ἐδεῖτο μεταπηδήσεως, ἐπεὶ κατὰ τὴν ἀριστερὰν τὴν

 δεξιὰν

1 Personae colloquii sunt Hermias, Zopyrion, Maximus.
2 Pro οὐδεμίαν Ald. οὐδὲν; Bas. οὐδὲ.
3 Dedi sic cum W. ita e Palat. sumente. Vulgo σὺ δὲ, ἂν ex Schott Leonic. Anon. legitur. Mez. σὺ δὲ ἦν; Turn. Bas. Xyl. σὺ δὲ ἂν; Ald. σὺ δὲ ὢν.
4 Ald. Bas. mendose ἔνθεν πορεξάμενος. Iliad. V, 335 sq.
5 Ab Ald. & Bas. absunt τὴν ἀριστερὰν. Xyl. supplevi.

δεξιὰν εἶχεν ἐξ ἐναντίꙋ προσφερόμενος· καὶ γὰρ εὔλογον ἦν, τὴν ἐῤῥωμενεςέραν χεῖρα καὶ μᾶλλον τꙋ Αἰνείꙋ φερομένꙋ περιεχομένην, ἐκεῖνόν [1] τε τρῶσαι, καὶ τὴν τρωθεῖσαν προέσθαι τὸ σῶμα. δεύτερον, εἰς τὸν ꙋρανὸν αὐτῆς ἀνακομισθείσης, καὶ τὴν Ἀθηνᾶν ἀναγελῶσαν λέγειν [2].

Ἦ μάλα δή τινα Κύπρις Ἀχαιϊάδων ἀνιεῖσα,
Τρωσὶν ἅμα σπέσθαι, τὰς νῦν ἔκπαγλα φίλησε.
Τῶν τινα καῤῥέζꙋσ' Ἀχαιϊάδων βαθυκόλπων,
Πρὸς χρυσῇ περόνῃ κατεμύξατο χεῖρα ἀραιήν.

οἶμαι δὲ, καὶ σὲ, (εἶπεν) ὦ βέλτιςε διδασκάλων, ὅταν τινὰ τῶν μαθητῶν φιλοφρονέμενος καταψᾷς καὶ καταῤῥέζῃς [3], μὴ τῇ ἀριςερᾷ χειρὶ τꙋ̃το ποιεῖν, ἀλλὰ τῇ δεξιᾷ· καθάπερ εἰκός ἐςι καὶ τὴν Ἀφροδίτην, ἐπιδεξιωτάτην θεῶν ꙋ̓̃σαν, ꙋ̔́τω φιλοφρονεῖσθαι τὰς ἡρωΐδας.

## QUAESTIO V.

### Cur Plato dixerit, vigesimo loco ad sortem venisse animam Aiacis [4]?

Ταῦτα τὰς ἄλλꙋς ἅπαντας ἡδίꙋς ἐποίησε, μόνον δὲ τὸν γραμματικὸν Ὕλαν ὁ ῥήτωρ Σῶσπις ὁρῶν ἀποσιωπῶντα [5] καὶ βαρυθυμꙋ́μενον, (ꙋ̓ πάνυ γὰρ εὐημέρησεν ἐν ταῖς ἐπιδείξεσιν) ἀνεφώνησεν·

Οἴη [6] δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο.

τὰ

1 Turn. V. ἐκείνην.

2 W. susp. οἶδα τὴν Ἀθηνᾶν ἅμα γελῶσαν λέγειν pro καὶ τ. Ἀ. ἀ. λ. Iliad. V, 521 sqq.

3 Aut sic aut κατῤῥέζῃς scribendum monuit H. Steph. pro vulg. lect. καταρέξῃς, quae quoque e Turn. & V. notatur, unde eosdem correctiorem vocabuli formam exhibuisse colligo.

4 Personae colloquii sunt Hylas, Sospis, Ammonius, Lamprias.

5 Ald. ἀποσιωπῶν.

6 Odyss. XI, 542 — 561.

τὰ λοιπὰ μεῖζον φθεγγόμενος [1] ἤδη πρὸς ἐκεῖνον ἐπέφοινεν·

Ἀλλ' ἴθι δεῦρο, ἄναξ, ἵν' ἔπος καὶ μῦθον ἀκέσῃς
Ἡμέτερον· δάμασον δὲ μένος καὶ ἀγήνορα θυμόν·

ἔτι δὲ ὁμολογῶν [2] ὑπ' ὀργῆς ὁ Ὕλας ἀπεκρίνατο σκαιῶς, τὴν μὲν Αἴαντος ἔφη ψυχὴν, εἰκοστὴν λαχοῦσαν ἐν ᾅδου διαμείψασθαι, κατὰ τὸν Πλάτωνα [3], φύσιν λέοντος· αὐτῷ δὲ πολλάκις παρίσασθαι καὶ τὰ [4] τοῦ κωμικοῦ γέροντος·

Ὄνον γενέσθαι κρεῖττον, ἢ τοὺς χείρονας
Ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανέστερον.

καὶ ὁ Σῶσπις γελάσας· Ἀλλὰ ἕως μέλλομεν ἐνδύεσθαι τὸ κανθήλιον, εἴ τι [5] κήδει Πλάτωνος, δίδαξον ἡμᾶς, ᾧτινι λόγῳ τὴν τοῦ Τελαμωνίου ψυχὴν πεποίηκεν ἀπὸ κλήρου βαδίζουσαν εἰκοστὴν ἐπὶ τὴν αἵρεσιν. ἀποσκορακίσαντος τοῦ Ὕλα, (χλευάζεσθαι γὰρ ᾤετο δυσημερῶν) ὑπολαβὼν ὁ ἀδελφὸς ἡμῶν· Τί οὖν; (εἶπεν) οὐ δευτερεῖα μὲν ὁ Αἴας κάλλους καὶ μεγέθους καὶ ἀνδρείας ἀεὶ φέρεται μετ' ἀμύμονα Πηλείωνα [6]; τὰ δ' εἴκοσι, δευτέρα δεκάς. ἡ δὲ δεκὰς [7] ἐν τοῖς ἀριθμοῖς κράτιστος, ὡς ἐν τοῖς Ἀχαιοῖσ ὁ Ἀχιλλεύς. γελασάντων δὲ ἡμῶν· Ταῦτα μὲν, (ὁ Ἀμμώνιος εἶπεν) ὦ Λαμπρία, κείσθω σοι πεπαιγμένα πρὸς Ὕλαν· ἡμῖν δὲ μὴ παίζων, ἀλλ' ἀπὸ σπουδῆς, ἐπεὶ τὸν λόγον ἑκὼν ἐξεδέξω, δίελθε περὶ τῆς αἰτίας.



1 Vulgo μεῖζον ἢ φθεγγ. Xyl. deleri voluit ἢ. Delevi cum W.

2 Xyl. fufp. ἐπεὶ δὲ ὁμολογῶν, & defiderat ὅτι ante ἀπεκρίνατο. Mez. corrigit ὀργῶν. W. fufp. θυμομαχῶν vel θυμαλγῶν.

3 de republ. X. Vol. VII, p. 335. ed. Bip.

4 Turn. V. Bong. καὶ τό.

5 Ald. pro εἴ τι dat ἔτι; Turn. ἐπεί.

6 Cf. Odyfs. XI, 550.

7 Abfuerunt a R. ἡ δὲ δεκάς.

II. Θορυβηθεὶς οὖν ὁ Λαμπρίας, εἶτα χρόνον οὐ πολὺν ἐπισχὼν, ἔφη, πολλαχοῦ μὲν ἡμῖν τὸν Πλάτωνα προσπαίζειν διὰ τῶν ὀνομάτων· ὅπου δὲ μῦθόν τινα τῷ περὶ ψυχῆς λόγῳ μίγνυσι, χρῆσθαι μάλιστα τῷ νῷ [1]. τοῦ τε γὰρ οὐρανοῦ τὴν νοητὴν φύσιν ἅρμα καλεῖν πτηνὸν, τὴν [2] ἐναρμόνιον τοῦ κόσμου περιφορὰν, ἐνταῦθα δὲ τὸν αὐτάγγελον τῶν ἐν ᾅδου, Πάμφυλον γένους ἁρμονίου πατρὸς, Ἥραν [3] δ' αὐτὸν ὀνομάζειν, αἰνιττόμενον, ὅτι γεννῶνται μὲν αἱ ψυχαὶ καθ' ἁρμονίαν, καὶ συναρμόττονται τοῖς σώμασιν· ἀπαλλαγεῖσαι δὲ συμφέρονται [4] πανταχόθεν εἰς τὸν ἀέρα· κἀκεῖθεν αὖθις ἐπὶ τὰς δευτέρας γενέσεις τρέπονται. τί δὴ κωλύει καὶ τὸ εἰκοστὸν εἰρῆσθαι πρὸς τὸ μὴ ἀληθὲς, ἀλλ' εἰκὸς τοῦ [5] λόγου καὶ πλαττόμενον, ἢ πρὸς τὸν κλῆρον [6], ὡς εἰκῇ καὶ κατὰ τύχην γινόμενον; ἀεὶ μὲν γὰρ ἅπτεται τῶν τριῶν αἰτιῶν, ἅτε δὴ πρῶτος ἢ μάλιστα συνιδὼν, ὅπη τὸ καθ' εἱμαρμένην τῷ [7] κατὰ τύχην, αὖθίς τε τὸ ἐφ' ἡμῖν ἑκατέρῳ καὶ συναμφοτέροις ἐπιμίγνυσθαι καὶ συμπλέκεσθαι πέφυκε. νῦν δὲ θαυμαστῶς, ἣν ἔχει δύναμιν τοῖς ἡμετέροις πράγμασιν ἕκαστον, ὑποδεδήλωκε· τὴν μὲν αἵρεσιν τῶν βίων τῷ [8] ἐφ'

1 Pro τῷ νῷ Xyl. legit τύπῳ.

2 W. legendum monet πτηνὸν διὰ —.

3 Ald. Bas. ἦρα; Turn. V. ἥρα. Kaltw. monet, apud Platonem ita legi: Ηρος του Αρμενιου, το γενος Παμφυλου, & quaerit, utra lectio sit genuina?

4 Ald. συμφέρεσθαι; Turn. Bong. συμφέρονται.

5 Ita cum W. dedi ex emendatione Turn. V. Anon. Mez. Vulgo εἰκοστοῦ λ.

6 Secutus sum W. ita de suo emendantem. Vulgo νεκρὸν. Vatic. κνερὸν; Palat. καιρον, superscripto νε literis αι. Mez. τυχηρὸν. Ald. Bas. pro καὶ κατὰ τύχην exhibent καὶ καταψυχήν.

7 Bas. Frft. R. τὸ κατὰ τ.

8 Secutus sum W. ita de suo dantem. Vulgo τῷ βίῳ τῶν ἐφ' ἡμῖν. Ald. Bas. Xyl. Venet. Palat. Vatic. τῷ βίῳ τῷ ἐφ' ἡμῖν.

ἐφ' ἡμῖν 'ἀποδιδὰς· ἀρετὴ γὰρ ἀδέσποτον καὶ κακία· τὸ δ' εὖ βιῦν [1] τὰς ὀρθῶς ἑλομένας, καὶ τἀναντία τὰς κακῶς, εἱμαρμένης ἀνάγκη συνάπτων· αἱ δὲ τῶν κλήρων ἀτάκτως διασπειρομένων ἐπιπτώσεις τὴν τύχην παρεισάγουσι καὶ τροφαῖς καὶ πολιτείαις, ὧν ἕκαστοι λαγχάνουσι, πολλὰ τῶν ἡμετέρων προκαταλαμβάνουσαν [2]. Ὅρα δὴ, μὴ τῶν κατὰ τύχην αἰτίαν ζητεῖν ἄλογόν ἐστιν· ἂν γὰρ ἔν τινι λόγῳ φαίνηται γεγονὼς ὁ κλῆρος, οὐκέτι γίνεται κατὰ τύχην, οὐδ' αὐτομάτως, ἀλλ' ἔκ τινος εἱμαρμένης καὶ προνοίας.

III. Ἔτι δὲ τοῦ Λαμπρίου λέγοντος, ὁ γραμματικὸς ἤδη Μάρκος ἐδόκει τι συλλογίζεσθαι καὶ διαριθμεῖν πρὸς αὐτόν· ἔπειτα παυσαμένου, τῶν Ὁμηρικῶν, ἔφη, ψυχῶν [3] ὅσας ἐν νεκυίᾳ κατωνόμακεν, ἡ μὲν Ἐλπήνορος οὔπω καταμεμιγμένη ταῖς ἐν [4] ᾅδου διὰ τὸ μὴ τεθάφθαι τὸν νεκρὸν, ὥσπερ ἐν μεθορίοις πλανᾶται· τὴν δὲ [5] Τειρεσίου ταῖς ἄλλαις οὐκ ἄξιον δήπου συγκαταριθμεῖν [6],



1 Secutus sum W. ita e Palat &Mez. sumentem. Vulgo εὐσεβοῦν, pro quo H. Steph. maluit εὐσεβεῖν, quod e Turn. &V. notatur.

2 Vulgo καὶ τροφὰς καὶ πολιτείας, ὧν ἕκαστοι λαγχάνουσι, πολλαὶ τῶν ἡμετέρων προκαταλαμβάνουσιν, quod, W. teste, Steph. ex Schott. & Leonic. sumsit Turn. V. τροφῆς; Turn. Bong. τροφάς. Xyl. locum asterisco notavit. Kaltw. susp. & vertit: καὶ τροφαὶ καὶ πολιτεῖαι — πολλὰ τῶν ἡμετέρων προκαταλαμβάνουσι. Secutus sum W. ita partim e codd. partim consequenter dantem. τροφαῖς nimirum habent Ald. Bas. Xyl. Palat. Vatic. Mez. πολιτείαις Xyl. (certe in vers. ita exprimit; Bas. autem, cui eandem adscribit W. lectionem, habet πολιτείας) Palat. Vatic. Mez. πολλὰ Palat. Vatic. προκαταλαμβάνουσαν Mez.

3 Vulgo absunt ἔφη, ψυχῶν. Addidi e Mez. & vers. Xyl. probante W. Νεκυία dicitur Odyss. XI.

4 Vulgo abest ἐν. Addidi cum W. id ex Leonic. & Mez. sumente. Inserui deinde cum eodem μὴ post διὰ τὸ ex Bas. Xyl. Palat. Leonic. Mez. Turn.

5 Vulgo abest δέ: Addidi cum W. e Turn. V. Anon. Mez.

6 Secutus sum W. ita e Palat. dantem pro vulg. καταριθμεῖν. Cf. Odyss. X, 552. sqq. & 494.

Ωἷ καὶ τεθνειῶτι νόον πόρε Περσεφόνεια
Οἴῳ πεπνύσθαι,

καὶ διαλέγεσθαι, καὶ ξυνιέναι τῶν ζώντων, πριν ἢ πιεῖν τȣ̃ αἵματος. ἂν ȣ̃ν ταύτας ὑπεξελόμενος, ὦ Λαμπρία, τὰς ἄλλας [1] διαριθμῇς, αὐτῷ συμβαίνει τὴν Αἴαντος εἰκοςὴν εἰς ὄψιν ἀφῖχθαι τȣ̃ Ὀδυσσέως· καὶ πρὸς τȣ̃το παίζειν τὸν Πλάτωνα τῇ Ὁμηρικῇ νεκυίᾳ προσαναχρωννύμενον.

## QUAESTIO VI.

### Quid innuat fabula de victo Neptuno, & ſimul, cur Athenienſes ſecundam diem Boedromioni menſi eximant [2]?

Θορυβησάντων δὲ πάντων, Μενέφυλλος [3] ὁ Περιπατητικὸς προσαγορεύσας τὸν Ὕλαν· Ὁρᾶτε [4], (εἶπεν) ὡς ȣ̓κ ἦν τὸ ἐρώτημα χλευασμὸς, ȣ̓δὲ ὕβρις· ἀλλ᾽ ἀφεὶς, ὦ μακάριε, τὸν δυστράπελον Αἴαντα καὶ δυσώνυμον, (ὥς φησὶ Σοφοκλῆς) γενȣ̃ μετὰ τȣ̃ Ποσειδῶνος, ὃν αὐτὸς εἴωθας [5] ἱςορεῖν ἡμῖν ἡττώμενον πολλάκις, ἐνταῦθα μὲν ὑπ᾽ Ἀθηνᾶς, ἐν Δελφοῖς δὲ ὑπὸ τȣ̃ Ἀπόλλωνος, ἐν Ἄργει δὲ ὑπὸ τῆς Ἥρας, ἐν Αἰγίνῃ [6] δὲ ὑπὸ τȣ̃ Διὸς, ἐν Νάξῳ δὲ ὑπὸ τȣ̃ Διονύσȣ, πρᾷον δὲ πανταχȣ̃ καὶ ἀμήνιτον ὄντα περὶ τὰς δυσημερίας·

1 Ita W. e Palat. dedit, quem ſecutus ſum. Vulgo τὰς ἄλλας. Dedi deinde cum eodem αὐτῷ e Turn. V. Bong. Anon. Leonic. Schott. pro vulg. αὐτὸ.

2 Perſonae colloquii ſunt Menephyllus, Hylas, Lamprias.

3 Xyl. maluit Μενέφιλος, quale hoc nomen infra Quaeſt. 14. ſecundum Baſ. occurrit.

4 W. legendum cenſet ὁρᾶς cum Mez.

5 Dedi ſic e Xyl. mente, ut redeat ad Hylam grammaticum. Idem W. conjecit; proxime accedit Palat. εἴωθα. Vulgo εἴωθεν.

6 Palat. Αἰγύπτῳ.

ρίας· ἐνταῦθα γῦν καὶ νεὼ κοινωνεῖ [1] μετὰ τῆς Ἀθηνᾶς, ἐν ᾧ καὶ βωμός ἐςι Λήθης [2] ἱδρυμένος. καὶ ὁ Ὕλας, ὥσπερ ἡδίων γενόμενος· Ἐκεῖνο δέ σε, (εἶπεν) ὦ Μενέφυλλε, λέληθεν, ὅτι καὶ τὴν δευτέραν τῦ Βοηδρομιῶνος ἡμέραν ἐξαιρῦμεν ἐ [3] πρὸς τὴν σελήνην, ἀλλ' ὅτι ταύτῃ δοκῦσιν ἐρίσαι περὶ τῆς χώρας οἱ θεοί. πάντα [4], (εἶπεν ὁ Λαμπρίας) ὅσῳ τῦ Θρασυβύλυ γέγονε Ποσειδῶν πολιτικώτερος, εἰ μὴ κρατῶν, ὡς ἐκεῖνος, ἀλλ' ἡττώ [5] —

λείπει.

ὅρκοις δ' ἄνδρας ἐξαπατητέον. καὶ ὁ Γλαυκίας· Ἐγὼ μὲν (ἔφη) κατὰ Πολυκράτυς ἀκήκοα τῦ τυράννυ, λεγόμενον τὸν λόγον τῦτον· εἰκὸς δὲ καὶ [6] καθ' ἑτέρων λέγεσθαι. σὺ δὲ πρὸς τί τῦτο ἐρωτᾷς; Ὅτι νὴ Δία (ὁ Σῶσπις ἔφη) τὰς μὲν παῖδας ἀςραγάλοις ὁρῶ, τὰς

1 Turn. V. Bong. κεκοινώνηκε. Praeter hoc affertur e Turn. & V.; καὶ ἐν νεῷ κοινῷ κεῖται; vel τῶν νέῳ (fic) κεῖται, vel ἀνάκειται.

2 Vulgo βωμός ἐςιν ἀληθής. Xyl. corrigendum monuit ἐςι τῆς Λήθης. Dedi Λήθης cum W. confentiente Mez.

3 Vulgo ἐξηρημένυ. Dedi cum W. ἐξαιρῦμεν ἐ e Turn. V. Anon. Mez. E Turn. quoque & V. affertur ἐξήρῃμεν ἐ.

4 Turn. V. Anon. πάντως; W. cum Mez. fufp. Παπαί.

5 Xyl. monente permulta hic videntur periiffe, nimirum & hujus problematis reliqua, & fex deinceps proximae, particula duntaxat duodecimi fuperftite. Turn. & V. hanc lacunam ita complent: ἀλλ' ἡττώμενος ὅμως ἐ μνησικακεῖ. ὁ δὲ Λύσανδρος λέγειν εἰώθει, ὡς παῖδας μὲν ἀςραγάλοις, ὅρκοις δὲ ἄνδρας —. W. tefte, interjecta his vocibus adhuc defiderantur in omnibus, qui ad ipfius & aliorum notitiam venerunt, libris.

6 Vulgo abeft καὶ. Id inferendum cenfui ex mente Mez. probata W.

τὺς δ' Ἀκαδημαϊκὺς, λόγοις ἀρτιάζοντας [1]. ὐδὲν γὰρ οἱ τοιῦτοι ςόμαχοι [2] διαφέρυσι τῶν ἐρωτώντων, πότερον ἄρτια τῇ χειρὶ συνειληφότες, ἢ περιττὰ, συντείνυσιν. ἐπαναςὰς ὖν ὁ Πρωτογένης, καί με καλέσας ἐξ ὀνόματος· Τί παθόντες (εἶπεν) τὺς ῥήτορας τύτυς τρυφᾷν ἐῶμεν, ἑτέρων καταγελῶντας, αὐτὺς δὲ μηδὲν ἐρωτωμένυς, μηδὲ συμβολὰς λόγων τιθέντας; εἰ μὴ νὴ Δία φήσυσι, μηδὲν αὐτοῖς μετεῖναι τῆς ἐν οἴνῳ κοινωνίας, Δημοσθένυς ἐπαινέταις καὶ ζηλωταῖς ὖσιν, ανδρὸς ἐν ἅπαντι τῷ βίῳ μηδέποτε πιόντος οἶνον. Οὐκ αἴτιον (ἔφην ἐγὼ) τῦτο τύτων, ἀλλ' ἡμεῖς ὐδὲν αυτὺς ηρωτήκαμεν, εἰ δὲ μή τι συ χρησιμώτερον ἔχεις, ἐγώ μοι δοκῶ προβαλεῖν αὐτοῖς ἐκ τῶν Ὁμήρυ ῥητορικῶν θεσεων μίαν ἀντινομικήν.

## QUAESTIO XIII.

De legum contrarietate, ex Iliadis libro tertio [3].

Τίνα (ἔφη) ταύτην; Ἐγώ σοι φράσω (εἶπον) ἅμα καὶ τύτοις προβάλλων· διὸ τὸν νῦν ἤδη προσεχέτωσαν. ὁ γὰρ Ἀλέξανδρος ἐπὶ ῥητοῖς δήπυ πεποίηται τὴν πρόκλησιν ὕτως·

Αὐτὰρ ἐμ' ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον
Συμβάλετ' ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι.
Ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται,
Κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε, οἴκαδ' ἀγέσθω.

καὶ

1 Vulgo ἀςραγάλυς — λόγυς ἀρπάζοντας. Kaltw. laudat vertitque correctionem Valckenar. ad Theocrit. Adoniaz. p. 393. W. e Palat. Vatic. sumsit ἀςραγάλοις, & λόγοις dedit consequenter antecedenti. Simul ἀρτιάζοντας leg. susp.

2 W. susp. ςωμύλοι, vel αἱ τοιαῦται σκιαμαχίαι. Mez. λεπτολογίαι.

3 Personae colloquii sunt Plutarchus, Protogenes, Glaucias, Sospis.

καὶ πάλιν ὁ Ἕκτωρ, ἀναγορεύων, καὶ τιθεὶς εἰς μέσον πᾶσι τὴν πρόκλησιν αὐτοῦ, μονονουχὶ τοῖς αὐτοῖς ὀνόμασι κέχρηται·

Ἄλλους μὲν κέλεται Τρῶας καὶ πάντας Ἀχαιοὺς
Τεύχεα καλ' ἀποθέσθαι ἐπὶ χθονὶ πουλυβοτείρῃ,
Αὐτὸν δ' ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον
Κτήμασι πᾶσι μάχεσθαι [1].
Τῷ δέ κε νικήσαντι γυνὴ καὶ κτήμαθ' ἕποιτο.

δεξαμένου δὲ τοῦ Μενελάου, ποιοῦνται τὰς συνθήκας ἐνόρκους [2]. ἐξάρχει δὲ ὁ Ἀγαμέμνων·

Εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ,
Αὐτὸς ἔπειθ' Ἑλένην ἀγέτω καὶ κτήματα πάντα.
Εἰ δέ κ' Ἀλέξανδρον κτείνει ξανθὸς Μενέλαος,
Κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ' ἀγέσθω.

ἐπεὶ τοίνυν ἐνίκησε μὲν, οὐκ ἀνεῖλε δὲ ὁ Μενέλαος, μεταλαβόντες ἑκάτεροι τὴν ἀξίωσιν ἰσχυρίζονται τοῖς τῶν πολεμίων· οἱ μὲν, ὡς νενικημένου τοῦ Πάριδος, ἀπαιτοῦντες, οἱ δὲ, ὡς μὴ τεθνηκότος, οὐκ ἀποδιδόντες. Πῶς οὖν (ἔφην [3]) τὴν δίκην ταύτην ἰθύντατα εἴποι τις καὶ διαιτήσειεν τὴν ἀντινομίαν, οὐ φιλοσόφων, οὐδὲ γραμματικῶν, ἀλλὰ ῥητόρων ἔργον ἐστὶ φιλογραμματούντων, ὥσπερ ὑμεῖς [4], καὶ φιλοσοφούντων.

II. Ὁ μὲν οὖν Σῶσπις ἔφη, κυριώτερον εἶναι τὸν τοῦ προκεκλημένου [5] λόγον, ὥσπερ νόμον· ἐκεῖνος γὰρ,

1 Plene hic verſus in Hom. ita legitur οἴους ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι. Ad hunc accommodata eſt Xyl. verſio: at eum non exhibet Baſ. quod W. aſſerit, nota ejus praeterea vitioſe ad priora relata.

2 Ald. Baſ. ἔνορκοι. Pro ἐξάρχει, quod ſequitur, Kaltw. mavult ἐξαγορεύει.

3 Sic dandum cenſui pro vulg. ἔφη. Mez. conſentit, W. teſte. Simul Mez. pro ſeq. εἴποι correxit διείποι τις. Sumſi ſaltim τις.

4 Dedi ſic cum W. e Xyl. verſione, cui Leonic. conſentit. Vulgo ἡμεῖς.

5 Ald. προκεκριμένου.

γὰρ, ἐφ' οἷς διαγωνιῦνται, κατήγγειλεν [1]. οἱ δὲ δεξάμενοι καὶ ὑπακύσαντες ὑκέτι κύριοι προστιθέντες. ἡ δὲ πρόκλησις ὑ περὶ φόνυ καὶ θανάτυ γέγονεν, ἀλλὰ περὶ νίκης καὶ ἥττης· καὶ μάλα δικαίως. ἔδει γὰρ τὴν γυναῖκα τῦ κρείττονος εἶναι. κρείττων δὲ ὁ νικῶν· ἀποθνήσκειν δὲ πολλάκις συμβαίνει καὶ ἀγαθοῖς ὑπὸ κακῶν, ὡς ὕστερον· Ἀχιλλεὺς ἀπέθανεν τοξευθεὶς ὑπὸ Πάριδος· καὶ ὐκ ἂν (οἶμαι) φαίημεν, Ἀχιλλέα ἥττω [2] γεγονέναι διὰ τὸν θάνατον, ὐδὲ νίκην, ἀλλ' ἄδικον εὐτυχίαν, τῦ βάλλοντος. ἀλλ' ὁ Ἕκτωρ ἥττητο καὶ πρὶν ἀποθνήσκειν, μὴ δεξάμενος, ἀλλὰ δείσας καὶ φυγὼν ἐπερχομένυ τῦ Ἀχιλλέως· ὁ γὰρ ἀπειπάμενος καὶ φυγὼν, ἧτταν ἀπροφάσιστον ἥττηται, καὶ συγκεχώρηκε, κρείττονα τὸν ἀντίπαλον εἶναι. διὸ [3] πρῶτον μὲν ἡ Ἶρις ἐξαγγέλλυσα τῇ Ἑλένῃ φησί [4].

Μακροῖς ἐγχείῃσι μαχήσονται περὶ σεῖο·
Τῷ δέ κε νικήσαντι φίλη κεκλήσῃ ἄκοιτις.

ἔπειτα ὁ Ζεὺς τῷ Μενελάῳ τῆς μάχης [5] τὸ βραβεῖον ἀπέδωκεν, εἰπών·

Νίκη μὲν δὴ φαίνετ' ἀρηϊφίλυ Μενελάυ.

γελοῖον γὰρ, εἰ τὸν μὲν πόδα [6] ἐνίκησε πόῤῥωθεν ἀκοντίσας, μὴ προσδοκήσαντα, μηδὲ φυλαξάμενον [7], τῦ δ' ἀπει-

1 Vulgo ἐκείνοις — κατήγγειλαν. Secutus sum Mez. probante W. In Bas. legitur ἐκείνοι; Xyl. ἐκεῖνοι.

2 Ald. Ἀχιλλεὺς ἧττεν; Bas. & Turn. Ἀχιλλεὺς ἧτταν. Abest ab Ald. & Bas. mox seq. διά.

3 Pro διὸ Ald. vitiose δεῖ; Turn. ἔτι.

4 Iliad. III, 236. sq.

5 Ald. Bas. τῇ μάχῃ. Illad. IV, 13.

6 Inepte dictum, Xyl. judice. Turn. & V. sic ordinant verba τὸν μὲν ἐνίκησε πόδα. V. praeterea τῶν pro τόν. Palat. pro πόδα habet Πάριν.

7 E Bas. & Xyl. sic cum W. restitui pro vulg. φυλαξόμενον, nec non deinde ὐκ ἄξιος pro vulg. ὐκ ἄξιον. Caeterum laboranti nexui W. ita legendo succurrendum censet: εἰ τὸν μὲν

δ' ἀπειπαμένȣ καὶ δραπετεύσαντος, καὶ καταδύντος εἰς τὰς κόλπȣς τῆς γυναικὸς ἐσκυλευμένȣ ζῶντος, ȣκ ἄξιος ἦν τὰ νικητήρια Φέρεσθαι κατὰ τὴν αὐτȣ πρόκλησιν ἐκείνȣ κρείττων Φανεὶς καὶ περιγενόμενος.

III. Ὑπολαβὼν ὁ Γλαυκίας ἔΦη· Πρῶτον μὲν ἔν τε δόγμασι καὶ νόμοις, ἔν τε συνθήκαις καὶ ὁμολογίαις κυριώτερα τὰ ὕςερα [1] νομίζεται καὶ βεβαιότερα τῶν πρώτων. δεύτεραι δὲ ἦσαν αἱ Ἀγαμέμνονος ὁμολογίαι τέλος ἔχȣσαι θάνατον, ȣχὶ ἧτταν τȣ κρατηθέντος. ἔπειτα ἐκείνη μὲν λόγοις, αὗται δὲ καὶ μεθ' ὅρκων εἴποντο, καὶ προσῆσαν ἀραὶ τοῖς παραβαίνȣσιν, ȣχ ἑνὸς ἀνδρὸς, ἀλλὰ πάντων ἀποδεχομένων καὶ συνομολογȣ́ντων· ὥςε ταῦτα [2] γεγονέναι κυρίως ὁμολογίας, ἐκείνας δὲ μόνας προκλήσεις. μαρτυρεῖ δὲ ὁ Πρίαμος, μετὰ τὰ ὅρκια τȣ ἀγῶνος ἀπιὼν, καί·

Ζεὺς μέν πȣ τό γε οἶδε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
Ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐςίν [3].

ἤδει [4] γὰρ ἐπὶ τȣ́τοις τὰς ὁμολογίας γεγενημένας· διὸ καὶ μετὰ μικρὸν ὁ Ἕκτωρ [5] Φησίν·

Ὅρκια μὲν Κρονίδης ὑψίζυγος ȣκ ἐτέλεσσεν [6].

ἀτελὴς γὰρ ἔμεινεν ὁ ἀγὼν, καὶ πέρας ἀναμΦισβήτητον ȣκ εἶχε, μηδὲ ἑτέρȣ πεσόντος. ὅθεν ἔμοιγε δοκεῖ μηδ'

μὲν πόδα πόῤῥωθεν ἀκοντίσας Πάρις ἐνίκησε μὴ προσδοκήσαντα μηδὲ Φυλαξάμενον, αὐτȣ δὲ ἀπειπαμένȣ — ȣκ ἄξιος ἦν τὰ νικητήρια Φέρεσθαι ὁ κατὰ τὴν αὐτȣ πρόκλησιν — περιγενόμενος.

1 Turn. V. τὰ δεύτερα. Ald. deinde δευτεραῖαι ἦσαν absque δὲ.

2 W. fufp. ταύτας.

3 Iliad. III, 308.

4 Sic cum W. dedi e Turn. V. Palat. Vatic. Anon. Mez. Xyl. pro vulg. ἤδη.

5 Articulum praeponendo, qui vulgo abeft, fecutus fum W. ita dantem e Palat. Vatic. Venet.

6 Iliad. VII, 69.

μηδ' ἀντινομικὸν [1] γεγονέναι τὸ ζήτημα, ταῖς δευτέραις ὁμολογίαις τῶν πρώτων ἐμπεριεχομένων· ὁ γὰρ ἀποκτείνας νενίκηκεν, ἐ μὴν ὁ νικήσας ἔκτεινεν. συνελόντι [2] δ' εἰπεῖν, Ἀγαμέμνων ἐκ ἔλυσε τὴν τῦ Ἕκτορος πρόκλησιν, ἀλλ' ἐσαφήνισεν· ἐδὲ μετέθηκεν, ἀλλὰ προσέθηκε τὸ κυριώτατον, ἐν τῷ κτεῖναι τὸ νικῆσαι θέμενος· αὕτη γάρ ἐςι νίκη παντελής· αἱ δ' ἄλλαι προφάσεις καὶ ἀντιλογίας ἔχεσιν, ὡς ἡ παρὰ Μενελάε, μήτε τρώσαντος, μήτε διώξαντος· ὥσπερ ἐν ἐν ταῖς ἀληθιναῖς ἀντινομίαις οἱ δικαςαὶ, τῷ μηδὲν ἀμφισβητήσιμον ἔχοντι προστίθενται, τὸν [3] ἀσαφέςερον ἐκσαντες· ἔτως ἐνταῦθα τὴν ἀπροφάσιςον καὶ γνώριμον τέλος [4] ἄγεσαν ὁμολογίαν, βεβαιοτέραν χρὴ καὶ κυριωτέραν νομίζειν. ὃ δὲ μέγιςόν ἐςιν, αὐτὸς ὁ δοκῶν κρατεῖν, ἐκ ἀποςὰς φυγόντος, ἐδὲ παυσάμενος, ἀλλὰ πανταχόσε φοιτῶν ἀν' ὅμιλον [5].

Εἴπε ἐσαθρήσειεν Ἀλέξανδρον θεοειδέα,

μεμαρτύρηκεν, ἄκυρον εἶναι καὶ ἀτελῆ νίκην ἐκείνε· διαπεφευγότος ἐν ἐκ ἠμνημόνει [6] τῶν ὑπ' αὐτῦ εἰρημένων·

Ἡμέων δ' ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται,
Τεθναίη, ἄλλοι δὲ διακρινθεῖτε τάχιςα.

διὸ ζητεῖν μὲν ἀναγκαῖον ἦν αὐτῷ τὸν Ἀλέξανδρον, ὅπως ἀποκτείνας συντελέσῃ τὸ τῦ ἀγῶνος ἔργον· μὴ κτείνας δὲ, μηδὲ λαβὼν, ἐ δικαίως ἀπήτει τὸ νικητήριον.

1 Ald. μηδέν τι νομικόν. Turn. Bong. μηδὲ δι' ἀντινομικῦ.

2 Ita Xyl. & H. Steph. legendum monuerunt, & e Turn. & V. notatur, dedique, W. probante, pro vulg. ἀλλ' ἔχοντι δ' εἰπεῖν.

3 Malim τό, ut de re, non de homine intelligatur. Ita quidem Xyl. & Kaltw. vertendo exprimunt.

4 Ald. Bas. τέλεε.

5 Ald. uno vocabulo ἀνόμιλον. Iliad. III, 450. & paulo post v. 101. & infra v. 365 sqq.

6 W. legendum censet νίκην, ἐκείνε διαπεφευγότος, ἐδ' ἠμνημόνει. Ab Ald. & Bas. abest ἐκ. E Turn. & V. notatur ἐκ ἠμνημόνει γάρ.

ριον. ἐδὲ γὰρ ἐνίκησεν, εἰ δεῖ τεκμήρασθαι τοῖς ὑπ' αὐτῷ λεγομένοις, ἐγκαλῶντος τῷ Διῒ, καὶ τὰς ἀποτεύξεις ὀδυρομένε·

Ζεῦ πάτερ, ἔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος·
Ἦ τ' ἐφάμην τίσασθαι Ἀλέξανδρον κακότητος,
Νῦν δέ μοι ἐν χείρεσσιν ἄγη [1] ξίφος, ἐκ δέ μοι ἔγχος
Ἠΐχθη παλάμηφιν ἐτώσιον, ἐδ' ἔβαλόν μιν.

αὐτὸς γὰρ ὁμολογεῖ, μηδὲν εἶναι τὸ διακόψαι τὸ ἀσπίδιον, καὶ λαβεῖν ἀπορρυὲν τὸ κράνος, εἰ μὴ βάλοι μηδ' ἀποκτείνειε τὸν πολέμιον.

## QUAESTIO XIV.

### Quaedam de numero Musarum haud vulgariter disputata [2].

Ἐκ τέτε σπονδὰς ἐποιησάμεθα ταῖς Μέσαις, καὶ τῷ Μεσηγέτῃ Ἀπόλλωνι παιανίσαντες, συνῄσαμεν τῷ Ἐράτωνι πρὸς τὴν λύραν ἐκ τῶν Ἡσιόδε τὰ περὶ τὴν τῶν Μεσῶν γένεσιν. μετὰ δὲ τὴν ᾠδὴν Ἡρώδης, ὁ ῥήτωρ· Ἀκέετε [3] (ἔφη) ὑμεῖς, οἱ τὴν Καλλιόπην ἀποσπῶντες ἡμῶν, σὺν τοῖς βασιλεῦσιν αὐτὴν παρεῖναί φασιν, ἐκ ἀναλύεσι [4] δήπε συλλογισμὲς, ἐδ' ἐρωτῶσι μεγάλα εἰπόντας [5], ἀλλὰ ταῦτα πρ.ια-

1 Ald. ἄγει; Bas. ἄργει. Apud Hom. ἐν χείρεσσ' ἐάγη.

2 Vulgo problemata haec continuata leguntur. Xyl. desideravit indicem capitis decimi quarti. Disjungendo secutus sum W. Personae colloquii sunt Herodes, Ammonius, Lamprias, Tryphon, Dionysius, Menephyllus, Plutarchus.

3 Ald. ἀκέειν.

4 Ald. Bas. ἀναλογέσι. Xyl. correxit.

5 Xyl. monente, μεγάλα εἰπεῖν ad dialecticos non quadrat. Etiam W. censet mendosum & corrigendum μεταλλάττοντας, idque pro genere sophismatis accipiendum.

πράττουσιν, ἃ ῥητόρων ἐστὶ καὶ πολιτικῶν ἔργα. τῶν δ' ἄλλων ἥ τε Κλειὼ τὸ ἐγκωμιαστικὸν προσάγεται· κλέα γὰρ ἐκάλουν τοὺς ἐπαίνους· ἥ τε Πολύμνια τὸ ἱστορικόν· ἔστι γὰρ μνήμη πολλῶν· ἐνιαχοῦ δὲ καὶ πάσας, ὥσπερ ἐν λείῳ [1], τὰς Μούσας μνείας καλεῖσθαι λέγουσιν. ἐγὼ δὲ μεταποιοῦμαί τι καὶ τῆς Τερψιχόρης [2]. εἴπερ (ὥς φησι Χρύσιππος) αὐτὴ τὸ [3] περὶ τὰς ὁμιλίας ἐπιτερπὲς εἴληχε καὶ κεχαρισμένον· ὁμιλητικὸς γὰρ [4] οὐδὲν ἧττον ἢ δικανικὸς ὁ ῥήτωρ καὶ συμβουλευτικός· αἱ γὰρ ἕξεις ἔχουσι καὶ εὐμενείας [5] καὶ συνηγορίας καὶ ἀπολογίας· πλείστῳ δὲ τῷ ἐπαινεῖν χρώμεθα καὶ τῷ ψέγειν, ἐν τούτοις οὐ [6] φαύλων οὐδὲ μικρῶν τυγχάνοντες, ἂν τεχνικῶς τοῦτο πράττωμεν· ἂν δ' ἀπείρως καὶ ἀτέχνως, ἀστοχοῦντες· τὸ γάρ·

Ὦ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν
Ἀνθρώποις —

δὲ μᾶλλον [7], ὡς τὸ περὶ τὰς ὁμιλίας εὐάρμοστον ἔχουσι, πειθὼ καὶ χάριν οἶμαι προσήκειν.

II. Καὶ ὁ Ἀμμώνιος· Οὐκ ἄξιον (ἔφη) σοι νεμεσᾷν, ὦ Ἡρώδη. καὶ π * χειρὶ [8] τῶν Μουσῶν ἐπιδρατ-

1 Quid hoc valeat, quaerit Xyl. locumque in versione asterisco notat. Amiot. & Mez. nomen proprium loci esse putant.

2 In Ald. est τερπῆς: pro quo Bas. reposuit Εὐτέρπης. H. Steph. se e vet. cod. sumsisse Τερψιχόρης notat. Kaltw. tuetur lectionem Bas. ed.

3 Dedi sic e Turn. Idem W. suspicatur. Vulgo αὐτή τι.

4 Ald. καὶ κεχαρισμένον ὁμιλητήν. καὶ γάρ. Bas. ὁμιλικὸς pro ὁμιλητικός.

5 W. susp. λέξεις ἔχουσι καὶ συμβουλίας.

6 abest οὐ ab Ald.

7 Locum mutilum Xyl. asterisco notavit. W. eum ita supplendum censet οὐ βασιλεῦσι, ῥήτορσι δὲ μᾶλλον — ἔχουσι καὶ πειθὼ — *non adeo regibus quam oratoribus magis, ut qui in colloquiis concinnitatem habeant cum persuadendi facultate & venustate, arbitror convenire.* Cf. Odyss. X, 38.

8 Cum W. reliqui hoc vulgatum. Eo teste caeteri fere omnes

δραττομένῳ· κοινὰ γὰρ τὰ φίλων. καὶ διὰ τοῦτο πολλὰς ἐγέννησε Μούσας ὁ Ζεὺς, ὅπως ᾗ πᾶσιν ἀρύσασθαι τῶν καλῶν ἀφθόνως· οὔτε γὰρ κυνηγίας πάντες, οὔτε στρατείας, οὔτε ναυτιλίας, οὔτε βαναυσουργίας, παιδείας δὲ καὶ λόγου δεόμεθα πάντες,

Εὐρυεδοῦς ὅσοι καρπὸν αἰνύμεθα χθονός [1].

ὅθεν Ἀθηνᾶν μίαν καὶ Ἄρτεμιν, καὶ Ἥφαιστον ἕνα, Μούσας δὲ πολλὰς ἐποίησεν. ὅτι δ' ἐννέα [2], καὶ οὐκ ἐλάττους, οὐδὲ πλείους, ἄρα ἡμῖν φράσειας· οἶμαι δέ σε πεφροντικέναι φιλόμουσον οὕτω καὶ πολύμουσον ὄντα. τί δὲ τοῦτο σοφόν; (εἶπεν ὁ Ἡρώδης) πᾶσι γὰρ διὰ στόματός ἐστι καὶ πᾶσιν [3] ὑμνούμενος τῆς ἐννεάδος ἀριθμὸς, ὡς πρῶτος ἀπὸ πρώτου περισσοῦ τετράγωνος ὢν, καὶ περισσάκις περισσὸς, οὔτε δὴ τὴν διανομὴν εἰς τρεῖς ἴσους λαμβάνων περισσούς. καὶ ὁ Ἀμμώνιος ἐπιμειδιάσας· Ἀνδρικῶς ταυτὶ διεμνημόνευσας· καὶ πρόσθες αὐτοῖς ἔτι τοσοῦτον, τὸν ἀριθμὸν ἐκ δυεῖν τῶν πρώτων συνηρμόσθαι κύβων [4], μονάδος καὶ ὀγδοάδος, καὶ καθ' ἑτέραν οὖν αὖ πάλιν σύνθεσιν ἐκ δυεῖν τριγώνων, τριάδος καὶ ἑξάδος, ὧν ἑκάτερος καὶ τέλειός [5] ἐστιν. ἀλλὰ τί



omnes idem habent: Palat. aliter nec minus vitiose καὶ καίειν χειρί: Turn. V. Anon. non fatis certa auctoritate καίπερ ἀπρὶξ χειρί. W. fufp. καίπερ ἀμφοτέρᾳ τῇ χειρί. Cum eodem dedi deinde ἐπιδραττομένῳ pro vulg. ἐπιδραττομένων, e Turn. Palat. Amiot. Mez.

1 Verfus Simonidis, laudatus quoque a Platone, Opp. Vol. III. p. 159. ed. Bip. Ald. & Baf. ἀνύμεθα; Turn. V. ἀρνύμεθα.

2 His verbis vulgo initium fit Probl. XIV. Cum Xyl. W. Kaltw. continuavi.

3 πᾶσιν Steph. recepit, W. tefte, ab Amiot. Turn. Leonic. Schott. ceteris omnibus libris habentibus πάσαις, quod W. fe haud fcire an verum fit, notat. Mez. deinde corrigit ὁ τῆς ἐν. addito articulo.

4 Recepi vocem κύβων, ipfa re poftulante, cum W. e Xyl. mente, cui Amiot. & Mez. favent. Ab omnibus ceteris abeft.

5 Sic cum W. dedi e Baf. Xyl. Amiot. Mez. Vulgo ἑξάδος ὧν, ἑκάτερος, καὶ τ. ἐ. In Frft. & R. vitiofius ἑκάτερος.

τί ταῦτα ταῖς Μούσαις μᾶλλον ἢ τοῖς ἄλλοις θεοῖς προσῆκεν, ὅτι Μούσας ἔχομεν ἐννέα, Δήμητρας δὲ καὶ Ἀθηνᾶς καὶ Ἀρτέμιδας οὐκ ἔχομεν; οὐ γὰρ δήπου καί σε πείθει τὸ Μούσας γεγονέναι τοσαύτας, ὅτι τοὔνομα τῆς μητρὸς αὐτῶν ἐκ τοσούτων γραμμάτων ἐστίν. γελάσαντος δὲ τοῦ Ἡρώδου, καὶ σιωπῆς γενομένης, προὔτρεπεν ἡμᾶς ἐπιχειρεῖν ὁ Ἀμμώνιος.

III. Εἶπεν οὖν ὁ ἀδελφὸς, ὅτι τρεῖς ᾔδεσαν οἱ παλαιοὶ Μούσας· καὶ τοῦτο λέγειν ἀπόδειξιν, ὀψιμαθές ἐστι καὶ ἄγροικον ἐν τοσούτοις καὶ τοιούτοις ἀνδράσιν. αἰτία δ' οὐχ, ὡς ἔνιοι λέγουσι, τὰ μελῳδούμενα γένη, τὸ διάτονον, καὶ τὸ χρωματικὸν, καὶ τὸ ἐναρμόνιον· οὐδ' οἱ τὰ διαστήματα παρέχοντες ὅροι, νήτη, καὶ μέση, καὶ ὑπάτη· καίτοι Δελφοί γε τὰς Μούσας οὕτως ὠνόμαζον, οὐκ ὀρθῶς ἐνὶ [1] μαθήματι, μᾶλλον δὲ μορίῳ μαθήματος ἑνὸς τοῦ μουσικοῦ τῷ ἁρμονικῷ [2] προστιθέντες. ἁπάσας δὲ (ὡς ἐγὼ νομίζω) τὰς διὰ λόγου περαινομένας ἐπιστήμας καὶ τέχνας οἱ παλαιοὶ καταμαθόντες ἐν τρισὶ γένεσιν οὔσας, τῷ φιλοσόφῳ, καὶ τῷ ῥητορικῷ, καὶ τῷ μαθηματικῷ, τριῶν ἐποιοῦντο δῶρα καὶ χάριτας θεῶν, καὶ τρεῖς [3] τὰς Μούσας ὠνόμαζον. ὕστερον δὲ καὶ καθ' Ἡσίοδον ἤδη μᾶλλον ἐκκαλυπτομένων [4] τῶν δυνάμεων, διαιροῦντες εἰς μέρη καὶ εἴδη, τρεῖς πάλιν ἑκάστην ἔχουσαν ἐν αὐτῇ διαφορὰς ἑώρων· ἐν μὲν [5] τῷ μαθηματικῷ τὸ περὶ τὴν μουσικήν ἐστι,

καὶ

1 Ita Xyl. vertit, & est in Leonic. Schott. Anon. Amiot. Mez. dedique cum W. pro vulg. ἐν μαθήμ.

2 Ald. corrupte τῷ γὰρ μονικῷ. Hoc corrigere voluisse videtur Turn. e quo affertur τῷ γ' ἁρμονικῷ.

3 absunt καὶ τρεῖς ab Ald. & Bas. Pro τὰς deinde Bas. ἃς. E Turn. & V. affertur vulgata.

4 Ald. Bas. ἐκκαμπτομένων; nec non τῶν δυναμένων: unde Xyl. scribendum monet τῶν δυνάμεων.

5 W. legendum censet ἑώρων· ὧν ἐν μ. — Deinde pro vulgato τὰ περὶ τ. μ. restitui cum W. ex Ald. Bas. Mez. τὸ περὶ. Amiot. & Mez. delent ἐστι.

καὶ τὸ περὶ ἀριθμητικὴν [1], καὶ τὸ περὶ γεωμετρίαν· ἐν δὲ τῷ φιλοσόφῳ τὸ λογικὸν, καὶ τὸ ἠθικὸν, καὶ τὸ φυσικόν· ἐν δὲ τῷ ῥητορικῷ τὸ ἐγκωμιαςικὸν πρῶτον γεγονέναι λέγουσι, δεύτερον δὲ τὸ συμβουλευτικὸν, ἔσχατον δὲ τὸ δικανικόν. ὧν μηδὲν ἄθεον μηδ' ἄμουσον εἶναι, μηδ' ἄμοιρον ἀρχῆς κρείττονος καὶ ἡγεμονίας ἀξιοῦντες, εἰκότως ἰσαρίθμους τὰς Μούσας οὐκ ἐποίησαν, ἀλλ' οὔσας ἀνεῦρον. ὥσπερ οὖν τὰ ἐννέα διαίρεσιν εἰς τρεῖς λαμβάνει τριάδας, ὧν ἑκάςη πάλιν εἰς μονάδας διαιρεῖται τοσαύτας· οὕτως ἓν μέν ἐςι καὶ κοινὸν, ἡ τοῦ λόγου περὶ τὸ κύριον ὀρθότης, νενέμηται δ' εἰς τρεῖς [2] τῶν τριῶν γενῶν ἕκαςον· εἶτα πάλιν αὖ μοναδικῶς ἑκάςη μίαν περιέπει λαχοῦσα, καὶ κοσμεῖ δύναμιν. οὐ γὰρ οἶμαι τοὺς ποιηματικοὺς καὶ τοὺς ἀςρολογικοὺς ἐγκαλεῖν ἡμῖν, ὡς παραλείπουσι [3] τὰς τέχνας αὐτῶν, εἰδότας οὐδὲν ἧττον ἡμῶν, ἀςρολογίαν γεωμετρίᾳ, ποιητικὴν δὲ μουσικῇ συννεμομένην.

IV. Ὡς δὲ ταῦτ' ἐῤῥέθη, τοῦ ἰατροῦ Τρύφωνος εἰπόντος· Τῇ δὲ ἡμετέρᾳ [4] τέχνῃ τί παθὼν τὸ μουσεῖον ἀποκέκλεικας; ὑπολαβὼν Διονύσιος ὁ Μελιτεύς· Πολλοὺς (ἔφη) συμπαρακαλεῖς [5] ἐπὶ τὴν κατηγορίαν· καὶ γὰρ ἡμεῖς οἱ γεωργοὶ τὴν Θαλίαν οἰκειούμεθα, φυ-

 τῶν

1 Ald. Bas. γραμματικήν. Xyl. correxit.

2 Bas. vitiose νενέμνηται δὲ συντρεῖς. Hinc Xyl. scribendum monet νενέμηται εἰς τρεῖς. Ald. quoque νενέμηνται. Turn. V. νενέμηται δὲ συντρεῖς. W. restituit νενέμηνται, haec adnotans: „Primum (νενέμηνται) omnes habent libri excepto Steph. νενέμηται. Complura exciderunt: non solum ea quae ex Amiot. supplet Mez. νενέμηται δὲ εἰς (τρία γένη καὶ εἰς δυνάμεις) τρεῖς τῶν τριῶν γ. ἕ. &c. sed alia deinceps desiderantur, quibus comparatio Musis accommodatur: quo tendit Xylandri interpretatio."

3 Ald. παραλειπόντας.

4 Ald. ἑτέρᾳ.

5 Ita Xyl. vertit, & consentiunt Amiot. & Mez. deinque W. probante, pro vulg. συμπαρακαλεῖ.

τῶν καὶ σπερμάτων εὐθαλέντων [1] καὶ βλαςανόντων ἐπιμέλειαν αὐτῇ καὶ σωτηρίαν ἀποδιδόντες. Ἀλλ' ὀ δίκαια (ἔφην ἐγὼ) ποιεῖτε· καὶ γὰρ ὑμῖν ἐςι Δημήτηρ ἀνησιδώρα [2], καὶ

Διόνυσος δενδρέων νόμον πολυγαθὴς [3] αὐξάνων ἁγνὸν
Φέγγος ὀπώρας,

ὡς Πίνδαρός Φησι· καὶ τὲς ἰατρὲς Ἀσκληπιὸν ἔχοντας ἴσμεν ἡγεμόνα, καὶ Ἀπόλλωνι Παιᾶνι χρωμένες πάντα, μεσηγέτη μηθέν. πάντες γὰρ ἄνθρωποι θεῶν χατέεσι [4], καθ' Ὅμηρον, ὀ πάντες δὲ πάντων. ἀλλ' ἐκεῖνο θαυμάζω, πῶς ἔλαθε Λαμπρίαν τὸ λεγόμενον ὑπὸ Δελφῶν. λέγεσι γὰρ, ὀ φθόγγων ἐδὲ χορδῶν ἐπωνύμες γεγονέναι τὰς Μέσας παρ' αὐτοῖς· ἀλλὰ τῦ κόσμε τριχῇ πάντα νενεμημένε [5], πρώτην μὲν εἶναι τὴν τῶν ἀπλανῶν μερίδα, δευτέραν δὲ τὴν τῶν πλανωμένων, ἐσχάτην δὲ τὴν τῶν ὑπὸ σελήνην· συνηρτῆσθαι δὲ πάσας καὶ συντετάχθαι κατὰ λόγες ἐναρμονίες, ὧν ἑκάςης Φύλακα Μεσαν εἶναι, τῆς μὲν πρώτης ὑπάτην, τῆς δ' ἐσχάτης νεάτην [6], μέσην δὲ, τὴν μεταξὺ συνέχεσαν ἅμα καὶ συνεπιςρέφεσαν, ὡς ἐνυςόν ἐςι [7], τὰ θνητὰ τοῖς θεοῖς, καὶ τὰ περίγεια τοῖς ἐρανίοις. ὡς καὶ Πλάτων ᾐνίξατο τοῖς τῶν Μοιρῶν ὀνόμασι, τὴν μὲν Ἄτροπον, τὴν δὲ Λάχεσιν, τὴν δὲ Κλωθὼ [8] προσαγο-

1 Turn. εὐθαλόντων.

2 Xyl. maluit fcribi Ἀνυσίδωρα, quam Ἀνησ. addens tamen, ita etiam legi in Atticis Paufaniae.

3 Ald. Baf. πολυθὴς; Turn. V. πολυγηθὴς vel πολυθαλὴς. Cf. Vol. IX. p. 150. l. ult. not. 5.

4 Baf. κατέχεσι. Xyl. ex Hom. Odyfs. III. 48. reponendum monuit χατέεσι. Turn. V. θεὸν, vel θεῶν τινα ἔχεσι.

5 Turn. V. πάντων νενεμημένων.

6 E cod. innominato affertur lectio νήτην.

7 Ald. ὡς ἂν ὑςερός ἐςι; Baf. ὡς ἂν τὴν ὑςεραί ἐςιν. Xyl. correxit.

8 ab Ald. & Baf. abfunt τὴν δὲ Κλωθώ.

αγορεύσας· ἐπεὶ ταῖς γε τῶν ὀκ]ὼ σφαιρῶν περιφοραῖς Σειρῆνας, ἐ Μέσας, ἰσαρίθμες ἐπέςησεν [1].

V. Ὑπολαβὼν δὲ Μενέφυλλος ὁ Περιπατητικός· Τὰ μὲν Δελφῶν (εἶπεν) ἄλλως γέ πως μετέχει πιθανότητος· ὁ δὲ Πλάτων ἄτοπος, ταῖς μὲν ἀϊδίοις καὶ θείοις περιφοραῖς ἀντὶ τῶν Μεσῶν τὰς Σειρῆνας ἐνιδρύων, ἐ πάνυ φιλανθρώπες, ἐδὲ χρηςὰς [2] δαίμονας· τὰς δὲ Μέσας ἢ παραλείπων παντάπασιν, ἢ τοῖς τῶν Μοιρῶν ὀνόμασι προσαγορεύων, καὶ καλῶν θυγατέρας Ἀνάγκης. ἄμεσον γὰρ ἡ Ἀνάγκη, μεσικὸν δὲ ἡ Πειθὼ, καὶ Μέσαις φιλοδαμῦσα [3] πολὺ μᾶλλον (οἶμαι) τῆς Ἐμπεδοκλέες χάριτος, συγέει δύστλητον ἀνάγκην.

VI. Πάνυ μὲν ἔν (ὁ Ἀμμώνιος ἔφη) τὴν ἐν ἡμῖν ἀκέσιον αἰτίαν καὶ ἀπροαίρετον· ἡ δ' ἐν θεοῖς ἀνάγκη δύστλητος ἐκ ἔςιν, ἐδὲ δυσπειθὴς, ἐδὲ βιαία, πλὴν τοῖς κακοῖς, ὡς ἐςι νόμος ἐν πόλει [4] τοῖς βελτίςοις τὸ βέλτιςον αὐτῆς [5], καὶ ἀπαράτρεπ]ον καὶ ἀπαράβατον, ἐ τῷ μὲν ἀδυνάτῳ, τῷ δ' ἀβελήτῳ τῆς

Dd 4 μετα-

1 Ita Xyl. legendum monuit pro vulg. ἐπέςησαν, ut redeat ad Platonem. Cf. de republ. L. X. p. 328. fqq. W. idem dedit, nulla adnotatione fubjuncta.

2 Recepi, quod W. e Palat. affert. Vulgo χρηςὲς.

3 W. fufp. hujusmodi fuiffe Empedoclis dictum Μέσαις Ἐμφιλοδαμῦσα συγέει δύστλητον ἀνάγκην. Pro φιλοδ. e Turn. affertur φίλε διὸ μῦσα. Inde Kaltw. fuam fumfiffe videtur conjecturam: Μέσαις φίλον· διὸ Μῦσα — *und den Mufen lieb und angenehm: und deßwegen pflegt die Muſe, glaube ich, noch mehr als die Grazie beym Empedocles, die unleidliche Nothwendigkeit zu haſſen.*

4 Turn. ἐν πολίταις.

5 Secutus fum W. αὐτῆς, fc. πόλεως, e Palat. dantem pro vulg. αὐτοῖς. Inferui ex ejusdem mente fequens καὶ, quod vulgo abeft. Deleri deinde voluit μὲν poft ἐ τῷ. A Baf. abeft ἐ — *ficut lex in civitate ab optimis civibus optimum habetur & immutabile & ineluctabile, non quia mutare eam non poffunt, fed quia nolunt.*

μεταβολῆς. αἵ γε μὲν δὴ [1] Ὁμήρου Σειρῆνες οὐ κατὰ λόγον ἡμᾶς τῷ μύθῳ φοβοῦσιν, ἀλλὰ κἀκεῖνος ὀρθῶς ᾐνίττετο [2] τὴν τῆς μουσικῆς αὐτῶν δύναμιν οὐκ ἀπάνθρωπον οὐδ' ὀλέθριον οὖσαν, ἀλλὰ ταῖς ἐντεῦθεν ἀπιούσαις ἐκεῖ ψυχαῖς (ὡς ἔοικε) καὶ πλανωμέναις μετὰ τὴν τελευτὴν ἔρωτα πρὸς τὰ οὐράνια καὶ θεῖα, λήθην δὲ τῶν θνητῶν, ἐμποιοῦσαν κατέχειν καὶ κατᾴδειν [3] θελγομένας· αἱ δὲ ὑπὸ χαρᾶς ἕπονται καὶ συμπεριπολοῦσιν. ἐνταῦθα δὲ πρὸς ἡμᾶς ἀμυδρά τις οἷον ἠχὼ τῆς μουσικῆς ἐκείνης ἐξικνουμένη, διὰ λόγων ἐκκαλεῖται [4] καὶ ἀναμιμνήσκει τὰς ψυχὰς τῶν τότε μὲν πλεῖστον περιαλήλιπται καὶ καταπέπλασται σαρκίνοις ἐμφράγμασι καὶ πάθεσιν οὐ κρινοῖς· ἡ δὲ δι' εὐφυΐαν αἰσθάνεται, καὶ μνημονεύει [5], καὶ τῶν ἐμμανεστάτων ἐρώτων οὐδὲν ἀποδεῖ τὸ πάθος αὐτῆς, γλιχομένης καὶ ποθούσης, λῦ-

σαι

1 Bas. αἱ δὲ Ὁμ. Ald. vitiose ἄγομεν δὲ. Ricard. pro Ὁμήρου legi vult & vertit Πλάτωνος. Kaltw. tuetur vulgatam ex Hom. Odyss. XII, 41. sqq.

2 Ald. ἠνίατο; Bas. ᾐνίξατο; V. ἠνίπτετο.

3 Secutus sum W. ita e Leonic. dantem pro vulg. ἐμποιοῦσα κατέχει καὶ κατᾴδει.

4 Ita W. e Palat. sumsit pro vulg. ἐγκαλεῖται. Eo teste, locus valde corruptus. Vulgo καὶ ἀναμ. τ. ψυχὰς, ὧν τότε μὲν πλ. Cum W. restitui τῶν τότε ex Ald. Bas. Xyl. Palat. Vat. In Bas. & Xyl. post τῶν τότε legitur ὧν πλεῖστον. Inde W. hanc proponit corrigendi rationem: τὰς ψυχὰς τῶν τότε· τὰ δ' ὦτα τῶν μὲν πλείστων περιαλ. κ. κ. σ. ἐ. κ. π. οὐ κηρινοῖς — & vertit: *nam huc ad nos obscura quaedam veluti echo Musicae illius perveniens, rationibus excitat & admonet animas earum rerum, quas illic quondam perceperunt. Et plurimae quidem animae, quia circumlitas & obstructas habent aures, non quidem cereis, sed carneis sepimentis & affectionibus, non exaudiunt illum cantum.* Pro οὐ κηρινοῖς quosdam reponendum putasse οὐκ εἰλικρινέσιν, testatur H. Steph. nec probat. Turn. V. καὶ πάθεσιν εἰλικρινέσιν, sine οὐκ.

5 Ita in R. legitur, quod W. ex Ald. Bas. Xyl. Palat. Vatic. Venet. sumsit pro vulg. μνημονεύειν.

σαί τε [1] μὴ δυναμένης ἑαυτὴν ἀπὸ τοῦ σώματος. οὐ μὴν ἔγωγε παντάπασι συμφέρομαι τούτοις· ἀλλά μοι δοκεῖ Πλάτων ὡς ἀτράκτους καὶ ἠλακάτας, τοὺς ἄξονας, σφονδύλους δὲ τοὺς ἀστέρας, ἐξηλλαγμένως ἐνταῦθα καὶ τὰς Μούσας Σειρῆνας ὀνομάζει, ἐρεούσας [2] τὰ θεῖα καὶ λεγούσας ἐν ᾅδου, καθάπερ Σοφοκλέους Ὀδυσσεὺς φησὶ

Σειρῆνας εἰσαφικέσθαι
Φόρκου κόρας αἴθροῦντος [3] τοὺς ᾅδου νόμους.

Μοῦσαι δέ εἰσιν ὀκτὼ σφαίραις, μία δὲ τὸν περὶ γῆν εἴληχε τόπον. αἱ μὲν οὖν ὀκτὼ περιόδοις ἐφεστῶσαι τὴν τῶν πλανωμένων ἄστρων πρὸς τὰ ἀπλανῆ καὶ πρὸς ἄλληλα [4] συνέχουσι καὶ διασώζουσιν ἁρμονίαν· μία δὲ τὸν μεταξὺ γῆς καὶ σελήνης τόπον ἐπισκοποῦσα καὶ περιπολοῦσα τοῖς θνητοῖς, ὅσον αἰθάνεσθαι καὶ δέχεσθαι πέφυκε, χαρίτων καὶ ῥυθμοῦ καὶ ἁρμονίας ἐνδίδωσι, διὰ λόγου καὶ ᾠδῆς πειθὼ πολιτικῆς καὶ κοινωνητικῆς συνεργὸν ἐπάγουσα παραμυθουμένην καὶ κηλοῦσαν ἡμῶν τὸ ταραχῶδες, καὶ τὸ πλανώμενον ὥσπερ ἐξ ἀνοδίας ἀνακαλουμένην ἐπιεικῶς καὶ καθιστᾶσαν [5].

Ὅσσα δὲ μὴ [6] πεφίληκε
Ζεύς, ἀτύζονται βοὰν
Πιερίδων ἀΐοντα,

κατὰ Πίνδαρον.

 VII.

1 Mez. λῦσαι δέ.

2 Turn. V. ἀθρούσας.

3 Distinxi cum W. secundum [Xylandrum]. In αἰθροῦντος libros variare, notat W. — αἱ θροῦντο Leonic. liber vetus Mez. ἀθρῶντος Turn (e quo simul αἰθροῦντο affertur) V. Anon. ἀ θροῦντος Palat. ἀθρούσας item Anon. Addit, eodem jure potuisse corrigi ἀθρεῖν.

4 Ita e Turn. dedi duobus vocabulis cum W. pro lectione omnibus libris communi προσάλληλα.

5 Ita W. dedit e Mez. pro vulg. καθιστᾶσα.

6 Dedi haec, qualia leguntur in Pindar. Pyth. I. v. 25 sqq. Vulgo ὅσα δὲ μηδέ. Etiam e Turn. notatur μὴ pro μηδέ.

VII. Τούτοις ἐπιφωνήσαντος τοῦ Ἀμμωνίου τὰ τοῦ Ξενοφάνους, ὥσπερ εἰώθει·

Ταῦτα δεδοξάσθαι μὲν ἐοικότα τοῖς ἐτύμοισι [1].

καὶ παρακαλοῦντος ἀποφαίνεσθαι καὶ λέγειν τὸ δοκοῦν ἕκαστον, ἐγὼ μικρὸν διασιωπήσας ἔφην, ὅτι καὶ Πλάτων αὐτὸς ὥσπερ ἴχνεσι τοῖς ὀνόμασι τῶν θεῶν ἀνευρίσκειν οἴεται τὰς δυνάμεις· καὶ ἡμεῖς ὁμοίως μὲν τιθῶμεν ἐν οὐρανῷ καὶ περὶ τὰ οὐράνια μίαν τῶν Μουσῶν, ἣ Οὐρανία φαίνεται· καὶ εἰκὸς ἐκεῖνα μὴ πολλῆς μηδὲ ποικίλης κυβερνήσεως δεῖσθαι, μίαν ἔχοντα καὶ ἁπλῆν αἴτιον [2] φύσιν· ὅπου δὲ πολλαὶ πλημμέλειαι, πολλαὶ δ' ἀμετρίαι καὶ παραβάσεις, ἐνταῦθα τὰς ὀκτὼ μετοικιστέον, ἄλλην ἄλλο κακίας καὶ ἀναρμοστίας εἶδος ἐπανορθουμένας [3]. ἐπεὶ δὲ τοῦ βίου τὸ μὲν σπουδῇ, τὸ δὲ παιδιᾷ [4] μέρος ἐστὶ, καὶ δεῖται τοῦ μουσικῶς καὶ μετρίως, τὸ μὲν σπουδάζον ἡμῶν ἥ τε Καλλιόπη, καὶ ἡ Κλειὼ, καὶ ἡ Θαλία τῆς περὶ θεοὺς ἐπιστήμης καὶ θέας ἡγεμὼν οὖσα, δόξουσιν ἐπιστρέφειν καὶ συγκατορθοῦν· αἱ δὲ λοιπαὶ τὸ μεταβάλλον ἐφ' ἡδονὴν καὶ παιδιὰν, ὑπ' ἀσθενείας μὴ περιορᾶν ἀνιέμενον ἀκολάστως καὶ θηριωδῶς, ἀλλ' ὀρχήσει καὶ ᾠδῇ καὶ χορείᾳ ῥυθμὸν ἐχούσῃ, καὶ ἁρμονίᾳ καὶ λόγῳ κεραννύμενον, εὐσχημόνως καὶ κοσμίως ἐκδέχεσθαι καὶ παραπέμπειν. ἐγὼ μέντοι, τοῦ Πλάτωνος ἐν ἑκάστῳ δύο πράξεων ἀπολείποντος ἀρχὰς, τὴν μὲν, ἔμφυτον ἐπιθυμίαν ἡδονῶν, τὴν δὲ, ἐπείσακτον δόξαν ἐφιεμένην τοῦ ἀρίστου, καὶ τὸ μὲν λόγον, τὸ δὲ πάθος ἔστιν ὅτε καλοῦντος, ἑτέρας δ' αὖ πάλιν τούτων ἑκατέρου διαφορὰς ἔχοντος [5], ἑκάστην ὁρῶ μεγάλης καὶ θείας

1 Ald. Bas. ἐτοίμοισι. Xyl. correxit.
2 Turn. V. αἰτίαν. W. cum Mez. susp. ἀΐδιον.
3 Turn. V. ἐπανορθουμένης.
4 Malim cum Mez. τὸ μὲν σπουδῇ, τὸ δὲ παιδιᾷ.
5 Dedi διαφορὰς e W. ubi ita legitur pro vulg. διαφορὰν nulla subjuncta adnotatione. Pro ἔχοντος in R. fuit ἔχοντες; Bas. ἔχοντας; Turn. V. ἔχοντα.

θείας ὡς ἀληθῶς παιδαγωγίας δεομένην. αὐτίκα, τȣ͂ λόγȣ τὸ μέν ἐϛι πολιτικὸν ϗ βασιλικὸν, ἐφ' ᾧ τὴν Καλλιόπην τετάχθαι φησὶν ὁ Ἡσίοδος [1]. τὸ φιλότιμον δὲ ἡ Κλειὼ μάλιϛα κυδαίνειν καὶ συνεπιγαυρȣ͂ν εἴληχεν. ἡ δὲ Πολύμνια τȣ͂ φιλομαθȣ͂ς ἐϛι καὶ μνημονικȣ͂ τῆς ψυχῆς. διὸ ϗ Σικυώνιοι τῶν τριῶν Μȣσῶν [2] μίαν Πολυμάθειαν καλȣ͂σι. Εὐτέρπη δὲ πᾶς ἄν τις [3] ἀποδοίη τὸ θεωρητικὸν τῆς περὶ φύσιν ἀληθείας, ὅτε καθαρωτέρας, ὅτε καλλίȣς ἑτέρῳ γένει παραλιπὼν εὐπαθείας ϗ τέρψεις. τῆς δ' ἐπιθυμίας τὸ μὲν περὶ ἐδωδὴν ϗ πόσιν ἡ Θαλία κοινωνητικὸν ποιεῖ καὶ συμποτικὸν ἐξ ἀπανθρώπȣ καὶ θηριώδȣς. διὸ τȣ̀ς φιλοφρόνως καὶ ἱλαρῶς συνιόντας [4] ἀλλήλοις ἐν οἴνῳ θαλιάζειν λέγομεν, ȣ̓ τȣ̀ς ὑβρίζοντας καὶ παροινȣ͂ντας. ταῖς δὲ περὶ συνȣσίαν σπȣδαῖς [5] ἡ Ἐρατὼ παρȣ͂σα μετὰ πειθȣ͂ς, ὡς [6] λόγον ἐχȣ́σης καὶ καιρὸν, ἐξαίρει καὶ κατασβέννυσι τὸ μαλακὸν [7] τῆς ἡδονῆς καὶ οἰϛρῶδες, εἰς φιλίαν καὶ πίϛιν, ȣ̓χ ὕβριν ȣ̓δ' ἀκολασίαν τελευτώσης. ἡ δὲ τῶν ὀφθαλμῶν [8] ἡδονὴ εἶδος, εἴτε τῷ λόγῳ μᾶλλον εἴτε τῷ πάθει προσῆκον, εἴτε κοινὸν ἀμφοῖν ἐϛιν, αἱ λοιπαὶ δύο, Μελπομένη καὶ Τερψιχόρη, παραλαβȣ͂σαι κοσμȣ͂σιν. ὥϛε τὴν μὲν εὐφροσύνην,

1 Theogon. v. 80.

2 Sic cum W. dedi e Baf. Xyl. Amiot. pro vulg. ἐσῶν. Idem conjecit & vertit Kaftw.

3 Sic cum W. dedi e Baf. & Xyl. pro vulg. πᾶν τις. Ald. Palat. Vatic. Venet. eodem ducunt, πᾶσαν τις exhibendo.

4 W. fufp. συνόντας.

5 Ita Kaltw. legendum cenfuit, nec non W. dedique pro vulg. σπονδαῖς.

6 W. deleri vult ὡς.

7 W. mavult μανικὸν.

8 Xyl. legi vult ἡ δὲ τῶν ὤτων ϗ ὀφθαλμῶν. Etiam Amiot. & Kaltw. ita vertendo fupplent. W. corrigendum fufp. τελευταῖον τὸ δι' ὤτων ὀφθαλμῶν τε ἡδονῆς εἶδος. Ald. εἶδε ϗ ὀφθαλμῶν ἡδονὴν εἶδος; Turn. ἰδὲ pro ἡ δέ.

νην, μὴ κήλησιν, εἶναι, τὸ δὲ μὴ γοητείαν, ἀλλὰ τέρψιν.

## QUAESTIO XV.

Tres esse saltationis partes; Lationem, speciem, ostentationem: tum quid sit unumquodque horum: et quid poëticae cum saltatione sit commune [1]?

Ἐκ τούτου πυραμοῦντος ἐπῆραντουτ * πᾶσι [2] νικητήριον ὀρχήσεως. ἀπεδείχθη δὲ κριτὴς μετὰ Μενίσκου, τοῦ παιδοτρίβου, Λαμπρίας ὁ ἀδελφός· ὠρχήσατο γὰρ πιθανῶς τὴν πυῤῥίχην, καὶ χειρονομῶν ἐν ταῖς παλαίστραις ἐδόκει διαφέρειν τῶν παίδων. ὀρχουμένων δὲ πολλῶν προθυμότερον, ἢ μουσικώτερον, δύο τοὺς εὐδοκίμους καὶ βουλομένους ἀνασώζειν τὴν ἐμμέλειαν ἠξίουν τινὲς ὀρχεῖσθαι φορὰν παρὰ φοράν. ἐπεζήτησεν οὖν ὁ Θρασύβουλος Ἀμμωνίου, τί βούλεται τοὔνομα τῆς φορᾶς, καὶ παρέσχε τῷ Ἀμμωνίῳ περὶ τῶν μερῶν τῆς ὀρχήσεως πλείονα διελθεῖν.

II. Ἔφη δὲ, τρία εἶναι, τὴν φορὰν, καὶ τὸ σχῆμα, καὶ τὴν δεῖξιν. ἡ γὰρ ὄρχησις ἔκ τε κινήσεων καὶ σχέσεων συνέστηκεν, ὡς τὸ μέλος τῶν φθόγγων καὶ τῶν διαστημάτων· ἐνταῦθα δὲ αἱ μοναὶ πέρατα [3] τῶν κινήσεων εἰσί. φορὰς μὲν οὖν τὰς κινήσεις ὀνομάζουσι, σχήματα δὲ σχέσεις καὶ διαθέσεις, εἰς ἃς φερόμεναι τελευτῶ-

1 Personae colloquii sunt Ammonius, Thrasybulus.

2 Codex quidam, cujus nomen reticetur: ἐκ τούτου πυραμοῦντος ἐπῆραν τοῦτο παισί. Haec lectio tribuitur Anon. & Turn. a W. Eo judice, corruptela loci haud facile sananda. Palat. sine lacuna corrupte tamen, πυραμοῦντες ἐπῆραν τοῦτο πᾶσι ν. Mez. ex Amiot. πυραμοῦνται ἐπῆραν· τοῦτο γὰρ παισὶ νικητήριον. W. susp. πυραμοῦντες ἐπήγοντο, τοῖς παισὶ νικητήριον.

3 Sic cum W. dedi e Turn. & V. accedentibus Anon. & Xyl. pro vulg. πέρα.

λευτῶσιν αἱ κινήσεις, ὅταν Ἀπόλλωνος, ἢ Πανὸς, ἤ τινος Βάκχης σχῆμα διαθέντες ἐπὶ τῦ σώματος γραφικῶς τοῖς εἴδεσιν ἐπιμένωσι· τὸ δὲ τρίτον, ἡ δεῖξις, ὂ μιμητικόν ἐςιν, ἀλλὰ δηλωτικὸν ἀληθῶς τῶν ὑποκειμένων. ὡς γὰρ οἱ ποιηταὶ τοῖς κυρίοις ὀνόμασι δεικτικῶς χρῶνται, τὸν Ἀχιλλέα καὶ τὸν Ὀδυσσέα, καὶ τὴν γῆν καὶ τὸν ὐρανὸν ὀνομάζοντες, ὡς ὑπὸ τῶν πολλῶν λέγονται· πρὸς δὲ τὰς ἐμφάσεις καὶ τὰς μιμήσεις καὶ ὀνοματοποιίας χρῶνται καὶ μεταφοραῖς, κελαρύζειν καὶ καχλάζειν τὰ κλώμενα τῶν ῥευμάτων λέγοντες, καὶ τὰ βέλη φέρεσθαι λιλαιόμενα χροὸς ἆσαι· τὴν ἰσόῤῥοπον μάχην, ἴσας ὑσμίνη κεφαλὰς ἔχεν [1]. πολλὰς δὲ καὶ συνθέσεις τῶν ὀνομάτων κατὰ μέλη μιμητικῶς σχηματίζυσιν, ὡς Εὐριπίδης,

Ὁ πετάμενος ἱερὸν ἀνὰ Διὸς αἰθέρα γοργοφόνος·

καὶ περὶ τῦ ἵππυ Πίνδαρος·

Ὅτε παρ' Ἀλφειῷ σύτο δέμας
Ἀκέντητον ἐν δρόμοισι παρέχων.

καὶ Ὅμηρος ἐπὶ τῆς ἱπποδρομίας·

Ἅρματα δ' αὖ χαλκῷ πεπυκασμένα κασσιτέρῳ τε,
Ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον.

ὕτως [2] ἐν ὀρχήσει, τὸ μὲν σχῆμα μιμητικόν ἐςι μορφῆς καὶ ἰδέας, καὶ πάλιν ἡ φορὰ πάθυς τινὸς ἐμφαντικὸν [3], ἢ πράξεως, ἢ δυνάμεως, ταῖς δὲ δείξεσι κυρίως αὐτὰ δηλῦσι τὰ πράγματα, τὴν γῆν, τὸν ὐρανὸν, αὐτὺς

1 Ita W. repofuit ex Ald. Baf. Xyl. Palat. Vatic. Vulgo ἔχον. Mez. καὶ τὴν ἰσόῤῥοπον μάχην ἴσας ὑσμίνη κεφαλὰς ἔχεν. Cf. ad haec Iliad. XI, 812 XXI, 261. Odyff. V, 323. Iliad. XI, 573. XV, 317. XI, 72. Pindar. Olymp. I, 32. Iliad. XXIII, 503. Ad Pindari verfum notantur e Turn. & V. παρ' Ἀλφεῷ, & ex Ald. & Baf. σὺ τὸ pro σύτο, & παρεχόμενοι pro παρέχων.

2 Sic W. dedit e Palat. Vatic. Mez. Vulgo ὖτω.

3 Sic Ald. Baf. Xyl. Venet. dedique cum W. Vulgo ἐμφατικόν.

αὐτὰς τὰς πλησίον· ὃ δὴ τάξει μέν τινι καὶ ἀριθμῷ γινόμενον ἔοικε τοῖς ἐν ποιητικῇ κυρίοις [1] ὀνόμασι μετὰ τινος κόσμου καὶ λειότητος ἐκφερομένοις, ὡς τὰ τοιαῦτα·

Καὶ Θέμιν αἰδοίην, ἑλικοβλέφαρόν τ' Ἀφροδίτην,
Ἥρην τε χρυσοστέφανον, καλήν τε Διώνην [2]. καί·
Ἕλληνος [3] δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες,
Δῶρός τε, Ξοῦθός τε, καὶ Αἴολος ἱππιοχάρμης.

εἰ δὲ μή, τοῖς ἄγαν πεζοῖς καὶ κακομέτροις· ὡς τὰ τοιαῦτα·

Ἐγένοντο, τοῦ μὲν Ἡρακλῆς, τοῦ δὲ Ἴφιτος·
Τῆς δὲ πατὴρ καὶ ἀνὴρ καὶ παῖς βασιλεῖς, καὶ ἀδελφοί,
Καὶ πρόγονοι· κληΐζει δ' Ἑλλὰς Ὀλυμπιάδα.

τοιαῦτα γὰρ ἁμαρτάνεται καὶ περὶ τὴν ὄρχησιν ἐν ταῖς δείξεσιν, ἂν μὴ πιθανότητα μηδὲ χάριν μετ' εὐπρεπείας καὶ ἀφελείας ἔχωσι. καὶ ὅλως, ἔφη, μετάθεσιν [4] τὸ Σιμωνίδειον ἀπὸ τῆς ζωγραφίας ἐπὶ τὴν ὄρχησιν σιωπῶσαν καὶ φθεγγομένην· ὄρχησιν δὲ πάλιν, τὴν ποίησιν [5]. ὅθεν εἶπεν, οὔτε γραφικὴν εἶναι ποιητικῆς, οὔτε ποιητικὴν γραφῆς, οὐδὲ χρῶνται τοπαράπαν ἀλλή-

1 Dedi sic e Turn. & V. pro vulg. κυρίως, Anon. & Mez. adsentientibus. In W. ed. operarum errore eadem haec lectio ad κυρίως, paulo ante obvium, simul translatum fuit; ubi κυρίοις datur, cum nota huc referenda.

2 Hesiod. Theog. 16. Versus, qui proxime sequuntur, unde sint desumti, non patet.

3 Ita W. ex Bas. & Xyl. restituit. Vulgo Ἕλληνες.

4 Xyl. qui locum esse mancum notat, susp. μεταθήσειν. W. judice, insigniter est corruptus, forte ita ad sententiae rationem refingendus: μεταθετέον τὸ Σιμωνίδειον ἀπὸ τῆς ζωγραφίας ἐπὶ τὴν ὄρχησιν, τὴν μὲν ὄρχησιν εἶναι ποίησιν σιωπῶσαν, τὴν δὲ ποίησιν πάλιν ὄρχησιν φθεγγομένην· ὅθεν οὔτε εἰπεῖν ἐστι γραφικῇ μετεῖναι ποιητικῆς, οὔτε ποιητικῇ γραφικῆς. Sensum expresserunt Amiot. & Xyl. & cum iisdem Kaltw.

5 Turn. ὥστε ὄρχησιν ποίησιν εἶναι; & deinde γραφικῆς pro γραφικήν.

ἀλλήλαις. ὀρχηστικῇ δὲ καὶ ποιητικῇ κοινωνία πᾶσα καὶ μέθεξις ἀλλήλων ἐστὶ, καὶ μάλιστα μιμέμεναι περὶ τῶν ὑπορχημάτων γένος ἐνεργὸν ἀμφότεραι, τὴν διὰ τῶν σχημάτων καὶ τῶν ὀνομάτων μίμησιν ἀποτελῦσι. δόξειε δ' ἄν, ὥσπερ ἐν γραφικῇ, τὰ μὲν ποιήματα, ταῖς γραμμαῖς, ὑφ' ὧν ὁρίζεται τὰ εἴδη [1]. δηλοῖ δὲ, ὃ μάλιστα κατωρθωκέναι δόξειεν [2] ὑπορχήμασι, καὶ γεγονέναι πιθανώτατος ἑαυτῦ τὸ δεῖσθαι τὴν ἑτέραν τῆς ἑτέρας· τὸ γὰρ.

'Απέλαςον [3] ἵππον, ἢ κύνα 'Αμυκλαίαν ἀγωνιῷ
'Ελελιζόμενος ποδὶ μίμεο καμπύλον μέλος διώκων·

ἢ τὸ

Οἷος ἀνὰ Δώτιον ἀνθεμόεν τε πεδίον πέταται
Θάνατον κεράσασα εὑρέμεν μανύων ἐλάφῳ·
Τὰν δ' ἐπ' αὐχένι ςρέφοιαν ἕτερον κάρα πάντα ἕτοιμον [4]
Καὶ τὰ ἑξῆς —·

μονονὲ λέληθεν [5] τὴν ἐν ὀρχήσει διάθεσιν τὰ ποιήματα παρακαλεῖν καὶ τὼ χεῖρε καὶ τὼ πόδε, μᾶλλον δὲ ὅλον, ὥσπερ τισὶ μηρίνθοις ἕλκειν τὸ σῶμα τοῖς μέλεσι καὶ ἐντείνειν, τέτων δὲ λεγομένων καὶ ᾀδομένων, ἡσυχίαν ἄγειν μὴ δυναμένοις [6]. αὐτὸς γῦν ἑαυτὸν ἐκ αἰσχύνεται περὶ τὴν ὄρχησιν ἐχ ἧττον ἢ τὴν ποίησιν ἐγκωμιάζων,

"Οταν δὲ [7] γηρῶσαι —

Νῦν

1 Pro ὁρίζεται Ald. ὀρχίζεται; Baſ. & Turn. ὀρχίζεται. Inter εἴδη & δηλοῖ, W. monente, excidiſſe videtur prioris enunciationis exitus, quae continet alteram comparationis partem.

2 Turn. duobus vocabulis δόξει ἐν; W. cum Mez. ſuſp. δόξας ἐν ὑπορχήμασι.

3 Turn. Mez. Amiot. Θεσσαλὸν; forte rectius, W. judice. Pro ἀγωνιῷ W. mavult ἀγωνίῳ. Pro μίμεο Turn. V. μίμῳ.

4 W. ita corrigendum ſuſpicatur: Οἷος ἀνὰ Δώτιον 'Αθαμάνων πεδίον πέταται Θάνατον χεροέσσα φέρεμεν κύων ἐλάφῳ. Τὰν δ' ἐπ' αὐχένι, ςρέφοισαν ἑτέρωσε κάρα, πλάττει ἕτοιμον. Pro θάνατον κεράσασα codex innominatus θανάτε κῆρας.

5 W. ſuſp. μονονὲ κέκληκεν, vel μηδένα λέληθεν.

6 W. ſuſp. τέτων δὴ — δυνάμενον.

7 Pro δὲ Turn. V. δέη. Paulo ante pro ἐγκωμιάζων Baſ. ἐνθυσιάζων.

Νῦν ἐλαφρὸν ὄρχημα οἶδα ποδῶν μιγνύμεν,
Κρῆτα μὲν καλέουσι τρόπον [1].

ἀλλ' οὐδὲν οὕτως τὸ νῦν ἀπολέλαυκε τῆς κακομουσίας, ὡς ἡ ὄρχησις. διὸ καὶ πέπονθεν, ὃ φοβηθεὶς Ἴβυκος ἐποίησε·

Δέδοικα, μή τι παρὰ θεοῖς ἀμπλακὼν,
Τιμὰν πρὸς ἀνθρώπων ἀμείψω.

καὶ γὰρ αὕτη καὶ [2] πάνδημόν τινα ποιητικὴν προσεταιρισαμένη, τῆς δ' οὐρανίας ἐκπεσοῦσα ἐκείνης [3] τῶν μὲν ἐμπληκτικῶν καὶ ἀνοήτων κρατεῖ θεάτρων, ὥσπερ τύραννος ὑπήκοον ἑαυτῇ πεποιημένη μουσικὴν ὀλίγην τινὰ πᾶσι, τὴν δὲ [4] παρὰ τοῖς νοῦν ἔχουσι καὶ θείοις ἀνδράσιν ὡς ἀληθῶς τιμὴν ἀπολώλεκε. Ταῦτα σχεδὸν, ὦ Σόσσιε Σενεκίων, τελευταῖα τῶν ἐν τοῖς μουσείοις τότε παρὰ Ἀμμωνίῳ τῷ ἀγαθῷ φιλολογηθέντων.

1 W. susp. μὲν — τρόπον.

2 W. susp. καὶ αὕτη.

3 Sic Ald. Bas. Xyl. Venet. Vatic. Mez. dedique cum W. pro vulg. ἐκείνη.

4 Bas. Xyl. ὀλίγην τινὰ· πᾶσαν δὲ τὴν παρὰ — W. melius hoc vulgato judicat, tamen a correctione profectum, nec congruum sententiae auctoris. Ipse susp. ὀλίγου τὴν ἅπασαν, τὴν δὲ παρὰ —.

BIBLIOTEKA UNIWERSYTECKA W TORUNIU

92399